sibi mala miseri homines conantur inferre.› Serm. 163: ‹Auguria non observent, phylacteria et characteres diabolicos nec sibi nec suis aliquando suspendant›. Capitula s. Bonifacii Mogunt. cap. 33: ‹Si quis auguria... phylacteria id est scripturas observaverit›. Capitula Caroli M. lib. VI cap. 72: ‹Phylacteria vel falsae inscriptiones aut ligaturae›. Phylacteria igitur sensu latiore sunt ligaturae. In hoc vocabulo a Ducangio item multa collecta sunt, quæ hic afferre a re non alienum putavi. ‹Ligaturae... amuleta quædam ad arcendos et depellendos morbos, quæ aut ad collum suspendebantur, aut circa alias corporis partes alligabatur, qualium magna mole refersisse scripta sua Xenocratem Aphrodisiensem et Pamphilum quemdam refert Galenus libro sexto simplicium pharmacorum. Cuiusmodi etiam subinde prodere non dubitavit Plinius ut et medici aliquot ex veteribus, Marcellus Empiricus cap. 29, Horatianus lib. IV, Serenus Sammonicus cap. 49, Alexander Iatrosophista, Trallianus lib. II cap. 232, Dioscorides lib. Parabil. cap. 156, Nicolaus Myrepsus de antidot. cap. 405 et alii. Quas quidem incantationes, adiurationes et colli suspensiones non omnino improbat Constantinus Africanus, licet christianus et monachus, in epistola ad filium, nec ipse Galenus... Præsertim vero ea amuleta, phylacteria et characteres ad depellendos morbos, ut magiæ effectus et paganismi reliquias non semel proscripsit ecclesia Christiana. Isidor. lib. VIII cap. 9: ‹Ad haec omnia pertinent ligaturae execrabilium remediorum, quæ ars medicorum condemnat, sive in præcantationibus sive in characteribus vel in quibuscunque rebus suspendendis atque ligandis: in quibus omnibus ars daemonum est ex quadam pestifera societate hominum et angelorum malorum exorta. Unde cuncta vitanda sunt a christianis et omni penitus execratione repudianda atque damnanda›. S. Audoenus lib. II vitae Eligii cap. 15: ‹Nullus ad colla vel homines vel cuiuslibet animalis ligamina dependere praesumat etiamsi a clericis fiant, etsi dicatur quod res sancta sit et lectiones divinas contineat, quia non est in eis remedium Christi, sed venenum diaboli›. Gregorius Turon. lib. II de mirac. cap. 45: ‹Incanta-

tiones immurmarat, sortes iactat, ligaturas collo suspendit». Et lib. IV de mirac. s. Martini cap. 36: «Quæ adveniens ad aegrotam eamque visitans amotisque ligaminibus quæ stulti indiderant, oleum beati sepulcri ori eius infundit». S. Bonifacius episc. Moguntinus in epistola ad Zachariam pp. apud Othlon. lib. II cap. 1: «Dicunt quoque se vidisse ibi mulieres pagano ritu phylacteria et ligaturas et in bracchiis et cruribus ligatas habere» etc.

Anno 1338 Τζερέντζης Γεώργιός quidam in patriarchae iudicium vocatus est de artibus magicis aliaqua impietate atque ὡς καὶ γράφειν τὸ τοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ μέγιστον καὶ θειότατον ὄνομα καὶ σβεννύειν καὶ πατεῖν τῷ μέλανι, ἅμα δὲ καὶ χαρακτῆρας καὶ ἐπικλήσεις δαιμόνων ἐκτίθεσθαι [1]). Seculo XIV fere medio monachus nescio quis cum circulatore quodam amicitiam fecit, qui sese eum in proposito assequendo arte magica adiuturum pollicitus erat. Quæ ista res fuerit, optime ex ipsis litteris intellegas. Ὁ δὲ (μοναχὸς)... τὸν Καππαδόκην (nomen magi) ἀσμένως προσίεται καὶ φιλίαν ὁμολογεῖ μετ' αὐτοῦ καὶ κατ' οἶκον φέρων ξενίζει καὶ ὁμόστεγον αὐτὸν καὶ ὁμοδίαιτον ἔχειν βούλεται, καὶ δῶρα τὰ μὲν ἕτοιμος ἦν αὐτῷ παρασχεῖν, τὰ δὲ ἐπηγγέλλετο, εἰ μόνον ἴδοι δεδυνημένον συσκευάσασθαι διὰ μαγγανειῶν πραγμάτιά τινα καὶ μηχανὰς διαβολικὰς ὥστε καὶ τὴν σύνοδον καὶ τοὺς περὶ ἡμᾶς πεῖσαι ἐπὶ τῷ προβιβασθῆναι τοῦτον εἰς ἀρχιερωσύνης βαθμόν. Ὁ δέ γε τοιοῦτος Καππαδόκης ῥᾷστα τῆς ἐφέσεως ταύτης ἀξιῶσαι αὐτὸν καθυπέσχετο, ἔνθεν τοι καὶ ἀσμένως καὶ μετὰ πολλῆς προσδοκίας προσλαβόμενος τὸν Καππαδόκην ὁ μοναχός, ὡς ὑπελάμβανεν, εἶχε τοῦτον μεθ' ἑαυτοῦ καὶ ἐφιλοφρόνει. πλὴν ὁ Καππαδόκης ὥσπερ αὐτὸν ἀμειβόμενος, ἐκεῖνα δὴ ἀωρὶ τῶν νυκτῶν ἔγραφε, καὶ αὐτοῦ τοῦ μοναχοῦ ἐπισταμένου, καὶ ὑπὸ τὸ αἴθριον ἀντικρὺ τῶν ἄστρων ἐτίθει· ἐντεῦθεν γὰρ ἔλεγε καὶ τὴν ἰσχὺν προσεῖναι πρὸς τὸ ζητούμενον. ὅσα μήτε λέγειν μήτ' ἀκούειν καλόν· τήν τε γὰρ κοινὴν τῶν χριστιανῶν ἡμῶν προσευχὴν τὴν εἰς τὸν Κύριον ἡμῶν καὶ κατὰ χάριν Πατέρα ἀναπεμπομένην γράμμασιν ἀντι-

[1]) Acta patriarch. Constantinopolitani I № 79 pag. 180.

στρόφως καὶ ἐναλλὰξ ἔγραψεν ἐν χάρτῃ τινὶ παραγεγραφὼς τούτῳ καὶ τὰ ἅπερ ἐξελέξατο καθάπερ ἐβουλήθη ὀνόματα ὥστε εἶναι αὐτοὺς εὐηνίους καὶ εὐενδότους καὶ καθυπαγομένους ἕνεκα τῶν ζητημάτων αὐτοῦ, πρὸς δὲ καὶ χαρακτῆράς τινας. ὃ δὴ ἀσεβὲς καὶ ψυχώλεθρον γράμμα χειρὶ γραφὲν τολμηρᾷ πάννυχον κείμενον διεβίβασεν ἀντικρὺ τῶν ἄστρων, εἶτα ὡς δῆθεν φυλακτικὸν κατὰ τὰς ὑποθέσεις τοῦ Καππαδόκου ὁ μοναχὸς τῷ ἱματίῳ προσράψας τοῖς στέρνοις εἶχεν ἐγκείμενον [1]).

Itaque ab ecclesia phylacteria in Christianorum usu esse vetabantur, etiamsi ibi nomina Dei sanctorumque scripta essent. Matthaeus Blastares quidem in Syntagmate alphabetico, cum de superstitionibus, damnatione dignis, dicit, gravissimum ecclesiae patrem Iohannem Chrysostomum profert: Φησὶ γὰρ ὁ θεῖος Ἰωάννης ὁ Χρυσόστομος, ὅτι κἂν τῆς ἁγίας Τριάδος ὄνομα ἐπιλέγηται τοῖς τοιούτοις, κἂν ἁγίων γίνωνται ἐπικλήσεις, κἂν τὸ σημεῖον τοῦ σταυροῦ ἐπάγηται, φεύγειν δεῖ τὰ τοιαῦτα καὶ ἀποτρέπεσθαι [2]).

[1]) Acta patriarch. Constant. I, 153 pag. 343—344.
[2]) Pavlow: „Номоканонъ", p. 51.

1. Сказаніе объ усѣкновеніи Іоанна Предтечи.

Μαρτύριον εἰς τὴν ἀποτομὴν τοῦ ἁγίου Ἰωάννου τοῦ Προδρόμου. Κύριε εὐλόγησον.

Ἔτει [1]) τεσσαρακοστῷ δευτέρῳ τῆς βασιλείας Αὐγούστου, γεννηθέντος κατὰ σάρκα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, ζήτησιν ἐποιήσατο Ἡρώδης ὁ Ἀντίπατρος, βασιλεὺς τῆς Ἰουδαίας ἀπολέσαι τὸν Ἰησοῦν. Τότε ἐλθὼν Μιχαὴλ λέγει τῷ Ἰωσήφ. φεῦγε μετὰ τοῦ παιδίου καὶ τῆς μητρὸς αὐτοῦ ἐν Αἰγύπτῳ. Ζητήσαντος δὲ τοῦ Ἡρώδου τὸν Κύριον καὶ μὴ εὑρόντος αὐτὸν ἐκέλευσεν ἀναιρεθῆναι τὰ παιδία τὰ ἐν Βηθλεέμ. Τότε Ἐλίσαβετ ἄρασα τὸν υἱὸν αὐτῆς ἔφυγεν εἰς τὴν ὀρεινήν (i. e. χώραν). Ὁ δὲ Ἡρώδης ἐπιζητήσας τὸν Ἰωάννην καὶ μὴ εὑρὼν αὐτὸν ἀπέστειλεν πρὸς Ζαχαρίαν τὸν πατέρα αὐτοῦ λέγων πρὸς αὐτόν. ποῦ ἐστιν ὁ υἱός σου ἢ ποῦ αὐτὸν ἀπέκρυψας; ἄγαγέ μοι αὐτόν. οὐκ οἶδας ὅτι τὸ αἷμά σου ὑπὸ τὴν χεῖρά μοῦ ἐστιν; Εἶπεν δὲ Ζαχαρίας. οὐκ οἶδα, ποῦ ἐστιν ὁ υἱός μου, λειτουργός εἰμι τῷ Κυρίῳ καὶ τῷ θυσιαστηρίῳ παραμένω. Ἀκούσας δὲ ταῦτα Ἡρώδης ἔπεμψεν τοὺς φονευτὰς αὐτοῦ καὶ ἔσφαξεν αὐτὸν ἐν τῷ ναῷ τοῦ θεοῦ εἰς τὸ θυσιαστήριον. Ἐν δὲ τῇ ἑωθινῇ πᾶς ὁ λαὸς ἐπορεύθη ἐν τῷ ἱερῷ καὶ περιέμενον τὸν Ζαχαρίαν τῇ ὥρᾳ τοῦ ἀσπασμοῦ. βραδύνοντος δὲ ἑαυτοῦ ἐξελθεῖν πρὸς αὐτοὺς τολμήσας τις εἰσῆλθεν, καὶ ἰδοὺ φωνὴ ἐγένετο ἐν τῷ ἱερῷ λέγουσα. Ζαχαρίας πεφώνευται. ἐπένθησεν δὲ αὐτὸν πᾶς ὁ λαὸς ἕως ἡμερῶν ἑπτὰ καὶ ἐγένετο τὸ αἷμα Ζαχαρίου λίθος πεπηγὼς

[1]) Codex ἔτους.

πρὸς τὸ θυσιαστήριον· τὸ δὲ σῶμα αὐτοῦ οὐδαμοῦ ηὑρέθη. Ἐν δὲ τῷ πορεύεσθαι τὴν Ἐλίσαβετ εἰς τὴν ὀρεινὴν μετὰ τοῦ υἱοῦ αὐτῆς ἐξελύθη καὶ ἔκραξεν. Ὅρος θεοῦ, δέξε μητέρα μετὰ υἱοῦ ἀδίκως διωκομένην. Καὶ εὐθέως ἐδιχάσθη τὸ ὄρος καὶ ἔλαβεν αὐτὴν ἔσω· κἀκεῖ διέτριβεν ἐν τῷ χάσματι ἡ Ἐλίσαβετ μετὰ τοῦ υἱοῦ αὐτῆς Ἰωάννου καὶ χεὶρ Κυρίου ἦν μετ' αὐτῶν καὶ ἄγγελοι διηκόνουν αὐτοῖς. Οἱ δὲ φονευταὶ τοῦ Ἡρώδου ἦλθον ἕως τοῦ χάσματος καὶ οὐδαμόθεν ηὗρον εἰσελθεῖν· ἦν δὲ ἐν τῷ τόπῳ ἐκείνῳ πηγὴ ὕδατος ἐξ εὐωνύμων τοῦ χάσματος καὶ ἐκ δεξιῶν ἄρτων παράθεσις. Ἐν δὲ τῷ γενέσθαι τὸ παιδίον μηνῶν πέντε εἶπεν ὁ ἄγγελος τῇ Ἐλισάβετ· ἀπογαλάκτισον τὸ παιδίον καὶ μηκέτι δεξάσθω μασθὸν μητρός, ἀλλὰ λάμβανε ἀκρίδας τοῦ δένδρου τοῦ ἐπὶ τῆς σκηνῆς καὶ μέλι ἄγριον ἐκ τῆς πέτρας τῆς πρὸς τὴν κεφαλήν σου καὶ διατρεφέσθω ἐξ αὐτῶν. οὐκ ἐκλείψουσιν ἕως προστάξει ὁ θεὸς ἐξελθεῖν ὑμᾶς ἔνθεν. Γενομένου δὲ τοῦ παιδίου μηνῶν δεκατριῶν ἤρξατο ἅλλεσθαι καὶ περιπατεῖν. εἶπεν δὲ ὁ ἄγγελος τῇ Ἐλισάβετ. ἔξελθε ἐντεῦθεν καὶ πορεύου εἰς τὸν οἶκόν σου, τεθνήκασιν γὰρ οἱ θυμοὶ τῶν ζητούντων ἀνελεῖν τὸν υἱόν σου. εἶπεν δὲ Ἐλίσαβετ. κύριε, οὐχ εὑρίσκω τὴν ὁδὸν καὶ ποῦ ἔχω ἀπελθεῖν. Καὶ εὐθέως βασταζούσης αὐτῆς τὸ παιδίον ἐπὶ τῶν γονάτων ἐν ἐκστάσει ἐγένετο ὡς ἀφικνουμένης δὲ αὐτῆς δι' ἀέρος ἕως τοῦ οἴκου αὐτῆς. Τοῦ δὲ Ἰωάννου γενομένου τριακονταετοῦς ἐπορεύετο εἰς πᾶσαν πόλιν καὶ κώμην κηρύσσων βάπτισμα μετανοίας καὶ ἐγκράτειαν. ἤσθιεν δὲ ἀκρίδας τουτέστιν φοίνικας καὶ μέλι ἄγριον καὶ τὸ ἔνδυμα εἶχεν ἀπὸ τριχῶν καμήλων καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ· ἀπῆλθεν δὲ ἡ φήμη αὐτοῦ εἰς ὅλην Ἰουδαίαν. Ὅθεν Ἡρώδης ἀκούσας αὐτὸν τοῦ εἶναι παρὰ τὸν Ἰορδάνην βαπτίζοντα τὰ ἔθνη ἀποστείλας ἐκάλεσεν αὐτόν. ἦν δὲ τότε Ἰωάννης ἐτῶν τριάκοντα δυῶν. Καὶ εἶπεν αὐτῷ ὁ Ἡρώδης. σὺ εἶ Ἰωάννης ὁ Ζαχαρίου υἱός; οὐκ οἶδας ὅτι τὸ αἷμά σου ὑπὸ τὴν χεῖρά μού ἐστιν; ὁ δὲ εἶπεν αὐτῷ ἱλαρῶς. Ἐγώ εἰμι ὁ υἱὸς Ζαχαρίου, οὗ τὸ αἷμα ἐξέχεας ἐν τῷ ναῷ τοῦ Θεοῦ, καὶ βοᾷ περί σου καὶ τῆς ἀπονοίας σου, ἄνομε. Ἡρώδης δὲ ἦν οὗτος ὁ ἔσχατος, ἄλλως δὲ ὁ Ἀρχελάου πατήρ. οὗτος βασιλεὺς ἦν μετὰ τὸ φυγεῖν εἰς Γαλατίαν Ἀρχέλαος Ἡρώδου τοῦ πρώτου υἱός. Ἐπεὶ οὖν ὑπῆρχεν εἷς τοῦ ἑνὸς πονηρότεροι,

τὴν αἰτίαν τοῦ πρώτου ἐπιφέρει καὶ λέγει. Αἰδέσθητι ὅτι ἔλαβες τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ σου καὶ οὐ φοβῇ τὸν θεόν; τότε Ἡρώδης φραγελλώσας τὸν Ἰωάννην ἔβαλεν αὐτὸν εἰς τὴν φυλακήν. Ὄντος δὲ τοῦ Ἰωάννου ἐν τῇ φυλακῇ περισσότερος ἔνυγεν τὸν Ἡρώδην περὶ Πολιᾶς τῆς γυναικὸς Φιλίππου. ἠβούλετο δὲ Ἡρώδης ἀπολύσαι τὸν Ἰωάννην καὶ ἡ Πολιὰ οὐ συνεχώρει ἀπὸ τῆς φυλακῆς ἀπολυθῆναι αὐτόν. οἱ δὲ ὑπηρέται ἐποίουν τὸ προσταχθὲν καὶ ἐπὶ ὥρας τέσσαρας ἐκρέμασαν αὐτὸν ἐπὶ κέφαλα καπνίζοντες αὐτὸν θεῖον. Ὁ δὲ Ἰωάννης ἔλεγεν τῷ Ἡρώδῃ. τί συνέχῃ ἐλεγχόμενος ὑπὸ τῆς ἀληθείας; Ἡρώδης εἶπεν. ποίαν ἀλήθειαν λέγεις; οὐκ ἔχει ἐν τῷ νόμῳ Μωσέως ὅτι ἐὰν ἀποθάνῃ ἀδελφός τινος μὴ ποιήσας σπέρμα, γυναῖκα δὲ καταλιπών, λήψεται αὐτὴν ὁ ζῶν ἀδελφὸς καὶ ἀναστήσει αὐτῷ τὸ σπέρμα ἐν τῷ Ἰσραήλ; ὁ δὲ Ἰωάννης ἔφη· μεγάλως πρόσεχε τὸν νόμον τοῦ Θεοῦ ἐν τούτῳ ὅτι φαρμάκοις ἀνεῖλας τὸν ἀδελφόν σου καὶ ἔλαβες τὴν γυναῖκα αὐτοῦ, πλὴν καὶ ζῶντος ἐκείνου ἐμοιχᾶτο μετά σου. ἰδού, ἡ ψυχὴ αὐτοῦ βοᾷ πρὸς τὸν Θεὸν καὶ ἑτοίμως ἔχει ὁ Θεὸς ἐκδικῆσαι αὐτόν, ἵνα ὑμεῖς τὸν βίον κακῶς ἀναλύσητε. Ἐπὶ τούτοις δὲ Ἡρώδης περίλυπος ἐγένετο καὶ ἠθέλησεν ἀπολύσαι τὸν Ἰωάννην. ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις γενέθλιον ἐπιτελεῖν τὸν Ἡρώδην· ἐν δὲ τῷ συμποσίῳ παρεκάλεσεν τὴν θυγατέρα αὐτοῦ ὁ Ἡρώδης ὀρχήσασθαι. ἡνίκα δὲ ὠρχήσατο ὤμοσεν αὐτῇ τὴν σωτηρίαν πάντων, ἵνα ὃ ἐὰν αἰτήσηται δοῦναι αὐτῇ· ἡ δὲ ἠρώτησεν τὴν μητέρα αὐτῆς. καὶ λέγει αὐτῇ· αἴτησαι ἐπὶ πίνακος τὴν κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ. Ἡνίκα δὲ ἀπήγγειλεν τῷ πατρὶ περὶ Ἰωάννου, περίλυπος ἐγένετο ὁ Ἡρώδης, πλὴν διὰ τὸν ὅρκον πέμψας σπεκουλάτωρα ἀπεκεφάλισεν τὸν Ἰωάννην καὶ ἔδωκεν τῇ Ἡρωδιάδῃ τὴν κεφαλὴν αὐτοῦ ἐπὶ πίνακι κἀκείνη τῇ μητρὶ αὐτῆς Πολιᾷ προσήνεγκεν αὐτήν. ἐλθόντες δὲ οἱ μαθηταὶ αὐτοῦ νυκτὸς ἔκλεψαν τὸ σῶμα αὐτοῦ. Ἄγγελος δὲ Κυρίου παρέμενεν τῇ Ἐλισάβετ καὶ εἶπεν πρὸς αὐτήν. ἀνάστα πορεύου ἐν Βηθλεὲμ καὶ ἆρασα τὸ σῶμα τοῦ υἱοῦ σου θάψον αὐτὸ ὅπου ὁ πατὴρ αὐτοῦ ἀναπαύσεται [1]). καὶ ὡδήγησεν αὐτὴν ὁ ἄγγελος ἕως τοῦ οἴκου Ζαχαρίου ἐν τῷ ναῷ Κυρίου ἕως τοῦ θυσιαστηρίου. ἐγένετο δὲ

[1]) Cod. ἀναπέσεται.

φωνὴ μεγάλη ἐν τῷ ἱερῷ καὶ ἄφνω σεισμὸς καὶ βροντὴ καὶ ἠνεῴχθη τὸ θυσιαστήριον καὶ ὤφθη τὸ σῶμα Ζαχαρίου. καὶ ἔθαψεν ἐκεῖ τὸν Ἰωάννην ἡ Ἐλίσαβετ ὑποκάτω τοῦ θυσιαστηρίου. καὶ ἐκάλεσεν αὐτὴν ὁ Ὕψιστος λέγων. ἰδού, τὸ αἷμα τοῦ ἀνδρός σου ὃ οὐκ ἐξαλειφθήσεται εἰς τὸν αἰῶνα εἰς ἔλεγχον Ἡρώδου. τὴν ταφὴν τοῦ ἀνδρός σου καὶ τοῦ υἱοῦ σου οὐδεὶς ἀνθρώπων γνώσεται. Ἐν δὲ τῷ καιρῷ ἐκείνῳ ἡ θυγάτηρ Ἡρώδου ἐν ἡμέρᾳ χειμερινῇ ὄντος παγετοῦ παίζουσα πλησίον φρέατος πεπηγῶτος τοῦ ὕδατος πεσοῦσα ἐν τῷ ὕδατι διαλύει. βουλόμενοι δὲ οἱ ἔγγιστα ἀνασπάσαι αὐτὴν ἐτμήθη ἡ κεφαλὴ αὐτῆς καὶ ὁ κορμὸς αὐτῆς ἀπῆλθεν κάτω. Καθεζομένου δὲ τοῦ Ἡρώδου ἠνέχθη ἡ κεφαλὴ τῆς Ἡρωδιάδος, καὶ ἔλαβεν αὐτὴν ἐπὶ τῶν γονάτων αὐτοῦ καὶ ἤρξατο κλαίειν καὶ λέγειν. Ὦ ὕδωρ δίκαιον, ἀδίκου θανάτου τομώτερον! ὢ τάφος ἁγίων ἐν ναῷ ἁγίῳ εὐτρεπισθείς! ὢ τάφος δίκαιος ἄδικα σώματα μὴ δεξάμενος, ἀλλὰ τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ τοῖς θηρίοις τῆς γῆς παραπεμψάμενος! Τελευτήσαντος δὲ τοῦ Ἡρώδου οὐ παρεδέξατο ἡ γῆ τὸ σῶμα αὐτοῦ, ἀλλὰ ἀνέβρασεν αὐτό. καὶ ἐλθὼν τὰ πετεινὰ τοῦ οὐρανοῦ ἀνήλωσαν τὰς σάρκας αὐτοῦ. Ταῦτα πάντα ἔγραψα ἐγὼ Εὔριππος μαθητὴς Ἰωάννου, ὁ δεύτερος τῶν μαθητῶν αὐτοῦ, κατὰ ἀκρίβειαν, ἵνα πάντες οἱ ἀδελφοὶ ἐν Χριστῷ ἑορτάσουσιν τὴν μνήμην καὶ ἀνάπαυσιν τοῦ φιλοχρίστου Ἰωάννου τοῦ Προδρόμου καὶ Βαπτιστοῦ μηνὶ αὐγούστῳ κθ'. Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν. αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

---

2. Преніе Христа съ дьяволомъ.

α. Λόγος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ περὶ τῆς ἀντιλογίας τοῦ διαβόλου. Δέσποτα εὐλόγησον.

Ἀνελθὼν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς μετὰ Πέτρου εἰς τὸ ὄρος καὶ Παύλου καὶ τοῦ Ἀνδρέου καὶ τῶν λοιπῶν μαθητῶν αὐτοῦ, ἐνήστευσεν ὁ Κύριος ἡμέρας τεσσαράκοντα. Ἐπέφανεν (scil. δὲ ὁ διάβολος) ἔμπροσθεν τοῦ προσώπου αὐτοῦ καὶ λέγει

αὐτῷ. Ὁρκίζω σε κατὰ τοῦ ὀνόματος τοῦ μεγάλου Θεοῦ, νά [1]) μοι εἴπης τὴν ἀλήθειαν, πόθεν εἶ σύ; Λέγει αὐτῷ ὁ Ἰησοῦς. ἐγὼ ἐκ τοῦ αἰωνίου καὶ ἀθανάτου πατρός εἰμι. Λέγει αὐτὸν ὁ διάβολος. σὺ εἶπας. λέγει αὐτὸν ὁ διάβολος. ὕπαγε εἰς τὸν οὐρανὸν καὶ κάθου εἰς τὸν θρόνον σου ἵνα οἱ οὐρανοὶ ὡς ἐλάλεις καὶ ἡ γῆ εἰσήκουέν σου. ἀγγέλους εἶχες, διὰ τί οὐκ ἀπέστειλας ἑαυτούς, ἀλλὰ θεὸς ὢν εἰς τοιαύτην ὁδὸν ἦλθες; ὁ Κύριος λέγει. ἐγὼ θεὸς ὢν διὰ τί κατῆλθα ἄκουσον. διὰ σέ καὶ τοὺς ἀγγέλους σου. καταβάντες γὰρ ἐκ τῶν οὐρανῶν οὐδὲν ἀγαθὸν ἐποιήσατε, ἀλλὰ νικήσαντες τὸν ἄνθρωπον γέλως ἐγένεσθε, δαιμόνια ἀκάθαρτα, καὶ τοὺς ἀνθρώπους πλανᾶτε τῇ ἀπάτῃ ὑμῶν. Ὁ διάβολος λέγει. ὕπαγε εἰς τὸν οὐρανὸν καὶ κάθου εἰς τὸν θρόνον σου, μή σε φανερώσω τοῖς ἀγγέλοις μου, οἱ γὰρ ἄγγελοί μου φοβεροί εἰσιν καὶ ἄν σε ὑποδείξω αὐτοῖς πατάξειν σε ἔχω ὡς ἕνα τῶν ἀνθρώπων. Καὶ ὁ Κύριος λέγει. ἐγὼ διὰ σέ καὶ τοὺς ἀγγέλους σου καὶ τοὺς ἐν σοὶ μετόχους κατῆλθον. Ὁ διάβολος λέγει. καὶ τίς (=τίνες) εἰσιν οἱ ἐμοὶ μέτοχοι; Λέγει (sc. ὁ Ἰησοῦς). εἰσὶν οἱ μέτοχοι (σου) φόνοι, μοιχοί, κλέπται, ψυθιρισταί, γνόφος, πῦρ, χάλαζαι, ταραχαί, βάσεις, ἀδελφῶν καταρήσεις, κακία, αἵρεσις καὶ προαίρεσις. Ὁ διάβολος λέγει, ὅτι τὰ τοιαῦτα ἔργα ἐμά εἰσιν, ἀλλὰ πλείων σου ὑπάρχω καὶ τῶν ἀγγέλων σου γέγονα. Ὁ Κύριος λέγει. σὺ τοῦ κόσμου φάντασμα εἶ, ἐγὼ δὲ διὰ τοῦτο ἀπὸ γυναικὸς ἐγεννήθην, ἵνα τὸν ἄνθρωπον σώσω ὃν ἔπλασα, ἐγὼ δὲ οὐ μὴ ἐγκαταλείπω αὐτὸν ἕως τοῦ τρίτου οὐρανοῦ ἕως ἂν φανῇ τὸ πρόσωπον τοῦ πατρός μου καὶ ἀπολαύσει τὰ ἀγαθὰ ἐν τοῖς οὐρανοῖς. Καὶ ὁ διάβολος λέγει. τὸν Ἀδὰμ σὺ αὐτὸς ἔπλασας καὶ παράδεισον ἐφύτευσας καὶ ἐνέβαλας εἰς αὐτόν, ἐγὼ δὲ οὐκ ἐποίησα αὐτὸν εἰσιέναι εἰς τὸν παράδεισον μίαν ἡμέραν. Καὶ ὁ Κύριος λέγει. τὸν μὲν Ἀδὰμ σὺ ἠπάτησας καὶ ἐδίωξας ἐκ τοῦ παραδείσου, ἐγὼ δὲ οὐ μὴ ἀφήσω αὐτὸν ὑπό σου γελασθέντα. Καὶ ὁ διάβολος λέγει. ἐὰν ἁμαρτήσῃ ἄνθρωπος καὶ τὴν σὴν δόξαν ἀφήσῃ καὶ τὴν ἐμὴν διάνοιαν πράξῃ, τί μέρος ἔχει μετά σου; Καὶ ὁ Κύριος λέγει. ἐὰν ἁμαρτήσῃ ἄνθρωπος καὶ τὰ σὰ ἔργα ποιήσῃ καὶ τὴν σὴν διάνοιαν πράξῃ καὶ τὴν ἐμὴν δόξαν ἀφήσῃ καὶ ζήσῃ ἔτη ἐνενήκοντα καὶ

[1]) **A manu posteriore correctum est in ἵνα.**

εἰς μετάνοιαν ἔλθῃ, ξένους συναγαγῇ, τυφλοὺς ὁδηγήσῃ, νεκροῖς συνακολουθήσῃ ἐν προσευχαῖς καὶ νηστείαις καὶ ἐν τῇ προσευχῇ αὐτοῦ εἴπῃ Ὁ θεός, ἱλάσθητί μοι ἁμαρτωλῷ, ἔρχεται ὁ θάνατος αὐτοῦ ἀγαθὸς καὶ λαμβάνει συγχώρησιν ἐκ τῶν ἀνομιῶν αὐτοῦ. εἰ δὲ [1]) οὐ μὴ μετανοήσῃ ἀφ' ἧς πράξει κακῆς (sic), μάλιστα ζήσει ἔτη πεντήκοντα ἢ ἑξήκοντα, ἔρχεται ὁ θάνατος αὐτοῦ ἁμαρτωλὸς καὶ παραδώσω αὐτὸν ἀγγέλῳ Μελοὺχ καὶ ἀπαγάγει αὐτὸν εἰς τὴν λίμνην τοῦ πυρὸς ὅπου καὶ σὺ μέλλεις συνιέναι μετὰ τοὺς δαίμονάς σου, ὦ πονηρὲ διάβολε. Τότε θυμωθεὶς ἀπέστη ἀπ' αὐτοῦ καὶ ἐκάλεσεν τοὺς δαίμονας αὐτοῦ μυριάδας σαράντα ὀκτὼ καὶ λέγει αὐτούς. Τεκνία μου, ἰσχύεσθε καὶ ἀνδρίζεσθε, ὁ γὰρ Χριστὸς ὁ μέγας κατέβη ἐπὶ τὴν γήν καὶ ἐὰν ἀποκτείνωμεν αὐτόν, ἡμῖν ἐστιν τὸ βασίλειον εἰς τοὺς αἰῶνας. πλὴν ἀγώμεθα αὐτοὶ ἔμπροσθεν κἀγὼ ὄπισθεν ἔρχομαι καὶ πατάξομεν αὐτὸν ὡς ἕνα τῶν ἀνθρώπων. ἀφ' ἧς ἔπλασεν τὸν Ἀδὰμ οὐκ ἠθέλησα αὐτὸν προσκυνῆσαι καὶ ἀπὸ τότε ἐμίσησέν με αὐτὸς καὶ ὁ πατὴρ αὐτοῦ. Καὶ ὡς ταῦτα ἔλεγεν ἐκίνησεν τὸ πλῆθος τῶν δαιμόνων καὶ ὁ κονιορτὸς τῆς φαντασίας αὐτῶν ἀπὸ σταδίων κ'. Οἱ δὲ μαθηταὶ τοῦ Κυρίου θεωρήσαντες τὰ ὄρη τρέμοντα, τὰς πηγὰς ἀναβαλλόμενας καὶ τοὺς ἰχθύας ἔξω πηδῶντας, ἐφοβήθησαν σφόδρα καὶ λέγουσιν. Κύριε, θεωροῦντες ταῦτα ἀποθνήσκομεν. Ὁ Κύριος λέγει αὐτοῖς. μὴ φοβεῖσθε τὸν διάβολον, ἐγὼ πατάξω αὐτὸν μετὰ τοὺς δαίμονας αὐτοῦ. Ἔτι ταῦτα λεγόντων ἤγγισεν τὸ πλῆθος τῶν δαιμόνων ὡς ἀπὸ σταδίων ιγ'. ὁ δὲ Φίλιππος καὶ Θωμᾶς λέγουσιν. ὁ Θεὸς τῶν ἁπάντων αὐτὸς ἀπέρριψεν τὸν διάβολον ἐκ τοῦ οὐρανοῦ. ταῦτα αὐτῶν λεγόντων ἤγγισεν τὸ πλῆθος τῶν δαιμόνων ὡς ἀπὸ σταδίων γ'. Λαβὼν δὲ ὁ Πέτρος δειλίαν παρὰ τοῦ διαβόλου ἠθέλησεν δηλοποιῆσαι τὸν Ἰησοῦν. καὶ λέγει ὁ Κύριος. μὴ δειλιάσῃς ἕως ἂν ἴδῃς τὴν δόξαν τοῦ θεοῦ. Ἐστράφη καὶ ἵστατο εἰς τοὺς πόδας τοῦ Ἰησοῦ. τότε ὁ Ἰησοῦς μετέστη εἰς τὴν θεικὴν αὐτοῦ δόξαν καὶ ἐκέλευσεν νεφέλην ἐκ τοῦ οὐρανοῦ ἐπὶ πόδας κρεμασθῆναι αὐτόν. οἱ δὲ δαίμονες αὐτοῦ ἐβόουν λέγοντες. καὶ ἡμεῖς ποῦ φύγωμεν; ἀλλὰ δεῦτε, ἂς φύγωμεν εἰς τὴν ἄβυσσον, ὅπως σωθῶμεν. Ἐκεῖνος δὲ κρεμάμε-

---

[1]) Cod. εἶτα.

νος ἔκραζεν λέγων. Κύριέ μου, κατάγαγέ με ἀπὸ τῶν ὧδε καὶ μή με ἀπολέσῃς πρόσκαιρον. Καὶ ὁ Κύριος λέγει. ἐάν σε καταγάγω, παῦσαι ἔχεις πολεμεῖν τὸ γένος τῶν ἀνθρώπων; καὶ ὁ διάβολος λέγει. Κύριέ μου, ποιήσειν ἔχω ἵνα ὅσοι ἐπίστευσαν εἰς τὸ μιαρὸν καὶ ἀκάθαρτόν μου γένος πιστεύσουσιν εἰς τὸ ὄνομά σου. Καὶ ὁ Κύριος ἐκέλευσεν αὐτὸν ὥσπερ ἀστραπὴν κατελθεῖν αὐτὸν [1]) καὶ στῆναι αὐτὸν παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ. τότε ὁ Ἰησοῦς μετῆλθεν εἰς τὴν ἀνθρωπίνην τάξιν καθὼς ἐγεννήθη δι' ἡμᾶς. ἰδὼν δὲ ὁ διάβολος ὅτι ὁ Ἰησοῦς ἐγένετο ὡς ἄνθρωπος σύρει ρόγχον ἐν τῷ στόματι αὐτοῦ καὶ ἐπειρᾶτο πιάσαι τὸν Ἰησοῦν. Καὶ ὁ Κύριος λέγει. πάλιν, διάβολε, ἐνεχθεῖν ἔχεις; Καὶ ὁ διάβολος λέγει. πορεύσομαι πρὸς Ἄνναν καὶ Καιάφαν, πρὸς τοὺς ἀρχιερεῖς, πρὸς τοὺς ἐμοῦ Ἰουδαίους καὶ ποιήσω αὐτοὺς ἵνα σε σταυρώσωσιν. οὐκ εἰμὶ ὅμοιος τοῦ ὑψίστου, σὺ δὲ υἱὸς αὐτοῦ, ἀλλ' ἐγὼ ὅμοιος ἑαυτοῦ. ἐγὼ ἀντίχριστος, σὺ οὐράνιος βασιλεὺς κἀγὼ ἐπίγειος καθὼς καὶ ἀπέρριψάς με. μὴ καὶ Ἰωάννην τὸν βαπτίσαντά σε οὐκ ἐποίησα ὑπὸ Ἡρώδου ἀναιρεθῆναι καὶ τὴν κεφαλὴν αὐτοῦ ὑπὸ γυναικὸς ὀρχηστρίδος θριαμβευθῆναι; καὶ ὁ Κύριος λέγει. Ἰωάννης οὐκ ἀπέθανεν, ἀλλὰ ζῇ. ἀλλ' ἄκουσε (=ἄκουσον), πονηρὲ διάβολε, δύνασαι ἐξ ἀκανθῶν οἶνον τρυγῆσαι ἢ ἀπὸ τριβόλων καρπὸν θερίσαι; καὶ ὁ διάβολος ἐσιώπα μηδὲν ἀποκρινόμενος. καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς. ἐπλήρωσας [2]), διάβολε; ἔχεις τι λαλῆσαι; Οὐ, Κύριέ μου, ἔχω σοι λαλῆσαι. Ὁ δὲ Ἰησοῦς μετέστη εἰς τὴν θεικὴν αὐτοῦ δόξαν καὶ ἐκέλευσε μετασταθῆναι αὐτὸν ὡς ἀπὸ σταδίων ιγ'. καὶ ἐσφράγισεν τὴν γῆν καὶ ἐσχίσθη [3]) ἡ γῆ πῆχας ἑκατὸν καὶ συνέβαλεν τὸν διάβολον κάτω, καὶ ἀφῆκεν ὁ διάβολος φωνὴν μεγάλην λέγων [4]). Ὁ Κύριος λέγει. κάτελθε καὶ ἰδεῖν ἔχεις. Ὁ διάβολος λέγει. Κύριέ μου, πόσον βάθος; ὁ Κύριος λέγει. ὡς δεκαεπτὰ ἐτῶν παιδίον τῆς δυνάμεως αὐτοῦ ἀποκυλίσαι λίθον ὥστε ποιῆσαι ὁ λίθος κυλιόμενος εἴκοσι χρόνους. ἐκεῖ θέλεις κατελθεῖν. Ὁ διάβολος λέγει. Κύριέ μου, καὶ ἀπὸ τότε τί; Ὁ Κύριος λέγει. ἀπὸ τότε ἐβγεῖν ἔχεις καὶ γεννηθῆν(αι) ἔχεις ἔτη τρία καὶ πιστεύσωσιν εἰς σὲ πολλοί. Καὶ ὁ διάβολος

---

[1]) Cod. κατελεῖναι αὐτόν. [2]) Cod. ἐπλήρωcεc. [3]) Cod. ἐcχίcτη. [4]) Nonnulla exciderunt.

λέγει. Κύριέ μου [1]), καὶ ἀπὸ τότε ποιήσειν ἔχω τὸν ἐνιαυτὸν ὡς μῆναν καὶ τὸν μῆναν ὡς ἑβδομάδαν καὶ τὴν ἑβδομάδαν ὡς ἡμέραν καὶ τὴν ἡμέραν ὡς ὥραν καὶ τὴν ὥραν ὡς στιγμήν. κολοβωθήσονται δὲ αἱ ἡμέραι διὰ τοὺς ἐκλεκτούς μου. Καὶ ὁ διάβολος λέγει. Κύριέ μου, καὶ ἀπὸ τότε τί; Ὁ Κύριος λέγει. ἀπὸ τότε ἐβγεῖν ἔχεις εἰς χώραν λεγομένην Γουζῆ, χώρα τῶν Αἰγυπτίων. ἐκεῖ θέλει ἐλθεῖν ἡ μήτηρ μου, ἡ ἁγία Θεοτόκος, καὶ Ἡλίας καὶ Ἐνὼχ καὶ μύριαι αἱ μυριάδες ἀγγέλων, καὶ ἀποκτείνειν σε ἔχουν, κύον πονηρέ, διάβολε. Ὅτι τῷ ἁγίῳ Θεῷ ἡμῶν πρέπει δόξα ἅμα τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

β.

Diaboli contradictio Iesu Christo.

— μόσυνον ἁγίων καὶ δικαιοκρισίαν καὶ ἀγαθά, παραδώσεται ἀρχαγγέλῳ Μιχαὴλ τῶν ἄνω στρατηγῷ καὶ ἐμοὶ ἱκέτης [2]) γενήσεται καὶ ἐξαμφωτίσω αὐτὸν καὶ ἄγω αὐτὸν εἰς τὸν παράδεισον. Καὶ πάλιν ὁ Ἰησοῦς λέγει. εἰ ζήσεται ἄνθρωπος καὶ ἐσὴν διάνοιαν πράξει καὶ τὴν ἐμὴν δόξαν ἀθετήσει ἕως π′ ἔτη καὶ ἕως τὰ ει′ (sic) ἔτη καὶ οὐκ ἐλθῇ εἰς μετάνοιαν, παραδοθήσεται ἀγγέλῳ Ἐμελούχῳ καὶ ἀποφέρουσιν αὐτὸν εἰς τὸ σκότος τὸ ἐξώτερον μετὰ τῶν ἀρχεκάκων δαιμόνων καὶ κολασθήσεται, κατὰ τὸ πταῖσμα αὐτοῦ ἀριθμήσω, ζητήσω αὐτὸν εἰς τὸ τέλειόν μου καὶ οὐ μὴ ἀπολέσω αὐτὸν διότι πλάσμα μοῦ ἐστιν. Καὶ ὁ διάβολος λέγει. τίνες εἰσὶν οἱ ἐμοὶ μέτοχοι καὶ τὰ ἐμὰ θελήματα; Ὁ Ἰησοῦς λέγει· τὰ ἐσὰ ἔργα, τὰ ἐσὰ θελήματα ταῦτά εἰσιν. ροῦγχοι, πορνεῖαι, ψευδομαρτυρίαις, παρακροήματα, λευκόματα, πορνεῖαι, κλοπαί, φόνοι, μέθυς, παίγνια, κούρταλα, ὀρχήσματα κιθαρίσματα, μνησικακίαις, μάχαιραι ἐπὶ συντέκνους, χωρισμὸς ἀνδρογύνων, ζῆλος ἐπὶ ἀδελφοὺς καὶ γείτονας καὶ τὰ μὴ τῷ θεῷ ἀρέσκοντα. ἀληθῶς ταῦτά εἰσιν τὰ ἔργα σου καὶ πληέστερα. Ὁ διάβολος λέγει. σὺ βασιλεὺς ἐν οὐρανοῖς, ἐγὼ ἐπὶ τῆς γῆς· σὺ Χριστὸς

---

[1]) Plura excidisse videntur. [2]) An οἰκέτης?

κἀγὼ ἀντίχριστος. Ὁ Ἰησοῦς λέγει. ὦ σατανᾶ, πάλιν διαλογίζεσαι; Καὶ προσεύξατο ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ ἐκρέμασεν τὸν διάβολον ἐν νεφέλῃ τοῦ οὐρανοῦ ἐπὶ ποδῶν καὶ καπνὸν τεαφίου ἐκάπνιζεν αὐτόν. Καὶ ὁ διάβολος ἔκραξεν φωνὴν μεγάλην λέγων. Κύριε, κατάγαγέ με ἐκ τῆς ἀνάγκης ταύτης, καὶ ὅσους ἐποίησα πιστεύειν εἰς τὸ μεμιαμένον μου ὄνομα, ποιήσειν ἔχω αὐτοὺς μεταβληθῆναι εἰς σέ. Καὶ ἐκέλευσεν αὐτὸν ὁ Κύριος κατενεχθῆναι ἐπὶ τῆς γῆς καὶ ὡς ἀστραπὴ [1]) πεσόντος τοῦ διαβόλου ἐπὶ τῆς γῆς, βάλας ρόγχον εἰς τὸ στόμα αὐτοῦ μεγάλος ἐπανέστη τοῦ πιάσαι [2]) τὸν Ἰησοῦν. Ὁ δὲ Ἰησοῦς λέγει αὐτῷ. ὦ σατανᾶ, πάλιν διαλογίζεσαι; οὐκ ἐμπτύω σε οὐδὲ ἐμφυσῶ σε, τὸ γὰρ πτύσμα μου ἴαμα καὶ δύναμίς μοῦ ἐστιν, ὁ δὲ ἐμφυσισμός μου πανάγιον (πνεῦμα) ἐκπορεύεται ἐκ τοῦ στόματός μου. μὰ τὰς δυνάμεις μου τὰς μεγάλας, ἐὰν μή σοι πολεμήσω, οὐκ ἔσομαι βασιλεὺς τῶν αἰώνων. Ὁ διάβολος λέγει· ἐπὶ γῆς σὺ Χριστὸς κἀγὼ ἀντίχριστος. Ὁ Ἰησοῦς λέγει. σὺ φάντασμα εἶ. Ὁ διάβολος λέγει. καὶ σὺ φάντασμα ὃ ἐκ γυναικὸς ἐγεννήθης. Ὁ Ἰησοῦς λέγει. ἀληθῶς ὅτι ἐκ γυναικὸς ἐγεννήθην καὶ διὰ τοῦτο οὐ μὴ ἐγκαταλείπω τὸ γένος τῶν ἀνθρώπων. ἐγὼ ἔπλασα καὶ οὐ μὴ ἐγκαταλείπω, σὲ δὲ ἀποκτείνειν ἔχω. ὁ διάβολος λέγει. καὶ ἐγὼ [3]) ἐσὲ ἐπὶ ἀρχιερέως τοῦ Καιάφα ὡς καὶ ἐπ' Ἡρώδου τοῦ βασιλέως Ἰωάννην τὸν βαπτίσαντά σε ἐποίησα ἀποκεφαλισθῆναι καὶ δοθῆναι τὴν κεφαλὴν αὐτοῦ ἐπὶ πίνακος εἰς ὄρχησμα κορασίου ἔμπροσθεν τοῦ Ἡρώδου. Ὁ Ἰησοῦς λέγει. ὦ σατανᾶ, πάλιν διαλογίζεσαι; καὶ προσηύξατο ὁ Κύριος ἐκ τρίτου καὶ ἐσφράγισεν τὴν γῆν καὶ ἐσχίσθη ἡ γῆ ἕως τὰ καταχθώνια τῆς ἀβύσσου καὶ ἐκέλευσεν ἐκεῖ κατενεχθῆναι τὸν διάβολον. Καὶ ὁ διάβολος λέγει. Κύριε, ποῦ ὑπάγω; Ὁ Ἰησοῦς λέγει. ὅπου ἐσὺ ὑπάγεις, ϛη' ἄνδρες κυλίσωσιν λίθον τῆς δυνάμεως αὐτῶν καὶ ἕως τὰ πεντήκοντα ἔτη ὁ λίθος κατερχόμενος γενήσεται ὡς κόκκος σινάπεως, ἕως οὗ ἐγγίσει εἰς τὸν τόπον ὅπου ἐσὺ ὑπάγεις. Ὁ διάβολος λέγει. Κύριε, καὶ ἀπὸ τότε τί; ὁ Ἰησοῦς λέγει. ποιήσεις ἐκεῖ ἕως τῆς συντελείας τοῦ αἰῶνος τυπτόμενος ὑπὸ κδ' ἀγγέλων νυκτὸς καὶ ἡμε-

---

[1]) Cod. ἀςτραπῆς. [2]) Correxi ex ποιῆςαι. [3]) Verbum omisit calumniandi librarius.

ρός, μετὰ δὲ τῆς συντελείας τοῦ αἰῶνος ἐξελθεῖν ἔχεις ἐπὶ τῆς γῆς καὶ ἐλθεῖν εἰς πόλιν Δάφνην εἰς χωρίαν Γουζῆ, πραθεὶς ὅμοιον ὀψαρίου. συνλάβεταί σε κόρη παρθένος ὀνόματι Εὐδοκία ὅτι καὶ ἐξ ἀδικίας ὠφείλεις γεννηθῆναι. ἐξ αὐτῆς τεχθεὶς τριμηνήτης καὶ στήσεις τὸν θρόνον σου ἐπὶ τῆς γῆς καὶ βασιλεύσεις ἔτη τρία. Καὶ ὁ διάβολος λέγει. τέως βασιλεύσειν ἔχω; Ὁ Ἰησοῦς λέγει. ὦ σατανᾶ, μὴ χαίρου, ὅτι βασιλεύσειν ἔχεις, ἀλλὰ δύναμαι μετακινεῖν τοὺς ἐνιαυτοὺς ὡς βιβλίον καὶ ποιήσειν ἔχω τοὺς τρεῖς χρόνους τρεῖς μῆνας ἢ τρεῖς ἑβδομάδας, τὰς ἑβδομάδας ἡμέρας, τὰς ἡμέρας ὥρας, τὰς ὥρας στιγμάς. Ὁ διάβολος λέγει. Κύριε, καὶ ἀπ' ἐκεῖ τί; Ὁ Ἰησοῦς λέγει. τὸν αὐτὸν καιρὸν γενήσεται σίτος καὶ οἶνος πολὺς καὶ τῶν δύο [1]) καιρῶν οὐχ εὑρεθήσεται εἰς τὰ τέτρα (=τέσσαρα) πέρατα ἢ οἶνος ἢ ἔλαιος εἰ μὴ ἡ (sic) χήρας γυναικὸς φοινίκην σίτου καὶ ἡμίλιτρον ἐλαίου. ἐγὼ αὐτὸς ἐλεύσομαι μετὰ Ἐνὼχ καὶ Ἡλίου καὶ Ἰωάννου καὶ μετὰ τῆς μητρός μου τῆς παρθένου καὶ μετὰ τὸν ἅγιον Ἰωάννην τὸν βαπτίσαντά με τὸν καὶ εἶπας ὅτι ἐπιπαίγνιον ἀρίστου ἐποίησα ἀποκεφαλισθῆναι καὶ δοθῆναι τὴν κεφαλὴν αὐτοῦ ἐπὶ πίνακος ἔμπροσθεν τοῦ Ἡρώδου. αὐτὸν ἀποστέλλω πρὸς ὀνειδισμὸν καὶ ἀπώλειάν σου· αὐτοί σε ἀπελέγξουσιν τοῦ μηκέτι φαίνεσθαι τὸ ὄνομά σου μήτε ἐν οὐρανῷ μήτε ἐπὶ γῆς. ὅτι μεγάλη ἡ δύναμις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας [2]) τῶν αἰώνων, ἀμήν.

---

3. Вопросы Варѳоломѣя.

Quaestiones sancti Bartholomaei apostoli

— τός με. καὶ ταῦτα λέγοντος αὐτοῦ εἶπεν τοῖς ἀποστόλοις. περιμείνατέ με ἐν τῷ τόπῳ τούτῳ, ὅτι σήμερον ἐν τῷ παραδείσῳ θυσία [3]) ἀναφέρεται ἵνα παραγενάμενος δέξωμαι αὐτήν. Ὁ δὲ Βαρθωλωμαῖος ἀποκριθεὶς εἶπεν πρὸς τὸν Ἰησοῦν. Κύριε, τίς

---

[1]) Cod. δύων. [2]) Cod. αἰώνους. [3]) Cod. θυσίαν.

ἐστιν ἡ ἐν τῷ παραδείσῳ ἀναφερομένη θυσία; ὁ δὲ Ἰησοῦς λέγει. ψυχαὶ δικαίων σήμερον ἐκ τοῦ σώματος ἐξελθοῦσαι ἔρχονται ἐν τῷ παραδείσῳ, καὶ ἐὰν μὴ παραγένωμαι οὐκ ἔρχονται ἔνδοθεν. Ὁ δὲ Βαρθωλωμαῖος εἶπεν. πόσαι εἰσὶν ψυχαί, Κύριε, αἱ εἰσερχόμεναι [1]) ἐν τῷ παραδείσῳ; ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν πρὸς αὐτόν. τρεῖς εἰσιν. Ὁ δὲ Βαρθωλωμαῖος λέγει αὐτόν. Κύριε, ὅτε μεθ' ἡμῶν τὸν λόγον ἐδίδασκες, ἐδέχου τὰς θυσίας ἐν τῷ παραδείσῳ; Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς λέγει πρὸς αὐτόν. ἀμὴν λέγω σοι, ἀγαπητέ μου, ὅτι καὶ μεθ' ὑμῶν τὸν λόγον ἐδίδασκον καὶ ἀδιαλύπως μετὰ τοῦ Πατρὸς ἐκαθεζόμην καὶ ἐν τῷ παραδείσῳ καθ' ἑκάστην τὰς θυσίας ἐδεχόμην. Ἀποκριθεὶς δὲ ὁ Βαρθωλωμαῖος λέγει αὐτῷ. Κύριε, τρεῖς μόνον ψυχαὶς ἐξέρχονται καθ' ἑκάστην ἡμέραν; Λέγει αὐτὸν ὁ Ἰησοῦς. μόλις αἱ πεντήκοντα τρεῖς, ἀγαπητέ μου. Πάλιν Βαρθωλωμαῖος λέγει. καὶ πῶς τρεῖς μόνον εἰσέρχονται εἰς τὸν παράδεισον [2]) ἤτοι ἀποτίθονται εἰς τὸν κόλπον Ἀβραάμ. αἱ δὲ λοιπαὶ εἰσιν εἰς τὸν τόπον τῆς ἀναστάσεως, ὅτι οὐκ εἰσὶν αἱ τρεῖς ὡς αὐταὶ αἱ πεντήκοντα. Λέγει αὐτὸν ὁ Βαρθωλωμαῖος. πόσαι εἰσὶν ψυχαί, Κύριε, ἐν τῷ κόσμῳ περισσαὶ ἐγένοντο; Λέγει αὐτὸν ὁ Ἰησοῦς. μία μόνον περισσεύεται τῶν ἐξερχομένων γεννᾶται ψυχή. Καὶ ταῦτα λεγόντων (i. e. αὐτῶν) ἔδωκεν αὐτοῖς τὴν εἰρήνην καὶ ἀφανὴς ἐγένετο ἀπ' αὐτῶν. Ἦσαν δὲ οἱ ἀπόστολοι ἐν τῷ χερουβὶμ μετὰ Μαρίας. ἐγγίσας δὲ ὁ Βαρθωλωμαῖος λέγει τῷ Πέτρῳ καὶ τῷ Ἀνδρέᾳ καὶ τῷ Ἰωάννῳ. ἐρωτήσωμεν τὴν κεχαριτωμένην Μαριάμ, πῶς συνέλαβεν τὸν ἀχώρητον ἢ πῶς ἐβάσταζεν τὸν ἀβάστακτον, ἢ πῶς ἔτεκεν τὸ τηλικοῦτον μέγεθος; Οἱ δὲ ἐβάσταζον [3]) ἐρωτῆσαι αὐτήν. Λέγει οὖν ὁ Βαρθωλωμαῖος τῷ Πέτρῳ. πάτερ Πέτρε, σὺ ὡς κορυφαῖος αἰτήσας ἐρώτησον αὐτήν. Ὁ δὲ Πέτρος (λέγει) τῷ Ἰώαννῳ. σὺ ὡς παρθένος καὶ σύμμεπτος κέχρησαι ἐρώτησαι αὐτήν. Πάντων δὲ διστάζόντων καὶ ἀμφιβαλλόντων ἐγγίσας ὁ Βαρθωλωμαῖος θεωρεῖ τὸ πρόσωπον εἶπεν αὐτήν. κεχαριτωμένη σκηνὴ περικομμένη [4]) ἀμόλυντε. ἐρωτῶμέν σε, πάντες οἱ ἀπόστολοι ἀπέστειλάν με πρός σε ἵνα εἴπῃς ἡμῖν, πῶς συνέλαβες τὸν ἀχώρητον ἢ πῶς

---

[1]) Cod. εἰησερχώμεναι. [2]) **Quaedam praetermissa videntur.** [3]) Leg. ἐδίσταζον. [4]) Cod. περικαμμένη.

ἐβάσταξας τὸν ἀβάσταχτον ἢ πῶς ἔτεκες τὸ τηλικοῦτον μέγεθος; Ἡ δὲ Μαριὰμ λέγει αὐτοῖς. ἐρωτᾶτέ με περὶ τοῦ μυστηρίου τούτου; ἐὰν ἄρξωμαι λέγειν ὑμῶν πῦρ ἐκ τοῦ στόματός μου ἐξελεύσεται καὶ καταφλέγει πᾶσαν τὴν οἰκουμένην. οἱ δὲ μᾶλλον προσετέθησαν [1]) τοῦ ἐρωτᾶν αὐτήν. αὐτὴ δὲ μὴ θέλουσα παρακοῦσαι τῶν ἀποστόλων εἶπεν. στῶμεν ἐν προσευχῇ. καὶ ἔστησαν οἱ ἀπόστολοι ὄπισθεν Μαρίας. αὐτὴ δὲ λέγει τῷ Πέτρῳ. Πέτρε κορυφαῖε καὶ στύλε μέγιστε, ὄπισθεν ἡμῶν ἐστήκεις; οὐκ εἶπεν ὁ Κύριος ἡμῶν ὅτι κεφαλὴ ἀνδρὸς ὁ Χριστὸς [2]); νῦν οὖν ἔνπροσθέν μου σταθέντες εὔξασθε. οἱ δὲ λέγουσιν αὐτήν. ἐν σοὶ τὴν σκηνὴν αὐτοῦ ἔπηξεν ὁ Κύριος καὶ εὐδώκησέν σε χωρεῖν αὐτόν, καὶ σὺ μᾶλλον ὀφείλεις συνιέναι ἐπὶ τὴν προσευχήν. Ἡ δὲ λέγει αὐτοῖς. ὑμεῖς ἐστε ἀστέρες λάμποντες, καθὼς εἶπεν ὁ προφήτης. ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη ὅθεν ἥξει ἡ βοήθειά μου. ὑμεῖς οὖν ἐστε τὰ ὄρη καὶ ὑμᾶς δεῖ εὔξασθαι. Λέγουσιν αὐτὴν οἱ ἀπόστολοι. σὲ χρὴ........ θαι [3]) τὴν μητέραν τοῦ ἐπουρανίου βασιλέως. Λέγει αὐτοῖς Μαριάμ. κατὰ τὴν ἐκτύπωσιν ὑμῶν ἔπλασεν ὁ θεὸς τὰ στρουθία καὶ ἀπέστειλεν αὐτὰ εἰς τὰς τέσσαρες γωνίας τοῦ κόσμου. Οἱ δὲ λέγουσιν αὐτήν. ὁ ἐν τοῖς ἑπτὰ οὐρανοῖς μόλις χωρηθεὶς εἰς σὲ εὐδώκησεν (χωρηθῆναι?). ἡ δὲ Μαρία ἔστη ἔμπροσθεν αὐτῶν καὶ ἤρξατο λέγειν οὕτως. ἐλφουὲ. ζαρεθρὰ. χαρβοὺμ. νεμιὼθ μελιθῶ. θραβουθὰ. μεφνουνὸς. χεμιὰθ. ἀρουρὰ. μαριδῶν. ἐλισῶν. μαρμιαδῶν. σεφῶν. ἠσαβουθὰ. ἐννουνά. σακτινὸς ἀθοὺρ. βελελὰμ. ὠφεὼθ. ἀβίω. χρασὰρ. ὅ ἐστιν τῇ ἑλληνίδι γλώσσῃ· ὁ θεὸς ὁ ὑπερμεγεθὴς καὶ πάνσοφος καὶ βασιλεὺς τῶν αἰώνων, ὁ ἀνεκδιήγητος [4]), ὁ ἀνεκλάλητος, ὁ τὰ μεγέθη τῶν οὐρανῶν συνστησάμενος λόγῳ τὰ πάντα, ὁ ἐκ γνόφων ἁρμονίων πόλους οὐρανίους συνστησάμενος καὶ συμπήξας, ὁ τὴν διάτριτον ὕλην... [5]) ματήσας, ὁ τὰ ἄσυστα εἰς σύστασιν ἀγαγών, ὁ τὸν ζωφερὸν σκότος ἀπὸ τοῦ φωτὸς διαχωρίσας, ὁ θεμελίους ὑδάτων συνστησάμενος ἐπὶ τῷ αὐτῷ, ὁ τῶν αἰθέρει γενόμενος δρόμος [6]) καὶ τῶν ἐπιγείων φανεὶς φόβος, ὁ τὴν γῆν ἑδράσας καὶ μὴ εὐδωκήσας αὐτὴν ἀπολέσθαι, ὅτε πάντων τὴν τροφήν, γῆν

---

[1]) Cod. προσετέθη. [2]) Exciderunt aliqua. [3]) Exciderunt. [4]) Cod. ἀνεγδιήτητος. [5]) Duae tresve litterae exciderunt. [6]) Cod. δρόμον.

ὑετῶν πληρώσας, τῶν εὐλόγως τοῦ Πατρός. ὃν ἑπτὰ οὐρανοὶ μόλις ἐχώρησαν, ἐν ἐμοὶ δὲ εὐδωκήσας ἀνοδύνως χωρησθῆναι, ὁ πλήρης λόγος οὕτως ὑπάρχων τοῦ Πατρὸς καὶ ἐν σοὶ πάντα γέγονεν. δὸς δόξαν τῷ ὑπερμεγέθει σου ὀνόματι καὶ φθέγξασθαί με κέλευσον [1]) ἐνώπιον τῶν ἁγίων σου ἀποστόλων. Καὶ πληρώσας τὴν προσευχὴν ἤρξαντο λέγειν αὐτοῖς. καθίσωμεν ἐπὶ τοῦ ἐδάφους καὶ ἐλθοῦσα [2]) σὺ, Πέτρε κορυφαῖε, καὶ κάθισον ἐκ δεξιῶν μου καὶ ὑπόβαλον τὴν εὐώνυμόν σου χεῖραν ὑπὸ τὴν μασχήν [3]) μου. καὶ σὺ, Ἀνδρέα, ποίησον οὕτως. σὺ δὲ Ἰωάννης παρθένε, σύσχε μου τὸ στῆθος. σὺ δὲ Βαρθωλωμαῖε, πῆξον τὰ γόνατά σου εἰς τοὺς ὤμους μου καὶ σφίγξον τοὺς ὤμους μου, μή ποτε ἀρξαμένης μου λέγειν λυθῶσι τὰ ὀστᾶ μου. Κάὶ ὡς ἐποίει οὕτως ἤρξαντο λέγειν. ὡς ἤμην ἐν τῷ ναῷ τοῦ θεοῦ λαμβάνουσα τροφὴν ἐκ χειρὸς ἀγγέλου, μιᾷ τῶν ἡμερῶν ἐφάνη μοι ἄγγελος. θέσει μὲν ἀγγέλου, τὸ δὲ πρόσωπον αὐτοῦ ἦν ἀχώρητον, οὐκ ἔχων ἐν τῇ χειρὶ αὐτοῦ ἄρτον ἢ ποτήριον καθὼς ὁ πρὶν ἐρχόμενος πρός με ἄγγελος. καὶ εὐθὺς διε(ρ)ράγη τὸ πέπτον τοῦ ναοῦ καὶ σεισμὸς ἐγένετο σφοδρὸς καὶ ἔπεσα ἐγὼ ἐπὶ τὴν γῆν καὶ μὴ φέρουσα τὴν ἰδέαν αὐτοῦ. ὁ δὲ ὑπόβαλεν τὴν χεῖρα αὐτοῦ καὶ ἤγειρέν με καὶ ἀνέβλεψα εἰς τὸν οὐρανὸν καὶ ἦλθεν νεφέλη δρόσου εἰς τὸ πρόσωπόν μου καὶ ἐράντησέ με ἀπὸ κεφαλῆς ἕως ποδῶν καὶ ἀπέμαξέ με τῇ στολῇ αὐτοῦ καὶ εἶπέν μοι. χαῖρε, κεχαριτωμένη, σκεῦος ἐκλογῆς καὶ χάρις ἀνέκλειπτε. καὶ ἐπάταξεν τὴν δεξιὰν τοῦ ἐνδύματος καὶ ἐγένετο ἄρτος ὑπερμεγεθὴς καὶ ἔθετο ἐπὶ τὸ θυσιαστήριον τοῦ ναοῦ καὶ ἔφαγεν αὐτὸς πρῶτον καὶ ἔδωκεν κἀμοί. καὶ ἐθεώρησα καὶ ἴδων [4]) πλήρης οἴνου. καὶ ἔθετο ἐπὶ τὸ θυσιαστήριον τοῦ ναοῦ καὶ ἔπιεν αὐτὸς πρῶτον καὶ ἔδωκεν κἀμοὶ καὶ ἐθεώρησα καὶ ἴδων πλήρης τὸν ἄρτον καὶ τὸ ποτήριον καὶ εἶπέν μοι. ἔτι τρεῖς ἐνιαυτῶν (sic) καὶ ἀποστείλω σοι τὸν λόγον μου. καὶ συλλήψῃ υἱόν μου καὶ δι' αὐτοῦ σωθήσεται πᾶσα ἡ κτίσις μου. εἰρήνη σοι, κεχαριτωμένη, καὶ ἐν σοὶ ἔσται ἡ εἰρήνη μου διαπαντός. καὶ εἰρηκώς μοι ταῦτα ἀφανὴς ἐγένετο ἀπὸ τῶν ὀφθαλμῶν μου καὶ ἐγένετο ὁ ναὸς καθὼς ἦν

---

[1]) Cod. κελεύσω. [2]) Praetermissa sunt nonnulla. [3]) Leg. μασχάλην. [4]) An quid excidit?

τὸ πρότερον. Ταῦτα λεγούσης αὐτῆς ἐξῆλθεν πῦρ ἐκ τοῦ στόματος αὐτῆς καὶ μέλλον τὸ συντελεῖσθαι τὸν κόσμον. Δρομαῖος παρεγένετο ὁ Ἰησοῦς καὶ λέγει πρὸς Μαριάμ. μὴ φοβοῦ τοῦτο, ἐπεὶ συντελεῖται πᾶσα ἡ κτίσις μου σήμερον. Καὶ φόβον συνεσχέθησαν οἱ ἀπόστολοι, μή ποτε ὀργισθῇ αὐτοῖς ὁ θεός. Καὶ ἀπῆλθεν μετ' αὐτῶν εἰς τὸ ὄρος καὶ ἐκάθισεν ἐν μέσῳ αὐτῶν. οἱ δὲ ἐδίσταζον ὁρᾶν αὐτὸν φοβούμενοι. Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς λέγει αὐτοῖς. αἰτήσασθέ με ὃ βούλεσθε ἵνα διδάξω ὑμᾶς καὶ δείξω, ἔτι γὰρ ἑπτὰ ἡμέραι καὶ ἀνέρχομαι πρὸς τὸν πατέρα μου καὶ οὐκ ἔτι ὑμῖν ὀφθήσομαι τῇ ἰδέᾳ ταύτῃ. Οἱ δὲ διστάζοντες λέγουσιν αὐτόν. Κύριε, δεῖξον ἡμῖν τὴν ἄβυσσον κατὰ τὴν ἐπαγγελίαν σου. Οὐ καλὸν ὑμῖν ἐστιν ἰδεῖν τὴν ἄβυσσον, εἰ δὲ θέλετε κατὰ τὴν ἐπαγγελίαν μου, δεῦτε ἀκολουθήσετέ μοι καὶ ἴδατε. καὶ ἀπήγαγεν αὐτοὺς ἐν τόπῳ λεγομένῳ [1]) χαιρουβίμ, ὅτι τόπος ἀληθείας, καὶ ἔνευσεν τοῖς δυ(τϊ)κοῖς ἀγγέλοις καὶ ἐτυλίχθη ὡς βιβλίον ἡ γῆ καὶ ἀπεκαλύφθη αὐτοῖς ἡ ἄβυσσος. Ἰδὼν δὲ αὐτὴν οἱ ἀπόστολοι ἔπεσαν ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν. ὁ δὲ Ἰησοῦς ἤγειρεν αὐτοὺς λέγων. οὐκ εἶπον ὑμῖν, οὐ καλόν ἐστιν ἰδεῖν τὴν ἄβυσσον; καὶ πάλιν ἔνευσεν τοῖς ἀγγέλοις καὶ ἐπεκαλύφθη ἡ ἄβυσσος. καὶ παραλαβὼν αὐτοὺς ἀπέρχετο εἰς τὸ ὄρος τῶν Ἐλαιῶν. Ἔλεγεν δὲ ὁ Πέτρος τὴν Μαριάμ. κεχαριτωμένη, δεήθητι τοῦ Κυρίου ἵνα ἡμῖν πάντα ἀποκαλύψῃ τὰ ἐν τοῖς οὐρανοῖς. Καὶ ἡ Μαρία πρὸς Πέτρον εἶπεν. ἀκρότομε Πέτρε, οὐχὶ ἐποίησεν [2]) οἰκοδώμησεν τὴν ἐκκλησίαν; σὺ οὖν πρῶτος ἐλθὼν ἐρώτησον αὐτόν. Πάλιν ὁ Πέτρος λέγει. [3]) σκηνὴ πεπλανημένη. Μαρία λέγει. σὺ τὸ ἐκτύπωμα τοῦ Ἀδάμ. οὐκ αὐτὸς οὕτως ἐπλάσθη καὶ οὕτως Εὔα; βλέπε τὸν ἥλιον ὅτι κατὰ τὸν τύπον τοῦ Ἀδὰμ λαμπρός ἐστιν, διὰ δὲ τὴν παράβασιν τῆς Εὔας βλέπε τὴν σελήνην ὅτι πηλὸς πεπλήρωται. ἔθετο γὰρ ὁ θεὸς τὸν Ἀδὰμ εἰς ἀνατολάς, τὴν δὲ Εὔαν πρὸς δυσμὰς καὶ διετάξατο τοῖς ἄστροις ὥστε φαίνειν ἐπὶ τῆς γῆς, τὸν μὲν ἥλιον τῷ Ἀδὰμ ἐξ ἀνατολῶν πυρίνοις ἅρμασιν, τὴν δὲ σελήνην ἀπὸ δυσμὰς γαλατρωπρόσωπον φέγγος διδόναι τῇ Εὔᾳ. καὶ ἐμίανεν τὸ πρόσταγμα Κυρίου. διὰ τοῦτο ἐπηλώθη

[1]) Cod. λεγόμενον. [2]) Nonnulla excidisse videntur. [3]) Iterum excidisse aliqua videntur.

ἡ σελήνη καὶ οὐ λαμπρύνει τὸ φέγγος αὐτῆς. σὺ οὖν ἐπειδὴ τὸ ἐκτύπωμαν τοῦ Ἀδάμ, σὺ ὀφείλεις ἐρωτᾶν, ἐν ἐμοὶ δὲ ἐχώρησεν διὰ τὸ ἀνακαλέσασθαί με τὴν ἰσχὺν τῶν θηλείων. Ὅτε δὲ ἀνῆλθεν εἰς τὴν κορυφὴν τοῦ ὄρους καὶ μικρὸν ὑπεχώρησεν ἀπ' αὐτῶν ὁ Δεσπότης, λέγει ὁ Πέτρος πρὸς τὴν Μαρίαν. σὺ εἶ καταργήσασα τὴν ἰσχὺν τῆς Εὔας ἀπὸ αἰσχύνης εἰς χαρὰν μεταβαλοῦσα, σοὶ οὖν ἔξεστιν ἐρωτᾶν. Πάλιν φανέντος τοῦ Ἰησοῦ λέγει αὐτὸν ὁ Βαρθωλωμαῖος. Κύριε, δεῖξον ἡμῖν τὸν ἀντίπαλον τῶν ἀνθρώπων, ἵνα θεασώμεθα αὐτὸν ὁποῖός ἐστιν ἢ (τί) τὸ ἔργον αὐτοῦ, ἢ πόθεν ὁρμᾶται, ἢ ποίαν δύναμιν ἔχει, ὅτι καὶ σοῦ αὐτοῦ οὐκ ἐφείσατο, ἀλλ' ἐποίησέν σε ἐπὶ ξύλου κρεμασθῆναι. Ἀπαβλεψάμενος δὲ αὐτὸν ὁ Ἰησοῦς λέγει αὐτῷ. ὦ καρδία αὐστηρά! ἃ οὐ δύνῃ θεωρεῖν ἐκεῖνα ἐρωτᾷς. Ὁ δὲ Βαρθωλωμαῖος πτωηθεὶς ἔπεσεν πρὸς τοὺς πόδας τοῦ Ἰησοῦ καὶ ἤρξαντο λέγειν οὕτως. Λαμπτὴρ ἄσβεστε, Κύριε Ἰησοῦ Χριστέ, ἀνέκλειπτε, ὁ τὴν παγκόσμιον χάριν δωρησάμενος τοῖς ἀγαπῶσίν σε, ὁ τὸ αἰώνιον φῶς δωρησάμενος διὰ τῆς ἐν κόσμῳ σου παρουσίας, ὁ τὴν ἄνω οὐσίαν λόγῳ πατρὸς ἔργον ἐπιτελέσας, ὁ τὸ σκύθρωπον τοῦ Ἀδὰμ εἰς εὐφροσύνην μεταβαλών, ὁ τὴν λύπην τῆς Εὔας χαρίεν [1]) τὸ πρόσωπον καταργήσας διὰ τῆς ἐκ παρθένου μητρὸς (scil. γενεᾶς), ἀμνησικάκως μοι χωρήγησον τὸν λόγον τῆς ἐπερωτήσεως. Καὶ ταῦτα λέγοντος αὐτοῦ ἤγειρεν αὐτὸν ὁ Ἰησοῦς (καὶ) λέγει αὐτῷ. βούλῃ ἰδεῖν, Βαρθωλωμαῖε, τὸν ἀντίπαλον τῶν ἀνθρώπων; λέγω δὲ ὅτι βλέπων αὐτὸν οὐ μόνον δὲ σύ, ἀλλὰ καὶ σύν σοι οἱ ἀπόστολοι καὶ Μαρία πεσεῖσθε ἐπὶ πρόσωπον καὶ γένεσθε ὡς νεκροί. πάντες δὲ εἶπον αὐτῷ. Κύριε, θεασώμεθα αὐτὸν (σὺν) τοῖς ταρταρούχοις ἀγγέλοις. Ἔνευσε δὲ τὸν Μιχαὴλ σαλπίσαι ἐν τῷ ὕψει τῶν οὐρανῶν, καὶ ἐσείσθη ἡ γῆ καὶ ἀπῆλθεν ὁ Βελίαρ κατεχόμενος ὑπὸ ἑξακοσίων ἑξήκοντα τριῶν πυρίνων ἁλύσεων δεδεμένος. ἦν δὲ τὸ μῆκος αὐτοῦ πηχέων χιλίων ἑξακοσίων καὶ τὸ πλάτος αὐτοῦ πηχέων μ' καὶ τὸ πρόσωπον αὐτοῦ ὡς ἀστραπὴ πυρὸς καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ζωφώδεις καὶ ἐκ τῶν ῥινῶν αὐτοῦ ἐξέρχεται καπνὸς δυσώδης· ἦν δὲ τὸ στόμα αὐτοῦ ὡς χάσμα κρυμνοῦ, ἦν δὲ καὶ μία πτέρυξ αὐτοῦ πηχέων π'. Καὶ εὐθέως

[1]) Cod. χαρίη.

ἰδόντες αὐτὸν οἱ ἀπόστολοι ἔπεσαν ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν καὶ ἐγένοντο ὡς οἱ νεκροί. Ὁ δὲ Ἰησοῦς ἐγγίσας ἤγειρεν τοὺς ἀποστόλους καὶ ἔδωκεν αὐτοῖς πνεῦμα δυνάμεως καὶ λέγει τῷ Βαρθωλωμαίῳ. ἔγγισον, Βαρθωλωμαῖε, καὶ πάτησον τοὺς πόδας σου εἰς τὸν τράχηλον αὐτοῦ καὶ ἔρει σοι τὸ ἔργον αὐτοῦ τί ἐστιν ἢ πῶς ἀπατᾷ τοὺς ἀνθρώπους. ὁ δὲ Ἰησοῦς ἔστη ἀπομακρόθεν μετὰ τῶν ἀποστόλων. Καὶ ὕψωσεν τὴν φωνὴν αὐτοῦ ὁ Βαρθωλωμαῖος οὕτως. ὦ μήτρα πόλεως [1]) εὐρυχωροτέρα! ὦ μήτρα οὐρανῶν ἁπλώματος πλατυτέρα! ὦ μήτρα χωρέσασα ὃν οἱ ἑπτὰ οὐρανοὶ οὐ χωροῦσιν, σὺ δὲ χωρέσασα ἀνωδύνως ἔπεσχες δσιουθὲν [2]) ἐν κόλποις τοῖς σοῖς! ὦ μήτρα ἐν κρυπτοῖς τόποις ἀποκειμένη καὶ τὸν πολυφανερὸν Χριστὸν γεννήσα(σα)! ὦ μήτρα εὐρυχωροτέρα ὑπὲρ πᾶσαν τὴν κτίσιν, πρὸς βραχὺν γεναμένη! Καὶ φοβηθεὶς ὁ Βαρθωλωμαῖος λέγει. Κύριε Ἰησοῦ, δός μοι κράσπεδον ἀπὸ τῶν ἱματίων σου, ἵνα τολμήσω πρὸς αὐτόν. Ὁ δὲ Ἰησοῦς λέγει πρὸς αὐτόν. οὐ δύνῃ σὺ λαβεῖν κράσπεδον ἐκ τῶν ἱματίων μου, οὐ γάρ εἰσιν τὰ ἱμάτιά μου ταῦτα ἃ ἐφόρουν πρὸ τοῦ με σταυρωθῆναι. λέγει δὲ ὁ Βαρθωλωμαῖος. δέδοικα, Κύριε, ὅμοιος τῶν ἀγγέλων οὐκ ἐφείσατο, μὴ καὶ ἐμὲ ἄρα καταπίεται. Λέγει αὐτὸν ὁ Χριστός. οὐχὶ λόγῳ τῷ ἐμῷ πάντα γίνεται καὶ τῇ διανοίᾳ τοῦ πατρός μου ὑπετάγη τῷ πνεύματι τῷ Σολομῶνι (sic); σὺ οὖν κελευόμενος ἐν τῷ ὀνόματί μου ἄπελθε καὶ ἐρώτησον αὐτὸν ὃ βούλῃ. Ὁ δὲ Βαρθωλωμαῖος εἰς τὸν τράχηλον αὐτοῦ πατήσας ἀπώσατο τὸ πρόσωπον αὐτοῦ εἰς τὴν γῆν ἕως τὸ ἀκούων (sic) αὐτοῦ. καὶ λέγει αὐτῷ ὁ Βαρθωλωμαῖος. εἰπέ μοι, τίς εἶ σὺ καὶ τί τὸ ὄνομά σου; ὁ δὲ εἶπεν αὐτόν. ἐλάφρυνόν με ὀλίγον καὶ ἐρῶ σοι, τίς εἰμι ἐγὼ καὶ πῶς ἐλήλυθα ἐνταῦθα καὶ τί τὸ ἔργον μου καὶ ποία ἡ δύναμίς μου. Ὁ δὲ ἐλάφρυνας αὐτὸν λέγει αὐτῷ. λέγε πάντα [3]) ἃ σὺ πέπραττες καὶ ὅσα πράττεις. Ἀποκριθεὶς δὲ ὁ Βελίαρ λέγει. εἰ θέλεις μαθεῖν τὸ ὄνομά μου, πρῶτον ἐλεγόμην σαταναήλ, ὃ ἑρμηνεύεται ἐξάγγελος θεοῦ. τότε δὲ ἀγνοῶν ἀντίτυπον τοῦ θεοῦ, καὶ ἐκλήθη τὸ ὄνομά μου σατανᾶς, ὅ ἐστιν ἄγγελος ταρταροῦχος. Καὶ πάλιν λέγει αὐτὸν ὁ Βαρθωλωμαῖος. πάντα μοι ἀποκάλυψον καὶ μηδέν

---

[1]) Cod. πόλις. [2]) Leg. ὁσιωθέν. [3]) Cod. λέγε σαν̄'.

με ἀποκρύψῃς. αὐτὸς δὲ εἶπεν αὐτῷ. ὄμνυμί [1]) σοι κατὰ τῆς δυνάμεως τῆς δόξης τοῦ θεοῦ ὅτι ἐὰν θέλω ἀποκρύψαι οὐ δύναμαι, παρέσταται γὰρ ὁ ἐλέγχων με. εἰ γὰρ ἤμην δυνατός, ἂν καὶ ὑμᾶς εἶχον ἀπολέσαι ὡς τὸν ἕνα τῶν πρὸ ὑμῶν. καὶ γὰρ ἐγὼ πρῶτος ἄγγελος ἐξεπλάσθην. ὅτε γὰρ ἐποίει ὁ θεὸς τοὺς οὐρανούς, ἔλαβεν δράκα πυρὸς καὶ ἔπλασεν ἐμὲν πρῶτον, δεύτερον τὸν Μιχαήλ, τὸν γὰρ υἱὸν αὐτοῦ πρῶτον τοὺς οὐρανοὺς καὶ τὴν γῆν ἡμᾶς πλασθῆναι εἶχον (sic). ὅτε γὰρ ἐνενθυμήθη τὸ τὰ πάντα κτίσαι, εἶπεν λόγον. ὁ υἱὸς αὐτοῦ κέκτισθαι καὶ ἡμεῖς θελήματι τοῦ υἱοῦ καὶ συμβουλείᾳ τοῦ πατρός. ἔπλασεν ἐμὲ πρῶτον, δεύτερον Μιχαὴλ τὸν ἀρχιστράτηγον τῶν ἄνω δυνάμεων, τρίτον Γαβριήλ, τέταρτον Οὐριήλ, πέ(μ)πτον Ῥαφαήλ, ἕκτον Ναθαναήλ, καὶ ἑτέρους ἀγγέλους, ὧν τὰ ὀνόματα αὐτῶν λαλῆσαι οὐ. δύναμαι. ῥαβδοῦχοι γάρ εἰσιν τοῦ θεοῦ καὶ ῥαβδιωκοῦσίν με ἑπτάκις τῆς νυκτὸς καὶ ἑπτάκις τῆς ἡμέρας καὶ οὐκ. ἐῶσίν με ἐν μηδενὶ [2]) καὶ τὴν δύναμίν μου πᾶσαν κατακρύπτουσιν. οὗτοί εἰσιν. οἱ ἄγγελοι τῆς ἐκδικήσεως οἱ παρεστάμενοι τῷ θρόνῳ τοῦ θεοῦ. οὗτοί εἰσιν οἱ πρῶτοι πλασθέντες ἄγγελοι καὶ μετὰ τούτους ἐπλάσθησαν πάντες οἱ ἄγγελοι. τῷ πρῶτον οὐρανῷ μυριάδες ρʹ καὶ τῷ δεύτερον μυριάδες ρʹ καὶ τῷ γʹ μυριάδες ρʹ καὶ τῷ δʹ μυριάδες ἑκατὸν καὶ τῷ εʹ μυριάδες ρʹ καὶ τῷ ϛʹ μυριάδες ρʹ καὶ τῷ ζʹ οὐρανῶν τὸ πέταλός ἐστι τὸ πρῶτον, ὅπου εἰσὶν αἱ ἐξουσίαι ἐνεργοῦσαι τοῖς ἀνθρώποις. Εἰσὶν γὰρ ἕτεροι ἄγγελοι ἐπὶ τοῖς ἀνέμοις, ὁ μὲν εἷς ἄγγελος λέγεται ἐπὶ τοῦ βορρᾶ Χαιροὺμ καὶ κατέχει ἐν τῇ χειρὶ αὐτοῦ ῥάβδον πύρινον καὶ καταπαύει τὴν πολλὴν αὐτοῦ ὑγρότητα διὰ τὸ μὴ ξηραίνεσθαι τὴν γῆν. καὶ ὁ ἄγγελος ὁ ἐπὶ ἀπαρψετοῦ λέγεται ὁ Ἐρθά. ἔχει λαμπάδα πυρὸς καὶ προστίθησιν αὐτὸν καὶ εἰς τὰς πλευρὰς αὐτοῦ καὶ θερμαίνουσιν αὐτοῦ τὴν ψυχρότητα ἵνα μὴ πήξῃ τὴν οἰκουμένην. καὶ ὁ ἐπὶ τοῦ νώτου ἄγγελος λέγεται Κερκουθὰ καὶ θραύουσιν αὐτοῦ τὴν θρασύτηταν διὰ τὸ μὴ τινάξαι τὴν γῆν. καὶ ἐπὶ τοῦ λίβα ἄγγελος λέγεται Ναουθὰ καὶ ἔχει ῥάβδον χιονῶδες (sic) ἐν τῇ χειρὶ αὐτοῦ καὶ προστίθει εἰς τὸ στόμα αὐτοῦ καὶ σβένει τὸ πῦρ τὸ ἐξερχόμενον ἐκ τοῦ στόματος αὐτοῦ. Εἰ δὲ οὐκ ἦσαν τὸν ἄγγελον ἐπὶ τοῦ στόματος αὐτοῦ, ἔφλεγεν πᾶσαν τὴν οἰκου-

[1]) Cod. ὀμνυμην. [2]) Cod. μηδενύν.

μένην [1]). καὶ ἕτερος ἄγγελός. ἐστιν ἐπὶ τῆς θαλάσσης ὁ θρασύνων αὐτὴν διὰ τῶν κυμάτων. τὰ γὰρ λοιπὰ οὐκ ἔρω [2]) σοι, οὐ γὰρ συγχωρεῖ μοι ὁ παριστάμενος. Λέγει αὐτῷ ὁ Βαρθωλωμαῖος. πῶς παιδεύεις τὰς ψυχὰς τῶν ἀνθρώπων; λέγει αὐτὸν ὁ Βελίαρ. θέλεις, ἀναγγείλω σοι τὴν γνῶσιν τῶν ὑποκριτῶν, καταλάλων καὶ τῶν γε ληαστῶν (=ληστῶν), καὶ τῶν ἰδολολάτρων καὶ τῶν φιλαργύρων καὶ τῶν μοιχῶν καὶ τῶν γοητῶν καὶ τῶν μαντευομένων καὶ τῶν πιστευόντων εἰς ἡμᾶς καὶ πάντων ὧν σκοπῶ. Λέγει αὐτῷ ὁ Βαρθωλωμαῖος. πυνθάνω τί λέγει συντόμως (sic), καὶ ἐπάταξεν ἐν βρυγμῷ τοὺς ὀδόντας αὐτοῦ [3]) καὶ ἀνῆλθεν τροχὸς ἐκ τῆς ἀβύσσου ἔχων μάχαιραν πῦρ ἀποφέγγουσαν καὶ ἡ μάχαιρα εἶχεν σωλῆνας. καὶ ἐρώτησα αὐτὸν λέγων. τίς ἡ μάχαιρα αὕτη; ὁ δὲ εἶπεν. αὕτη ἡ μάχαιρά ἐστιν τῶν γαστριμάργων, εἰς τοῦτον γὰρ τὸν σωλῆνα πέμπονται ὅτι διὰ τῆς γαστριμαργίας πᾶσαν ἁμαρτίαν ἐκφευρίσκουσιν. εἰς τὸν δεύτερον σωλῆνα πέμπονται οἱ κατάλαλοι, οἱ καταλαλῶσιν λάθρα τὸν πλησίον αὐτῶν [4]), εἰς δὲ τὸν τρίτον σωλῆνα πέμπονται οἱ ὑποκριταὶ καὶ οἱ λοιποὶ οὓς ἐγὼ ἀποσκελίζω τῇ ἐμῇ διαθέσει. ὁ δὲ Βαρθωλωμαῖος λέγει. σὺ οὖν ταῦτα δι' ἑαυτοῦ ποιεῖς; ὁ δὲ σατανᾶς εἶπεν. εἰ ἐγὼ ἐδυνάμην δι' ἑαυτοῦ ἐξελθεῖν, ἅπασαν τὴν οἰκουμένην ἐν τρισὶν ἡμέραις ἐξωλόθρευον, ἀλλὰ οὔτε ἐγώ, οὔτε εἷς τῶν ἑξακοσίων ἐξερχόμεθα. ἔχομεν γὰρ ἄλλους ὑπηρέτας ἐλαφροὺς οἷς κελεύομεν καὶ ἐνδυοῦμεν αὐτοὺς πολυάγκιστρον καὶ ἀποστέλλομεν αὐτοὺς εἰς θήραν καὶ ἀγρεύουσιν ἡμῖν ψυχὰς ἀνθρώπων, διαφόροις γλυκάσμασιν αὐτοὺς γλυκαίνοντας (=τες), τουτέστιν μέθῃ καὶ γέλωτι [5]), καταλαλιᾷ, ὑποκρίσεις ἡδωνῶν (sic), πορνείᾳ ἢ καὶ ταῖς λοιπαῖς ὀλιγορίαις ἐκ τῶν θησαυρῶν αὐτῶν. [6]) Λέγω δὲ τὰ λοιπὰ ὀνόματα τῶν ἀγγέλων. ὁ ἄγγελος τῆς χαλάζης λέγεται Μερμεὼθ καὶ συνέχει τὴν χάλαζαν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ καὶ ὁρκίζουσιν αὐτὸν οἱ λειτουργοί μου καὶ πέμπουσιν αὐτὸν ὅπου θέλουσιν. καὶ ἕτεροι ἄγγελοι ἐπὶ τῆς χαλάζης καὶ ἕτεροι ἄγγελοι ἐπὶ τὴν βροντὴν καὶ ἕτεροι ἄγγελοι ἐπὶ τὴν ἀστραπήν. καὶ ὅτε πνεῦμα βούλεται ἐξ ἡμῶν ἐξελθεῖ(ν) ἤτε διὰ γῆς ἤτε διὰ θαλάσσης, οὗτοι οἱ ἄγγελοι πυρίνους

---

[1]) Depravatus est locus ut saepius in hoc codice. [2]) Cod. ἔρον. [3]) Cod. αὐτόν. [4]) Cod. αὐτοῦ. [5]) Cod. γελόντι. [6]) Cod. αὐτοῦ.

ἀποστέλλουσι λίθους καὶ ἅπτουσιν ἡμῶν τὰ μέλη. Λέγει ὁ Βαρθωλωμαῖος. φιμώθητι, βύθιε δράκον. ὁ δὲ Βελίαρ εἶπεν. ἀπαγγέλλω σοι πολλὰ ἃ περὶ τῶν ἀγγέλων. οἱ συνδιατρέχοντες τὰ ἐπουράνια καὶ τὰ ἐπίγεια οὗτοί εἰσιν. Μερμεώθ, Ὀνοματάθ, Δούθ, Μελιώθ, Χαρούθ, Γραφαθάς, Ὁεθρά, Νεφόνος, Χαλκατούρα. ἐν αὐτοῖς διεπέτανται τὰ ἐπουράνια καὶ τὰ ἐπίγεια καὶ τὰ καταχθώνια. Λέγει αὐτὸν ὁ Βαρθωλωμαῖος. φιμώθητι καὶ ὀλιγόρησον, ὅπως διηθῶ τοῦ Κυρίου ἡμῶν. καὶ ἤρξατο [1]) ὁ Βαρθωλωμαῖος λέγειν, πεσὼν ἐπὶ πρόσωπον καὶ βάλλων ἐπὶ τὴν κεφαλὴν αὐτοῦ γῆν λέγοντος (sic) οὕτως. Κύριε Ἰησοῦ Χριστέ, τὸ μέγαν καὶ ἔνδοξον ὄνομα, καὶ πάντες οἱ χωροὶ τῶν ἀγγέλων αἰνοῦσίν σε, δέσποτα. καὶ ἐγὼ ὁ ἀνάξιος τοῖς χείλεσι κήσας (=κινήσας?) ὄργανον αἰνῶ σε, δέσποτα. ἐπάκουσόν μου τοῦ δούλου σου καὶ ὡς ἐξελέ(γ)ξωμαι ἐκ τοῦ τελωνίου καὶ οὐ συνεχώρησάς μοι ἐν ταῖς προτέραις μου πράξεσιν ἀναστρέφεσθαι ἕως τέλους. Κύριε Ἰησοῦ Χριστέ, ἐπάκουσόν μου καὶ ἐλέησον τοὺς ἁμαρτωλούς. Καὶ ταῦτα αὐτοῦ εἰπόντος λέγει αὐτὸν [2]) ὁ Κύριος. ἀνάστα, ἐπίστρεψον τῷ στενάξαντι κἀγώ σοι τὰ λοιπὰ ἀπαγγείλω. ὁ δὲ Βαρθωλωμαῖος ἤγειρεν τὸν σατανᾶν καὶ λέγει αὐτόν. πορεύου εἰς τὸν τόπον σου μετὰ τῶν ἄθλων σου, ὁ δὲ Κύριος ἐλεεῖ πᾶσαν τὴν οἰκουμένην αὐτοῦ. ὁ δὲ διάβολος ἔφη. ἄφες διηγήσομαί σοι, πῶς ἐ(ρ)ρίφην ἐνταῦθα ἢ πῶς ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον. ἐγὼ ἐν τῷ κόσμῳ ἤμην περιερχόμενος, καὶ εἶπεν (ὁ θεὸς) τῷ Μιχαήλ. ἄγαγέ μοι βῶλον ἐκ τῶν τε(σ)σάρων περάτων τῆς γῆς καὶ ὕδωρ ἐκ τῶν τε(σ)σάρων ποταμῶν τοῦ παραδείσου. καὶ ὡς ἤγαγεν αὐτὰ Μιχαήλ, ἔπλασεν κατὰ μέρη τῆς ἀνατολῆς τὸν Ἀδάμ, μορφώσας τὸν ἄμορφον βῶλον, τανύσας νεῦρα καὶ φλέβας καὶ ἁρμονίᾳ συνστησάμενος καὶ προσεκύνησεν αὐτόν, αὐτὸς δὲ δι' αὐτὸν πρῶτον, ὅτι ἦν εἰκόνα αὐτοῦ καὶ ἐπροσεκύνη. ἐμοὶ δὲ ἐλθόντι ἐκ τῶν περάτων λέγει Μιχαήλ. προσκύνησον τὴν εἰκόνα τοῦ θεοῦ, ἣν ἔπλασεν καθ' ὁμοιώτητα αὐτοῦ. ἐγὼ δὲ εἶπον. ἐγὼ πῦρ ἐκ πυρός, πρῶτος ἄγγελος πλασμένος ἤμην καὶ πηλὰ καὶ ὕλην μέλλω προσκυνεῖν; Καὶ λέγει μοι ὁ Μιχαήλ. προσκύνησον, μή ποτε ὀργισθεὶς ὁ θεὸς ἐπί σε. ἐγὼ δὲ εἶπον αὐτόν. οὐκ ὀργισθήσεται ὁ θεὸς ἐπ' ἐμοί,

---

[1]) Cod. ἤρξαντο [2]) Cod. αὐτοῦ.

ἀλλὰ θήσω τὸν θρόνον μου ἐξ ἐναντίας τοῦ θρόνου αὐτοῦ καὶ εἰμί [1]) ὡς αὐτός. τότε ὀργισθεὶς ὁ θεὸς ἐπ᾽ ἐμοὶ ἔῤῥιψεν κάτω κελεύσας ἀνοιγῆναι τοὺς καταράκτας τοῦ οὐρανοῦ. ἐμοῦ δὲ ῥιφθέντος ἠρώτησεν καὶ τοὺς ἑξακοσίους τοὺς ὑπ᾽ ἐμὲ εἰ θέλουσιν προσκυνῆσαι. οἱ δὲ εἶπον. καθὼς ἴδομεν τὸν πρῶτον οὐδὲ ἡμεῖς προσκυνοῦμεν τὸν ἐλαχιστότερον ἡμῶν. τότε ἐ(ῤ)ῥίφησαν καὶ οἱ ἑξακόσιοι ὑπ᾽ αὐτοῦ μετ᾽ ἐμοῦ. ῥιφθέντες δὲ ἐπὶ τὴν γῆν ἐκαρώθημεν ἔτη τεσσαράκοντα, καὶ λάμψαντος τοῦ ἡλίου ἑπταπλασίως ὑπὲρ τὸ πῦρ ἐξαίφνης διυπνίσθημεν. καὶ περιβλεψάμενος εἶδον τοὺς ἑξακοσίους ὑπ᾽ ἐμὲ κεκαρωμένους καὶ διύπνισαν τὸν υἱόν μου σαλψάν. καὶ λαβὼν αὐτοὺς συμβούλιον (sic), πῶς τὸν ἄνθρωπον ἀπατήσω, δι᾽ ὃ ἐγὼ ἐῤῥίφην ἐκ τῶν οὐρανῶν, καὶ ἐνενοησάμην οὕτως. ἔλαβον φιάλην ἐν τῇ χειρί μου καὶ ἔξυσα τὸν ἵδροτα τοῦ στήθους μου καὶ τῶν μαλλῶν μου καὶ ἐνιψάμην εἰς τὰς ἐξόδους τῶν ὑδάτων ὅθεν οἱ τέσσαροι ποταμοὶ ῥέουσιν, καὶ πιοῦσα ἡ Εὔα ἔτυχεν τῆς ἐπιθυμίας. εἰ μὴ γὰρ ἔπιεν τὸ ὕδωρ ἐκεῖνο οὐκ ἂν αὐτὴν ἠδυνήθην. ἀπατῆσαι. Τότε ὁ Βαρθωλωμαῖος κελεύει αὐτὸν εἰσελθεῖν εἰς τὸν ᾅδην. ἐλθὼν δὲ ὁ Βαρθωλωμαῖος (καὶ πεσὼν) τοῖς ποσὶν τοῦ Ἰησοῦ ἤρξατο μετὰ δακρύων λέγειν οὕτως. ἀμβὰ ὁ πατήρ, ὁ ἀνεξιχνίαστος ὑπὲρ ἡμῶν ὁ λόγος τοῦ Πατρός, ὃν ἑπτὰ οὐρανοὶ μόλις ἐχώρησαν, ἔνδοθεν δώματι τῆς παρθένου εὔχαιρος, ἀνώδυνος εὐδοκήσας χωρεθῆναι ὃ ἡ παρθένος οὐκ ἐννοεῖ σε φέρουσα, σὺ δὲ νοήματι σῷ πάντας διέταξας γενέσθαι. ὁ πρὸ τοῦ παρακληθῆναι δωρούμενος ἡμῖν τὰ ἑκούσια. ὁ στέφανον ἐξ ἀκανθῶν φορέσας ἵνα ἡμῖν τὸν [2]) πολύτιμον τοῖς μετανοοῦσιν ἐξ οὐρανοῦ στέφανον εὐτρεπίσῃς. ἐπὶ ξύλου κρεμασθεὶς ἵνα ἡμῖν τὸν οἶνον κατανύξεως ποτίσῃς, καὶ λόγχην τὴν πλευράν σου νυγεὶς ἵνα τοῦ σώματός σου καὶ τοῦ αἵματός σου ἡμᾶς ἐμπλήσῃς. ὁ τέτρασιν ποταμοῖς ὀνόματα καλέσας, τῷ πρώτῳ [3]) Φησὸν διὰ τὴν πίστιν ἣν φανεὶς ἐν τῷ κόσμῳ ἐκήρυξας, τῷ β′ Γεὼν διὰ τὸ γήινον ὑπάρχειν τὸν ἄνθρωπον, τῷ γ′ Τίγριν διὰ τὸ μηνυθῆναι ἡμῖν ὑπό σου τὴν ὁμοούσιον ἐν οὐρανοῖς τριάδα ὑπάρχουσαν, τῷ δὲ δ′ Εὐφράτην ὅτι πᾶσαν ψυχὴν παραγενάμενος ἐν κόσμῳ εὔφρανας διὰ τοῦ λόγου τῆς ἀφθαρσίας. Θεέ μου καὶ πατὴρ μέγιστε

---

[1]) Exspectares ἔσομαι. [2]) Cod. τὸ. [3]) Cod. πρῶτον

καὶ βασιλεύς, σῶσον, Κύριε, τοὺς ἁμαρτωλούς. Ταῦτα αὐτοῦ προσευξαμένου λέγει αὐτὸν ὁ Ἰησοῦς. Βαρθωλωμαῖε, ἐκάλεσέν με ὁ πατὴρ Χριστόν, ἵνα κατελθῶ ἐπὶ γῆς καὶ χρίσω πάντα ἄνθρωπον ἐρχόμενον τὸ ἔλαιος τῆς ζωῆς. Ἰησοῦν δέ μ' ἐκάλεσεν, ἵνα ἰάσωμαι πᾶσαν ἁμαρτίαν τῶν ἀγνοούντων ὑπὸ θεοῦ ἢ καὶ θείαν ἆραι τοῖς ἀνθρώποις δωροῦμαι. Καὶ πάλιν ὁ Βαρθωλωμαῖος λέγει αὐτόν. Κύριε, παντὶ ἀνθρώπῳ χρὴ ἀποκαλύψαι τὰ μυστήρια τοῦτα; Λέγει αὐτὸν ὁ Ἰησοῦς. ἀγαπητέ μόυ Βαρθωλωμαῖε, ὅσοι ἐάν [1]) εἰσιν πιστοὶ καὶ δύνανται φυλάξαι καθ' ἑαυτούς, δεῖ, πίστευε ταῦτα. εἰσὶν γάρ καί τινες ἀνάξιοι αὐτῶν, εἰσὶν δὲ καὶ ἕτεροι [2]) οἷς οὐκ ἔστιν ποιῆσαι αὐτά, εἰσὶ γὰρ ἀλάζωνες, μέθυσοι, ὑπερήφανοι, ἀνελεήμονες, ἰδωλωλατρείας σοίμετοι (sic) πορνείας ἀρχηγοί, κατάλαλοι, ἀλαζωγείας διδάσκαλοι, καὶ πάντα ὅσα εἰσὶν ἔργα τοῦ διαβόλου ποιοῦντας καὶ διὰ τοῦτο οὐκ εἰσὶν ἄξιοι πιστευθῆναι αὐτά. εἰσὶν γὰρ καὶ ἀπόκρυφα διὰ τοὺς μὴ χωροῦντας αὐτά. ὅσοι [3]) γὰρ αὐτὰ χωροῦσιν ἕξουσιν μέρος ἐξ αὐτῶν. Ἐν τούτῳ οὖν, ἀγαπητέ μου, εἴρηκά σοι ὅτι μακάριος εἶ καὶ πᾶσα ἡ συγγενεία σου κατὰ αἴνεσιν πιστευόμενοι τὸν λόγον τοῦτον, ὅτι πάντες οἱ χωρέσαντες αὐτά [4]), οἱ δ' ἂν βούλωνται ἐν τοῖς [5]) κρίσεως μου λείψονται. Τότε ἐγὼ ὁ Βαρθωλωμαῖος συγγραψάμενὸς ταῦτα ἐν τῇ καρδίᾳ μου καὶ κρατήσας τῆς χειρὸς τοῦ φιλανθρώπου ἠρξάμην ἀγαλλιᾶσθαι καὶ λέγειν οὕτως. Δόξα σοι, Κύριε Ἰησοῦ Χριστέ, ὁ δωρούμενος πᾶσιν τὴν χάριν σου ἣν καθείδαμεν (sic) πάντες ἀλληλούϊα. δόξα σοι, Κύριε, ζωὴ ἁμαρτωλῶν. δόξα σοι, Κύριε, αἰσχύνθη ὁ θάνατος. δόξα σοι, Κύριε, θησαυρὲ δικαιωσύνης, θεὸν γὰρ ὑμνούμενος (sic). Καὶ ταῦτα λέγοντος τοῦ Βαρθωλωμαίου πάλιν ὁ Ἰησοῦς ἀποθέμενος τὸ περιβόλαιον αὐτοῦ καὶ λαβὼν ὀράριον ἀπὸ τοῦ τραχήλου τοῦ Βαρθωλωμαίου ἤρξατο ἀγαλλιᾶσθαι καὶ λέγειν. ὑποκαλόν (=ὑποβαλών?) σε ἡμῖν ἀλληλούϊα. πρᾷος ἐπιεικὴς ἡμῖν ἀλληλόυϊα. δόξα σοι, Κύριε, δωροῦμαι γὰρ πᾶσιν τοῖς θέλουσίν με [6]) ἀλληλούϊα. Καὶ ὅτε κατέστειλεν ἠγάπησαν αὐτὸν οἱ ἀπόστολοι καὶ ἔδωκεν αὐτῶν εἰρήνην τῆς ἀγάπης. Λέγει αὐτὸν ὁ Βαρθωλωμαῖος. ὑπόδειξον ἡμῖν, Κύριε, ποία ἁμαρτία βαρυτέρα

[1]) Cod. ὅσιε ἐάν. [2]) Cod. ἕτερα. [3]) Cod. δσιοι. [4]) Excidisse quaedam videntur. [5]) Nescio quod subst. nomen excidit. [6]) Praetermissum aliquid videtur.

πασῶν τῶν ἁμαρτιῶν; βαρυτέρα ἐστὶν ἡ ὑπόκρισις καὶ καταλαλιά. δι' αὐτοὺς γὰρ εἶπεν ὁ προφήτης ψάλλων, ὅτι οὐκ ἀναστήσονται ἀσεβεῖς ἐν κρίσει οὐδὲ ἁμαρτωλοὶ ἐν βουλῇ δικαίων οὐδὲ ἀσεβεῖς ἐν κρίσει τοῦ πατρός μου. ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὅτι πᾶσα ἁμαρτία ἀφεθήσεται παντὶ ἀνθρώπῳ, ἡ δὲ ἁμαρτία ἡ κατὰ τοῦ ἁγίου πνεύματος οὐκ ἀφεθήσεται. Λέγει δὲ αὐτὸν ὁ Βαρθωλωμαῖος. τί ἐστιν ἡ κατὰ τοῦ ἁγίου πνεύματος ἁμαρτία; λέγει αὐτὸν ὁ Ἰησοῦς. πᾶς ὃς ἐὰν θεσπίσῃ πάντα ἄνθρωπον δουλεύσαντα [1]) τῷ πατρί μου τῷ ἁγίῳ ἐβλασφήμισεν εἰς τὸ πνεῦμα τὸ ἅγιον. ὅτι πᾶς ἄνθρωπος, ὁ δουλεύων τῷ θεῷ σεβασμίως, ἄξιός ἐστι τοῦ πνεύματος ἁγίου καὶ οὐ συ(γ)χωρεθήσεται τῷ λέγοντι εἰς αὐτόν τι πονηρόν. οὐαὶ τὸν ὀμνύοντα κατὰ τῆς κεφαλῆς τοῦ θεοῦ, οὔτε τῷ ἐπιορκοῦντι κατ' ἀυτοῦ ἀληθῶς, ιβ' γὰρ κορυφαὶ τοῦ θεοῦ τοῦ ὑψίστου εἰσίν. αὐτὸς [2]) γάρ ἐστιν ἡ ἀλήθεια καὶ ἐν αὐτῷ ψεῦδος οὐκ ἔστιν οὐδὲ ἐπιορκία. ὑμεῖς οὖν πορευθέντες κηρύξατε παντὶ τῷ κόσμῳ τὸν λόγον τῆς ἀληθείας, σὺ δὲ, Βαρθωλωμαῖε, κήρυξον εἰς πάντα τὸν βουλόμενον τὸν λόγον τοῦτον, καὶ ὅσοι πιστεύουσιν εἰς αὐτὸν ἕξουσιν ζωὴν αἰώνιον. Λέγει ὁ Βαρθωλωμαῖος. ὦ, Κύριε, καὶ ἐκ τῆς σωματικῆς ἁμαρτίας ἐάν (i. e. τις) ἁμαρτήσῃ, ποῖος ὁ μισθὸς αὐτῶν; ὁ δὲ Ἰησοῦς ἔφη. καλῶς [3]) μὲν ἵνα βαπτιζόμενος παρέξῃ ἄμε(μ)πτον τὸ βάπτισμα. ἡ δὲ ἡδονὴ τῆς σαρκὸς ἐραστὴς γενήσεται, σεμνότητος γάρ ἐστιν ἡ μονογαμία. ἀμὴν γάρ σοι λέγω, μετὰ τρίτην γυναῖκαν ὁ ἁμαρτάνων ἀνάξιός ἐστι τοῦ θεοῦ· ὑμεῖς δὲ κηρύξατε παντὶ ἀνθρώπῳ φυλάσσειν τὰ αὐτά [4]), ἐγὼ γάρ εἰμι ἀχάριστος ἀφ' ὑμῶν καὶ ἐπιχορηγῶν ὑμῖν τὸ πνεῦμα τὸ ἅγιον. Καὶ ὁ Βαρθωλωμαῖος πρὸς αὐτὸν μετὰ τῶν ἀποστόλων ἐδόξασεν τὸν θεὸν ἐκτενῶς λέγων. δόξα σοι, πάτερ ἅγιε, ἄσβεστε ἥλιε, ἀκατάλειπτε, σοὶ δόξα, σοὶ τιμὴ καὶ προσκύνησις εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

---

[1]) Cod. βουλεύσαντι. [2]) Cod. αὐτοῖς. [3]) Cod. καλῶν. [4]) Cod. φυλάσονται αὐτά.

4. Епистолія о недѣлѣ.

α. Ἐπιστολὴ ἐξ οὐρανοῦ πρόσταγμα θεοῦ εἰς τὴν Ῥώμην κατελθών. ἀναγινώσκεσθαι κυριακῇ τῇ β' τῶν (νη)στειῶν.

Ἐπιστολὴ καὶ πρόσταγμα θεοῦ ἐξ οὐρανοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς τὴν Ῥώμην κατελθὼν ὑπὸ ἀποστόλου Πέτρου ἐν τῷ ἁγίῳ καταπετάσματι. εἶτα κατῆλθε φωνὴ τῷ ἀρχιεπισκόπῳ λέγουσα. Ἀνάστα καὶ δεῦρο ἵνα εὑρήσῃς τὴν ἄχραντόν μου ἐπιστολὴν ἐν τῷ ἁγίῳ καταπετάσματι τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου Πέτρου. καὶ ἤκουσα φωνῆς [1]) λέγων. μέγας εἶ, Κύριε, καὶ θαυμαστὰ τὰ ἔργα σου ὅτι ἐφανερώθησαν. Καὶ προσκαλεσάμενος ἱερέων πλῆθος καὶ μοναζόντων, παρακαλοῦντες τὸν θεὸν ἡμέρας γ', ἀναστάντες δὲ ἀπὸ τῆς γῆς δεξάμενοι τὴν ἄχραντον ἐπιστολὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ φόβου καὶ πίστεως καὶ ἐπὶ ἀνατολὰς προσκυνήσαντες, ἀνοίξας αὐτὴν καὶ ἰδὼν τὰ γράμματα ἐν αὐτῇ γεγραμμένα ἃ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς οἰκείαις χερσὶν ἔγραψεν δηλῶν. Καὶ ταῦτα ἀκούσατε οἱ υἱοὶ τῶν ἀνθρώπων καὶ ἴδατε ὅτι πάντα τὰ τῶν χειρῶν μοῦ εἰσιν, ἀλλὰ μὴ ἀθετεῖτέ με καὶ παραλογίζεσθε ἃ ἐδήλωσα ὑμῖν διὰ τῶν προφητῶν μου καὶ ἐκήρυξα διὰ τῶν ἀποστόλων. ἐφ' ᾧ δέδωκα τοῦ ἐλέγχειν τὰς ἁμαρτίας ὑμῶν καὶ τὰς πονηρὰς πράξεις καὶ οὐκ ἐπιστεύσατε οὐδὲ ἐμετανοήσατε διὰ τὰ πονηρὰ ὑμῶν ἔργα καὶ βουλεύματα. Καὶ ἀπέστειλα ἔθνη βάρβαρα καὶ ἐξέχεαν τὰ αἵματα ὑμῶν ἐπὶ γῆς. ὄντως οὖν ἐμετανοήσατε τάχα ἐν ὀλίγῳ καιρῷ. καὶ λέγει τὸ ἅγιον εὐαγγέλιον· ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται, οἱ δὲ λόγοι μου οὐ μὴ παρελθῶσι. ὅτι ἐπιστολή μου γ', ἀλλ' οὐδὲ [2]) ἐμετανοήσατε οὐδὲ ἐπαύσατε ἐφ' ὧν ἔργων ἐποιήσατε. οὐδὲ ἔτι λοιπὸν πᾶν ὁ μεθ' ὑμῶν [3]) ἀπέστειλα χάλαζαν καὶ ἀκρίδαν διὰ τὴν ἁγίαν μου κυριακὴν καὶ οὕτως ἐμετανοήσατε τάχα καὶ ἐφοβήθητε καὶ μετ' ὀλίγας ἡμέρας πάλιν εἰς τὸ χεῖρον

---

[1]) An ἤκουσα φωνή? [2]) Cod. ἀλλ' οὗς δέ. Post γ' nonnulla excidisse videntur. [3]) Locus depravatus.

μετέβητε. Καὶ ἠβουλήθην πάντα ἄνθρωπον ἐπὶ τῆς γῆς ἀπολέσαι, ἀλλ' ἐσπλαγχνίσθην ὑπὲρ ὑμῶν διὰ τῆς ἀχράντου μητρός μου καὶ τὰ δάκρυα Ἰωάννου τοῦ Βαπτιστοῦ [1]) μου, καὶ ἀπέστρεψα τὸν θυμόν μου ἀφ' ὑμῶν καὶ ἔδωκα ὑμῖν τὸν σίτον, τὸν οἶνον καὶ πᾶν ἀγαθὸν ἐνέπλησα ὑμᾶς ἐπὶ τῆς γῆς καὶ οὐδὲ οὕτως ἐμετανοήσατε οὐδὲ ἐδοξάσατε τὸ ὄνομά μου τὸ ἅγιον. χήραν καὶ ὀρφανὸν κρίσειν οὐ προσέχετε, ἀλλὰ κλαίουσιν ὀπίσω ὑμῶν καὶ οὐκ ἐλεεῖτε αὐτούς. Ἀλλ' ἔθνη τὰ μὴ νόμον ἔχοντά φησιν τὰ τοῦ νόμου πληροῦσι, καὶ ὑμεῖς ἐλέεισιν οὐκ ἔχετε. Τὰ δένδρα καρπὸν ἔδωκα· καὶ τοὺς ἀμπελῶνας, ἀλλὰ ξηρανῶ αὐτὰς καὶ τὰς πηγὰς τῶν ὑδάτων καὶ τοὺς ποταμοὺς ἀφανίσω καὶ ξηρανῶ ὑμῶν διὰ τὴν ἀπιστίαν καὶ πονηρίαν. Νοήσατε, ἄφρονες καὶ ἀσεβεῖς τῇ καρδίᾳ, πῶς δέδωκα τοῖς ἑβραίοις νόμον διὰ Μωσέως καὶ οὐ παραβαίνουσιν αὐτόν. ἔθνη τὰ μὴ νόμον ἔχοντά φησιν [2]) τὰ τοῦ νόμου ποιοῦσι, ὑμεῖς δὲ καὶ τὸν νόμον ἔχοντες καὶ οὐδεμίαν ἐντολὴν ἐφυλάξατε. οὐκ ἴδατε, ἀνόητοι [3]), ὅτι τὸν πρωτόπλαστον Ἀδὰμ πνοὴν ζωῆς δέδωκα εἰς προτύπωσιν τῆς ἐμῆς σαρκώσεως καὶ ἀναστάσεως, καὶ τὴν ἁγίαν μου ἀνάστασιν [4]) οὐ τιμᾶτε; οὐκ ἴδατε, ὅτι ἐν τῇ ἁγίᾳ κυριακῇ ἐπᾶρας ἐν τῇ δρυὶ [5]) τῇ Μα(μ)βρὶ τοῦ πατριάρχου Ἀβραὰμ καὶ ἐκήρυξεν ὀφθῆναι ἐν τῇ βάθῳ τῷ Μωυσεῖ, καὶ ἐθεάσατο τὰ ὄπισθέν μου; οὐκ ἴδατε, ὅτι τῇ ἁγίᾳ κυριακῇ μέλλων ἔρχεσθαι κρῖναι ζῶντας καὶ νεκροὺς καὶ τοὺς πιστοὺς οἳ [6]) φυλάσσουσιν τὰς ἐντολάς μου τῇ ἡτοιμασμένῃ μου βασιλείᾳ μέλλουσιν γενέσθαι κληρονόμοι καθὼς φησιν ἐν εὐαγγελίοις; οὐκ ἴδατε ὅτι τῇ ἁγίᾳ κυριακῇ τὴν χαρὰν ἐμήνυσα ὑπὸ ἀρχαγγέλου Γαβριὴλ τὴν πανάχραντόν μου μητέρα [7]) καὶ εἴληφα τὸ βάπτισμα τὸ ἅγιον; τοὺς μὴ ποιοῦντας τὸ θέλημά μου αὐτοὺς ἀπολέσω διὰ τὴν ἁγίαν κυριακὴν καὶ τὰς μνήμας τῶν ἁγίων μου. αὐτὸς γὰρ λέγει ὁ Κύριος καὶ οὐκ ἄνθρωπος, ὅτι πέμψω εἰς ὑμᾶς θηρία ἰοβόλα καὶ καταφάγωσιν τῶν γυναικῶν τοὺς μασθοὺς καὶ τὰς σάρκας ὑμῶν καὶ τὰ τέκνα ὑμῶν διὰ τὴν ἁγίαν μου κυριακήν. Ἐπικατάρατος ὁ ἄνθρωπος ἐκεῖνος ὁ ἁπτόμενος οἱονδήποτε ἔργον ἀπὸ ὥρας ἐννάτης σαββάτου ἕως ἐπιφωσκούσης [8]) κυριακῆς δευτέρας.

---

[1]) Cod. βαπτιστῆ. [2]) Cod. add. γάρ quod omisi. [3]) Cod. ἀγνόητοι. [4]) Cod. ἀναστάσιν. [5]) Cod. ἡδρί. [6]) Cod. οὗς. [7]) Cod. μήτηρ. [8]) Cod. ἐπιφησκούσης.

θῦαι τὸν ἄνθρωπον ἐκεῖνον τῷ ἐν τῇ τετράδι καὶ παρασκευῇ τρώγοντι κρέας ἄνευ τῶν δώδεκα ἡμερῶν καὶ τῆς διακαινησίμου καὶ τῆς πεντηκοστῆς. ποιεῖτε δὲ καὶ τὰς μνήμας τῶν ἁγίων μου καὶ ἑορτάζετε αὐτὰς μετὰ ψαλμῶν καὶ ὕμνων καὶ νηστειῶν ἵνα δοξάζεται τὸ ὄνομά μου τὸ ἅγιον. οὐ (=εἰ) μὴ μετανοήσετε καὶ οὐ φυλάσσετε τὰς ἐντολάς μου, οὐ πέμψω ἄλλην ἐπιστολὴν ἐπὶ τὴν γῆν, ἀλλ' ἀνοῖξαι ἔχω [1]) τοὺς οὐρανοὺς καὶ βρέξαι ἔχω λίθους πυρίνους καὶ ὕδωρ.χαχλάζοντα καὶ καύσειν ἔχω πάντα ἄνθρωπον ἐπὶ τὴν γῆν. ἐὰν μὴ ἀκούσετε καὶ οὐ ποιήσετε πάντα ὅσα... [2]) ὑμᾶς ἔχω σεισμοὺς φοβεροὺς καὶ τὸν σίτον καὶ τὸν οἶνον καὶ πᾶν δένδρον ἀπολέσω καὶ πέμψειν ἔχω θηρία ἰοβόλα ἔχον ἀντὶ πτερὰ τρίχας γυναικῶν, καὶ καταφάγωσιν τὰς σάρκας ὑμῶν καὶ ἐν τῷ σκότει ἀλλήλους φάγετε. καὶ ἀνοίγονται τὰ μνημεῖα. ὑμῶν καὶ λέγετε. δέξασθε ἡμᾶς οἱ ἀπ' αἰῶνος κεκοιμημένοι, ὅτι οὐχ ὑπομείνομεν τὸν θυμὸν τοῦ θεοῦ. Καὶ ἀποστρέψω τὸ πρόσωπόν μου ἀφ' ὑμῶν καὶ οὐκ ἀκούσω τὸν θρῆνον ὑμῶν τὸν ἀσεβέστατον, ἀλλὰ ποιήσω ἔκτυπον ἐν οὐρανοῖς καὶ ἦχον ἀστραπῆς ἵνα θροήσετε καὶ ἀφήσω ὑμᾶς ἀκοῦσαι τῆς φωνῆς μου λέγων καὶ οὐ μὴ ἐγκαταλείψω εἰς ὑμᾶς πᾶν ἀγαθὸν ἐπὶ τῆς γῆς καὶ ἐὰν θέλητε καὶ ἀκούσετε καὶ φυλάξετε τὴν ἁγίαν κυριακήν, σώσω πάντας ὑμᾶς, εἰ δὲ μή, τότε [3]) πέμψειν ἔχω ὄλεθρον ἵνα ἀποθανεῖτε κακῶς, κακοῦργοι καὶ ἀνελεήμονες καὶ παράνομοι, μάντεις καὶ μαγιῶτες καὶ παρακομπανισταὶ σταυροπάται καὶ κακόφρονες ζηλωταί [4]), οἱ τὸ σκότος ἀγαπᾶτε καὶ τὸ φῶς μισᾶτε. πῶς οὐ μὴ σχισθῇ [5]) ἡ γῆ καὶ καταπίῃ ὑμᾶς ζῶντας; ὅτι ἐγὼ ἀστράπτω εἰς ὑμᾶς διὰ τὰς πονηρίας ὑμῶν καὶ τὰ ἀνέστητα [6]) ἔργα ἃ ἐργάζεσθε ἐπὶ τῆς γῆς. καὶ ποῖον ἔργον δώσητε ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως; Ἐνθυμηθεῖτε τὸν θάνατον καὶ ἀρνήσασθε τὴν διδασκαλίαν τοῦ διαβόλου. ἀνάθεμα ἔστω ὑμῖν καὶ φάγετε τὰ ἄχυρα ὥσπερ κτήνη, διότι ἡ ἐπιστολὴ αὕτη οὐκ ἐγράφη ὑπὸ ἀνθρωπίνης φύσεως, ἀλλὰ δι' ἐμοῦ. καὶ εἴ τις εὑρεθῇ ἄπιστος ἢ φλύαρος καὶ εἴπῃ ὅτι αὕτη ἡ ἐπιστολὴ οὐκ ἐγράφη ὑπὸ τοῦ Κυρίου, κληρονομήσει τὸ ἀνάθεμα καὶ τὴν γέενναν τοῦ πυρὸς τοῦ αἰωνίου καὶ τὰ τέκνα αὐτοῦ ἐξολοθρευθή-

---

[1]) **Cod.** ἔχειν. [2]) **Nonnulla evanuerunt.** [3]) **Cod.** τότο. [4]) **Cod.** ζήλωται. [5]) **Cod.** σχιστῆ. [6]) **Forsan** ἀναίσθητα?

σονται. Οὐαὶ τὸν ἄνθρωπον ἐκεῖνον τὸν μὴ δεξάμενον τὸ πρόσταγμά μου. οὐαὶ τὴν πόλιν ἐκείνην τὴν μὴ δεξαμένην ταύτην τὴν ἐπιστολήν μου. οὐαὶ τοὺς Πομογομίλους καὶ μισοχρίστους καὶ Παταρήνους καὶ μισογείτονας. οὐαὶ τοὺς μοναχοὺς καὶ ψευδονύμους καὶ ἅρπαγας· οὐαὶ τοὺς ἱερεῖς τοὺς καταφρονοῦντας τὴν ἁγίαν μου ἐκκλησίαν καὶ μὴ διδάσκοντας [1]) τὸν λαόν μου· ἔξω μὲν φαίνονται ὡραῖοι, ἔσωθεν γέμουν πάσης ἀκαθαρσίας [2]). οὐαὶ τοὺς ἱερεῖς οἱ μετὰ μάχας τῷ ἱερῷ προσεδρεύοντες. οὐαὶ τὰς μοναχὰς τὰς καταλαλήτριας ἐν αἷς τὰ νήπια πνίγουσι καὶ πόρνας καὶ μοιχαλίδας. οὐαὶ τοὺς μίγοντας οἰκίαν πρὸς οἰκίαν καὶ γείτονας πρὸς γείτοναν καὶ δοῦλον πρὸς τὸν αὐτοῦ δεσπότην καὶ τοὺς μὴ λέγοντας τὴν τοῦ θεοῦ ἀλήθειαν καὶ τοὺς βάλλοντας ἀδύνατον εἰς δυνατοῦ χεῖρας. οὐαὶ τοὺς λέγοντας τὸ γλυκὺν πρικὺν (=πικρ—) καὶ τὸ πρικὺν γλυκύν. οὐαὶ τοὺς ἐξαγοράζοντας τὰ δαιμόνια καὶ μὴ ἄναντα (sic) τὴν ἁγίαν πίστιν τὸ βάπτισμα. οὐαὶ τοὺς μὴ πιστεύοντας εἰς πατέρα, υἱὸν καὶ ἅγιον πνεῦμα καὶ τὸν ζωοποιὸν σταυρὸν καὶ τὰς σεβασμίας εἰκόνας καὶ τὴν ἁγίαν κυριακήν. ἀκούουσιν δὲ τὸ σήμανδρος (σήμαντρον), ἀλλ' οὐ σχολάζουσιν ἀπὸ πᾶσαν δουλείαν καὶ (οὐκ) εἰσέρχονται εἰς τὴν ἐκκλησίαν. Ἐπικατάρατοι οἱ ἄνθρωποι ἐκεῖνοι οἵτινες οὐ μὴ δέξονται τὴν ἐπιστολὴν ταύτην καὶ γράψῃ [3]) αὐτὴν προθύμως καὶ εἴ τι ἁμαρτίας ἂν ἔχῃ ἀναριθμήτους, ἐξαλειφθήσονται ἐξ ἐκείνου τοῦ ἀνθρώπου. εἰ δὲ καὶ ἐν τῷ οἴκῳ αὐτοῦ ἔχει ταύτην (scil τὴν ἐπιστολήν), τὴν εὐλογίαν ἔχει πνευματικήν, καὶ ἀναγινώσκει αὐτὴν ἢ διδάσχει τὸν λαόν μου, ἐν πάσῃ χώρᾳ ἔχει εὐλογίαν παρὰ πατρός, υἱοῦ καὶ ἁγίου πνεύματος. οὐαὶ ὁ τὸν ἱερέαν κατηγοροῦν, πῶς οὐκ ἔσται [4]) ἡ γλῶσσα αὐτοῦ; οὐκ ὑβρίζουν τὸν ἱερέαν, ἀλλὰ τὸν θεῖον ναόν. οὐαὶ τοὺς ἐχθρία οὐ λείπει ἀπὸ τοῦ στόματος αὐτῶν. οὐαὶ τὸν λαὸν τὸν ἀπειθῆν, τὸν μὴ σχολάζοντα εἰς τὴν ἁγίαν μου λειτουργίαν, φέροντες τὸ δῶρον αὐτῶν πρὸς τὸν ἱερέαν καὶ ἱστάμενοι αὐτόν (sic). εἴ τις τὴν ἁγίαν ἐκκλησίαν ἑσπέρας καὶ πρωὶ καὶ λειτουργίαν (μὴ) συνδράμει, οὐκ ἔστιν ἄξιος μεταλαμβάνει, καὶ οἷος οὐ πληρώσει ταῦτα. οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ τῷ ἔχοντι [5])

---

[1]) Cod. διδάσκοντες. [2]) Cod. πάσαις ἀκαθαρσίας. [3]) Forse ἐὰν γράψῃ τις?
[4]) Excidisse aliquid videtur. [5]) Cod. τῷ ἔχων τι. Quaedam exciderunt.

καὶ μνήμην ἁγίου οὐ ποιεῖ ἵνα καὶ ὁ θεὸς δοξασθῇ καὶ οἱ πτωχοὶ ἀπολαύσουσιν. οὐαὶ τοὺς ἀντιλογοῦντας τοὺς ἱερεῖς καὶ τὰς διδασκαλίας αὐτῶν. οὐαὶ τοῖς τέκνοις τοῖς ἀντιλογοῦντας τοὺς γογεῖς αὐτῶν, ὁμοίως καὶ τοὺς γονεῖς οἱ καὶ παραμοιράζοντες τὰ ἑαυτῶν τέκνα, τῷ αἰωνίῳ πυρὶ ἔσονται κληρονόμοι. Λέγω δὲ ὑμῶν τοῦ μὴ ἐργάζεσθαι τὴν ἁγίαν κυριακήν. ἀλλὰ εἰσέρχεσθε εἰς τὴν ἁγίαν ἐκκλησίαν μετὰ γυναικῶν καὶ παιδίων καὶ ἐν τούτῳ μισθώντων ἐξ ἡμερῶν τὰς ἁμαρτίας ὧν ἐπράξατε διὰ τῶν πονηρῶν σας ἔργων. οὐχ ἴδατε, ἀνόητοι, ὅτι τοὺς [1]) καταράκτας τοῦ οὐρανοῦ οὐ μὴ ἀνοίξω ἵνα δώσω ὑετόν, ᾧ οὐ δύνασθε θερίσαι καυχᾶσθαι. λέγω [2]) δὲ ὑμῖν, κακοῦργοι, [3]) ξηράνειν ἔχω τὴν θάλασσαν καὶ τὰς πηγὰς τῶν ὑδάτων καὶ τὸν κόσμον ἀφανίσαι ἔχω καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ μείνει. ἐὰν οὐ πιστεύετε, ἀνόητοι, ποῦ βούλεσθε φυγεῖν ἀπ' ἐμοῦ; οὐδεὶς γινώσκει, πῶς ἔχω ἀπολέσαι ὑμᾶς διὰ τὴν ἁγίαν κυριακήν. ἔδωκά σας φυλάσσαι αὐτὴν καὶ ἐν αὐτῇ δοξάζεται τὸ ὄνομά μου τὸ ἅγιον. μνημονεύεται δὲ καὶ πᾶς ὁ χριστιανὸς καὶ (ἐ)σεῖς οὐδ' ὅλως τὴν ἁγίαν κυριακὴν τιμᾶτε. ἐν γὰρ τὰς ἀβύσσους ἀποδώσω ὑμῖν ὡρᾶν ἐπὶ δύο (sic), ἁμαρτωλοὺς γὰρ σώσω μετανοοῦντας. οὐχ ἴδατε, ἀνελεήμονες, ἐὰν οὐ βρέξω, ἐσεῖς οὐδ' ὅλως ἔχετε ἄνεσιν; σίτον καὶ οἶνον ὑμᾶς ἐνέπλησα, τὰ δένδρα καρπὸν δέδωκα καὶ πάλιν ξηράνειν ἔχω αὐτά, ἐὰν τὴν ἁγίαν κυριακὴν οὐ τιμᾶτε, ἀνοιχθήσονται οἱ καταράκται τοῦ οὐρανοῦ καὶ πόλεις καὶ χώρας ἀπολέσω. ἐὰν δὲ μὴ μετανοήσετε, ἀνόητοι, ποῦ βούλεσθε σωθῆναι ἀπὸ τῶν ὀφθαλμῶν μου; Ἐπικατάρατος ὁ ἄνθρωπος ἐκεῖνος ὁ ἁπτόμενος (οἷον)δήποτε ἔργον ἀπὸ ἐννάτης ὥρας σαββάτου ἕως δευτέρας ἐπιφωσκούσης, ὅτι οὗτος τῷ αἰωνίῳ πυρὶ θησαυρίζει ἐν τῷ οἴκῳ αὐτοῦ. Ἐὰν μὴ τιμᾶτε τὴν ἁγίαν κυριακήν, ποῦ βούλεσθε φυγεῖν ἐν τῷ οὐρανῷ ἢ ἐν τῇ γῇ ἢ ἐν τῇ θαλάσσῃ ἢ ἐν τῇ ἀβύσσῳ; ταῦτα πάντα ἐν ἐμοί ἐστιν καὶ ἐν τῇ χειρί μου, καὶ θρὶξ μὴ οὐκ ἐκλείψει ἐκ τῶν χειρῶν μου. εἴ τις δὲ εὑρεθῇ φλύαρος καὶ εἰπῇ ὅτι ἡ ἐπιστολὴ αὕτη οὐκ ἐκ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἀλλὰ προσβάλλεται ὅτι ἐγράφη ὑπὸ ἀνθρωπίνης φύσεως, κληρονομήσει τὸ ἀνάθεμα καὶ (τὴν γέενναν) τοῦ πυρὸς τοῦ αἰωνίου. οὐαὶ τὴν γυναῖκαν ἐκείνην ἡ ζυμώνει τὴν προσφορὰν

---

[1]) Cod. τάς. [2]) Cod. λέγον. [3]) Cod. κακουργοί.

μετὰ μάχης ἢ καὶ ἀκαθαρσίας, ἡ προσφορὰ ἡ αὕτη ἐμοῦ ἐστιν. οὐαὶ τὸν ἱερέαν τὸν λειτουργοῦντα μετὰ μάχης. θαῦμα πῶς οὐκ ἔσται ὁ ἄθλιος ὅτι οὐκ αὐτὸς λειτουργεῖ μόνος, ἀλλὰ καὶ οἱ ἄγγελοι μετ' αὐτοῦ. Ἐστάλη ἡ τοιαύτη μου ἐπιστολὴ μετὰ Ἰωάννου τοῦ Βαπτιστοῦ μου ἐρχομένη ἀπὸ οὐρανοῦ γεγραμμένη. εἴ τις ἀντιτείνεται τοὺς τοιαύτους λόγους ἢ [1]) μὴ ἐπέ(μ)φθη ἐκ τοῦ ἀοράτου πατρός μου καὶ οἷος οὐ μὴ πιστεύσει τοιαύτην [2]) γραφήν μου, οὐκ ἔχει μέρος μετὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν τῇ βασιλείᾳ αὐτοῦ. Λεγομένης τοιαύτης ἐπιστολῆς φωνὴ ἐκ τοῦ οὐρανοῦ ἦλθεν λέγουσα. πιστεύσατε τὴν ἁγίαν μου ἐπιστολὴν ταύτην. ἀκουομένης τῆς φωνῆς ἐφοβήθη πᾶς ὁ λαὸς σφόδρα, πεσοῦνται μετὰ δακρύων ἐπὶ τῆς γῆς λέγοντες. εἴ τις εὑρεθῇ καὶ γράψαι αὐτὴν καὶ στείλει εἰς ἄλλην χώρα(ν), ἔχει εὐλογίαν παρὰ πατρός, υἱοῦ καὶ ἁγίου πνεύματος. αὐτῷ δὲ εἰς τὸν οἶκον αὐτοῦ (εἴ τις?) εὑρεθῇ ἀσθενὴς [3]) ἢ κωφὸς ἢ τυφλὸς ἢ σεληνιασμένος ἢ παράσημος, ὑγιὴς γένηται. Παρακαλῶ σας οὖν, ἀδελφοί, τοῦ ἀναγινώσκειν αὐτὴν τῇ κυριακῇ ἢ ταῖς ἡμέραις τῶν ἑορτῶν. εἴ τις λάβει αὐτὴν καὶ ἀντιγράψει προθύμως, δέχεται εὐλογίαν, εἰ δέ τις [4]) τοιαύτην ἐπιστολὴν οὐ δώσει προθύμως ἦτο [5]) ἀνάθεμαν. Παρακαλῶ σας δέ, ἀδελφοί μου, μηδεὶς ἀπιστείτω, ἀλλὰ δέξασθε αὐτὴν ὥσπερ χρυσίον καὶ λίθον τίμιον πολύν. εἴ τις ἀντιγάψει καὶ ἔχει αὐτὴν εἰς τὸν οἶκον αὐτοῦ μετὰ ἀληθείας καὶ εἰλικρινοῦς διαθέ(σε)ως κληρονομήσει τῶν αἰωνίων ἀγαθῶν τὴν ἀπόλαυσιν καὶ ἐν τῷ οἴκῳ ἐκείνῳ πνεῦμα πονηρὸν οὐκ εἰσέρχεται. Ἐν Χριστῷ τῷ Κυρίῳ ἡμῶν ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ αὐτοῦ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

β.

Ἐπιστολὴ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Αὕτη ἡ ἐπιστολὴ ἔπεσεν ἐν Ἱερουσαλὴμ τῇ πόλει ἐν μηνὶ σεπτεβρίου ἡμέρᾳ τετάρτῃ.

Πρόλογος καὶ διήγησις τοῦ φοβεροῦ καὶ φρικτοῦ θαύματος τοῦ γενομένου ἐν τῷ λαῷ τῆς Ἱερουσαλήμ.

---

[1]) Verbum dicendi omissum est. [2]) Cod. τοιαύτη. [3]) Cod. ἀστενής. [4]) Cod. ἤδε εἴ τις. [5]) An ἢ τῷ?

Λίθος ἔπεσεν μικρὸς ἐν Βηθλεὲμ τῇ πόλει, εν [1]) δὲ τὸ [2]) βάρος φοβερόν. δὲν ἠμπόρεσέν [3]) τινα νὰ τὴν συκώσῃ, εἰ μὴ ὁ μακαριώτατος πατριάρχης Ἰωαννίκιος σύναξιν ποιησάμενος μετὰ ἀρχιερέων καὶ ἱερέων ἡμέρας τρεῖς καὶ νύκτας, καὶ τότε ἦλθεν φωνὴ ἐκ τοῦ οὐρανοῦ λέγουσα. λάβε, πατριάρχα, πρὸς χειρῶν σου. καὶ ἔλαβεν αὐτὸν τῷ ἁγιωτάτῳ πατριάρχῃ (sic) μετὰς [4]) χεῖρας αὐτοῦ, καὶ ἠνοίχθη ὁ λίθος καὶ ηὗραν τὰ τοιαῦτα γράμματα. Ἴδατε, ἄνθρωποι, ἴδατε· ἐγὼ ἐποίησα τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς καὶ ὑμεῖς [5]) καταφρονήσατε ἃ ἐδήλωσά μοι διὰ τῶν προφητῶν μου καὶ ἀποστόλων μου καὶ ἔδωκα ὑμῖν διδασκάλους τοὺς ἐλεχθέντας (=ἐλεγχ—) διδασκάλους (sic) τὰς ἁμαρτίαις ὑμῶν ἐπὶ τῆς γῆς, καὶ οὐδὲ οὕτως ἐμετανοήσατε οὔτε τοῦ εὐαγγελίου μου τὰ λόγια ἠκούσατε. οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ [6]) λόγοι μου οὐ μὴ παρέλθονται. Καὶ πάλιν ἐπιστολή(ν) στέλλω πρὸς ἐσὰς τοὺς ἀνθρώπους καὶ ἔστειλά σας καὶ ἄλλην ἐπιστολὴν πρώτην καὶ οὐδὲν ἐμετανοήσατε οὐδὲ ἐπιστεύσατε. Καὶ ἀπέστειλα χειμῶνας πλείστους καὶ παραλλαγμοὺς καὶ πῦρ καὶ χάλαζα(ν) καὶ ἀκρίδας καὶ βρόχους (=βροχὰς) καὶ ποταμοὺς ἀτάκτους, καὶ οὐδὲ οὕτως ἐμετανοήσατε οὐδὲ τοῦ εὐαγγελίου μου ἠκούσατε λέγοντος [7]). γίνεσθε ἀγαθοὶ καὶ ἐλεήμονες ὅτι κἀγὼ ἀγαθὸς καὶ ἐλεήμων ὑμῖν καὶ εὔσπλαγχνος. διὰ τοῦτο ἀποστέλλω ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ καὶ κατακαῦσαι ἔχω καρδίας διὰ τὴν ἁγίαν μου κυριακὴν καὶ πάλιν ἐσπλαγχνίστηκα διὰ τὴν πανάχραντόν μου μητέρα καὶ ἐκράτησα τὸν θυμόν μου. καὶ διὰ νὰ ἴδω νὰ ἐπιστραφῆτε ὀλίγον, ἔδωσα σιτάρι καὶ κρασὶ καὶ πᾶν ἀγαθὸν καὶ ἐχόρτασά σας. καὶ ὅταν ἐχορτάσετε πάλιν εἰς τὸ χειρότερον ἐπήγετε. τότε, λέγω ὑμῖν, θέλω στέλλειν ἄλλην ἐπιστολὴν ἐπὶ τῆς γῆς, ἀνοίξει θέλω τοὺς καταράκτας τοῦ οὐρανοῦ καὶ βρέξει ἔχω ὕδωρ καχλάζον ἀπριλίου ἡμέρᾳ πέ(μ)πτῃ καὶ κατακαύσω πάντας καὶ βρέξει θέλω αἷμα καὶ στάκτην ἰουνίου δεκατέσσαρεις, ὥστε πολλοὺς θέλω σκοτώσει. καὶ θέλω κάμει (=κάμνει) ποταμοὺς νὰ γένῃ αἷμα ὅτε καὶ τὰ κτήνη ἤγουν τὰ ζῶα θέλω σκοτώσει.· καὶ ἀπὸ τοῦ πολλοῦ φόβου καὶ τρόμου

---

[1]) An. ἦν? [2]) Cod. ἰό. [3]) Cod. ἠμπόρεσιν. [4]) Cod. μεταῖς, [5]) Cod. ἐμῆς. [6]) Cod. οὐδέ. [7]) Cod. λέγοντες.

θέλουν κράζει ὁ κόσμος πρὸς τοὺς ἀποθαμένους νὰ λέγουν. ἀνοίξατε οἱ τάφοι καὶ πάρετέ (=ἐπ—) μας μέσα ὅτι δὲν ἠμποροῦμεν νὰ ὑποφέρωμεν τὴν ὀργὴν τοῦ θεοῦ. Τότε λέγει πάλιν ὁ Κύριος. οὐκ ἴδατε, τρελοί, ὅτι τὴν ἁγίαν κυριακὴν ἐμήνυσα [1]) τὸ Χαῖρε κεχαριτωμένη εἰς τὴν ὑπέραγνον μητέρα μου μετὰ τοῦ ἀρχαγγέλου μου Γαβριὴλ εἰς τὴν πόλιν Ναζαρέτ; Ἴδατε, κακοῦργοι καὶ ἀνόητοι, ὅτι τὴν ἁγίαν κυριακὴν τὸ βάπτισμα ἐδεξάμην ἐν ἐρύθροις τοῦ Ἰορδάνου ὑπὸ χειρὸς Ἰωάννου τοῦ Βαπτιστοῦ; οὐκ ἴδατε, ἄφρονες καὶ ἀσύνετοι τῇ καρδίᾳ, ὅτι τὴν ἁγίαν κυριακὴν τὴν ἐμὴν ἀνάστασιν ἐποίησα ἵνα ἀναστήσω τὸν Ἀδὰμ καὶ τοὺς ἐξ Ἀδάμ; οὐκ ἴδατε ὅτι τὴν ἁγίαν κυριακὴν παροικίσω τῷ Ἀβραὰμ ἐν τῇ δρυὶ τῇ Μα(μ)βρί; οὐκ ἴδατε, ἄφρονες καὶ ἀσύνετοι τῇ καρδίᾳ, ὅτι τὴν ἁγίαν κυριακὴν ἐγίνετε παραβάται τοῦ νόμου καὶ τῶν ἐντολῶν μου καὶ τῶν θείων μου γραφῶν παραφρονήσατε τὴν ἁγίαν κυριακήν; οὐκ ἴδατε, τὴν ἁγίαν κυριακὴν μέλλω κρῖναι ζῶντας καὶ νεκρούς; Μὰ τὴν μητέρα μου τὴν παναγίαν καὶ τῶν ἀγγέλων μου τὰ στίφη καὶ ἀρχαγγέλων καὶ τοῦ ἁγίου μου Ἰωάννου τοῦ Βαπτιστοῦ, οὐ μὴ ἀποστείλω ἄλλην ἐπιστολὴν ἐπὶ τῆς γῆς, ἀλλὰ ἀποστρέψει ἔχω [2]) τὸ φῶς τοῦ ἡλίου εἰς σκότος καὶ τὴν σελήνην εἰς αἷμα, ἵνα κατασφάξετε ἀλλήλους καὶ ποιήσειν ἔχω ἐκ τῶν οὐράνων ἤχους ἀστράπτων καὶ κτύπων καὶ ἀποστρέψει (scil. ἔχω) τὸ πρόσωπόν μου ἀφ᾽ ὑμῶν ἵνα ἀκούσω τὸ θρῆνος τὸ ἄπαυστον καὶ νὰ μή τους λυπηθῶ, νὰ ἀκούσω τῆς φωνῆς τους (=των) καὶ οὐ μὴ ἐλεήσω. Καὶ πάλιν λέγω σας μὰ τὴν μητέρα μου τὴν ἄχραντον καὶ τῶν ἁγίων μου ἀποστόλων καὶ προφητῶν. ἐὰν μὴ φυλάξετε τὴν ἁγίαν μου κυριακήν, ἐξολοθρεύσει [3]) ἔχω ὑμᾶς καὶ κακὸν θάνατον παραδώσω πάντας, κακοῦργοι, ψεῦσται, καταλαληταί, μοιχοί, φονεῖς, βλάσφημοι, ἅρπαγες, ὑποκριταί, λησταί, ἀντίχριστοι, υἱοὶ τοῦ διαβόλου, παράνομοι πνευματομάχοι, ἀδίδακτοι, παραβάται τῶν ἐντολῶν μου καὶ τῶν θείων μου γραφῶν, παραφρονῆται συντέκνους (sic), μισάδελφοι, σταυροπάται, πλεονέκται, ἅρπαγες, ἀνελεήμονες, κακόφρονοι, κακόζηλοι, οἱ μισήσαντες τὸ φῶς καὶ ἀγαπήσαντες σκότος, ἐργαζόμενοι [4]) τοὺς ἰδίους γονεῖς. Ἀγαπᾶτε τὸ ὄνομά μου, νὰ μὴ σχισθῇ [5]) ἡ γῆ καὶ σᾶς καταπίῃ. ποῖον λόγον

[1]) Cod. ἐμήνυσε. [2]) Cod. ἔχει. [3]) Cod. ἐξολοθρεύσω. [4]) Cod. ἐργαζομένους. [5]) Cod. σχιστῇ.

ἔχετε ἀποδώσει ἐν ἡμέρᾳ τῆς κρίσεως; Ἐὰν ἀρνεῖσθε τὰ διαβολικὰ ἔργα τὴν ζηλίαν, τὸν φθόνον, τὴν καταλαλίαν, τὴν βλασφημίαν, τὴν ὑπερηφανίαν, τὴν κλεψίαν, τὴν μοιχείαν καὶ τὰ τοιαῦτα ὅμοια. Καὶ πάλιν ὀμνέω ὑμῖν κατὰ τὴν κορυφήν μου τὴν ἄχραντον καὶ τὴν μητέρα μου τὴν παναγίαν, οὐκ ἐγράφη ἡ ἐπιστολὴ αὕτη ὑπὸ χειρὸς ἀνθρώπου, ἀλλὰ ἔσται (=ἐστὶν) ὁλόγραφος ὑπὸ τοῦ ἀοράτου πατρός. εἴ τις δὲ εὑρεθῇ φλυαρὸς ἄνθρωπος ἢ πνευματομάχος καὶ φλυαρίσῃ καὶ εἰπῇ ὅτι ὑπὸ χειρὸς ἀνθρώπου ἐγένετο, κληρονομήσει τὸ ἀνάθεμα καὶ τὴν ἀγχώνη(ν) τοῦ Ἰούδα καὶ καταστραφήσεται ὁ οἶκος αὐτοῦ ὡς τὰ Σόδομα καὶ Γόμοῤῥα καὶ δοθήσεται τὸ πνεῦμα αὐτοῦ ἀγγέλοις πονηροῖς ἐν ἡμέρᾳ κρίσεως. Λέγω γὰρ ὑμῖν. μὴ δεξάμενοι τὴν ἐπιστολὴν ταύτην, ἀλλ' ἢ ἀποτιμείρα [1]) τους ἢ ἐκείνους ὁποῦ ὑβρίζουν τὸν ἱερέαν τους, ὅτι δὲν ὑβρίζει τὸν ἱερέα, ἀλλὰ τὸν θεὸν ὑβρίζει κα ἀτιμάζει. διότι ὁ ἱερεὺς δέν τον ὑβρίζει καὶ ὁ ἱερεὺς δὲν λειτουργεῖ μοναχός του, ἀλλὰ καὶ οἱ ἄγγελοι συλλειτουργοῦσιν μετ'αὐτὸν καὶ παρακαλοῦν τὸν θεὸν ὑπὲρ ὑμῶν. Οὐαὶ τὸν ὑβρίζοντα τὴν ἐκκλησίαν τοῦ θεοῦ. οὐαὶ τὸν καταλαλοῦντα τὸν πλησίον αὐτοῦ. οὐαὶ τὸν καταλαλοῦντα τὸν ἴδιον σύντεκνον. οὐαὶ τὸν δίδοντα τὰ ἄσπρα με διάφορον. οὐαὶ τὸν παραζυγιάζοντα [2]). οὐαὶ τοὺς μὴ πιστεύοντας [3]) τὴν ἁγίαν τριάδα. οὐαὶ τοὺς λαλοῦντας τὸ ψεῦδος. οὐαὶ τοὺς μίγοντας σπίτι καὶ χωράφι. οὐαὶ ὁποῦ ἁρπάζουν τοῦ γειτόνου του τὸ τίποτες. οὐαὶ τοὺς μοναχοὺς ὁποῦ πορνεύουν. οὐαὶ τὴν οἰκοδέσποινα(ν) τὴν μετὰ μάχης ποιοῦντα προσφορά(ν) αὐτῆς. (οὐαὶ τὸν ἱερέαν τὸν) μετὰ μάχης λειτουργοῦντα. πῶς οὐκ ἐμπυρίζεται τὸ αἷμα αὐτοῦ [4]) καὶ τὰ χείλη αὐτοῦ [5]) ὅταν ὑψώνῃ τὸν ἅγιον ἄρτον καὶ λέγει. πρόσχωμεν, τὰ ἅγια τοῖς ἁγίοις; οὐαὶ τὸν ἱερέαν τὸν μὴ δεξάμενον τὴν ἐπιστολὴν ταύτην προθύμως [6]) καὶ αὐτὴν γράφει [7]) καὶ πέμπει εἰς ἑτέρας πόλεις καὶ χώρας, νὰ ἀναγινώσκεται κάθα κυριακὴν ἔμπροσθεν τῶν ἀνθρώπων, εὐλογημένος ὁ ἔχων τὴν ἐπιστολὴν ταύτην καὶ ὑπάγει προθύμως ἀλλαχόθεν καὶ ἀναγινώσκει αὐτήν. ἐὰν ἔχῃ ἁμαρτίαις ὑπὲρ τρίχας

---

[1]) **Locus depravatus.** [2]) Cod. παραζυαγιάζοντα. [3]) Cod. πιστεύοντες. [4]) Cod. αὐτῶν [5]) Cod. αὐτῶν. [6]) Post προθύμως nonnulla praetermissa videntur. [7]) Cod. γράφειν.

τῆς κεφαλῆς αὐτοῦ, ἐγὼ ἐξαλείψω αὐτάς. οὐκ ἴδατε, ἄνθρωποι, ὅτι τὰς ἕξι ἡμέρας ἔδωκα ἵνα ἐργάζεσθε καὶ τὴν ἁγίαν κυριακὴν ἵνα προσεύχεσθε καὶ λουτρωθήσετε τῶν ἁμαρτιῶν τῶν ἕξὶ ἡμερῶν; οὐκ ἴδατε, κακοῦργοι, ὅτι ἐγὼ κάμνω καὶ ἐσεῖς καυχᾶσθε. ἐὰν δὲν βρέξω ἐπὶ τῆς γῆς, τί βούλεσθε θερίζειν; οὐκ ἴδατε, ἄφρονες, ὅτι ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ ἐγώ εἰμι καὶ ποῦ βούλεσθε φυγεῖν; Ἐπικατάρατος ὁ ἄνθρωπος ἐκεῖνος ὁ ἐργαζόμενος ἀπὸ ὥρας ἐννάτης τοῦ σαββάτου ἕως δευτέρας ἐπιφασκούσης ἡλίου. ἐπικατάρατος ὁ ἄνθρωπος ἐκεῖνος ὁ μετὰ γυναικὸς κοιμώμενος τὴν ἁγίαν κυριακήν. [1]) οἱ τετράδι καὶ παρασκευῇ νηστεύοντες. ἐπικατάρατος ὁ ἄνθρωπος ἐκεῖνος ὁ ταχυνευόμενος τὴν ἁγίαν κυριακήν [2]). Καὶ μετὰ πληρῶσαι τὴν διδαχὴν ὁ ἀρχιεπίσκοπος, ἦλθέ του φωνὴ ἐκ τοῦ οὐρανοῦ λέγουσα. μὰ τὴν μητέρα μου τὴν παναγίαν, οὐκ ἐγράφη ἡ ἐπιστολὴ αὕτη ὑπὸ χειρὸς ἀνθρώπου, ἀλλὰ παρὰ τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς. Εὐλογημένος ὁ ἄνθρωπος ἐκεῖνος ὁποῦ παγαίνει εἰς τὴν ἐκκλησίαν τὴν ἁγίαν κυριακὴν μὲ τὴν γυναῖκά του καὶ μετὰ παιδία του καὶ μεταλαμβάνει τῶν θείων καὶ φρικτῶν μυστηρίων. θέλω τον εὐλογήσει καὶ νὰ πληθύνω αὐτὸν καὶ ἔσται εὐλογημένος ἐν τῷ νῦν καὶ ἐν τῷ μέλλοντι. Ἐγὼ ὁ πατριάρχης Ἱεροσολύμων Ἰωαννίκιος ἐμυήθη(ν) ὑπὸ τοῦ ἁγίου πνεύματος καὶ παρακαλῶ ὑμᾶς ὡς τέκνα μου ἀγαπητά· εἴ τι ἔχετε, πωλήσατε ἐκ τῶν πραγμάτων καὶ ἀγοράσατε τὴν ἐπιστολὴν αὐτὴν καὶ ᾧ ἀγοράσεις τὴν βασιλείαν τῶν οὐρανῶν. ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

---

[1]) Nonnulla sunt praetermissa. [2]) Plura exciderunt.

5. Видѣнія Даніила.

Visiones Danielis.

α. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου λόγος ἐκ τὴν ὅρασιν τοῦ Δανιήλ.

Ἄκουσον, ὀυρανέ, μετὰ ἀκριβᾶς, πῶς οἱ τέσσαρες βασιλεῖες μετ' ἀλλήλων συνήχθησαν· Αἰθίωπες, Μακεδόνες, Ἕλληνες καὶ Ρωμαῖοι. τοῦτοί εἰσιν οἱ τέσσαροι ἄνεμοι [1]) ἐν οἷς ἑώρακεν Δανιὴλ ὁ προφήτης σισείοντα τὴν μεγάλην θάλασσαν. Φίλιππος μὲν ὁ τοῦ Ἀλεξάνδρου πατήρ, αὐτὸς ἔγημε [2]) τοῦ Χουσὴθ θυγατέρα βασιλέως [3]) Αἰθιωπίας, ἐξ ἧς Ἀλέξανδρος τίκτεται Μακεδών. αὐτὸς ἔκτιζε Ἀλεξανδρείαν τὴν μεγάλην καὶ ἐβασίλευσεν ἐν αὐτῷ (sic) χρόνους ιε' καὶ ἐκυρίευσεν χωρῶν [4]) πολλῶν καὶ πόλεων καὶ ἕως τῆς θαλάσσης τῆς λεγομένης Ἡλίου χώρας. καὶ εἰσῆλθεν ἕως τῆς ἑώας γῆς καὶ ἐκεῖ εὗρεν [5]) ἔθνος ἀνεξιχνίαστον, πᾶν ζωφίον μαγάρον, ὄφεις, γάτας, μύγας (=μυίγας) καὶ πᾶν ἑρπετόν. Καὶ τοὺς νεκροὺς οὐκ ἔθαπτον, ἀλλὰ μᾶλλον ἴστιον (=ἤσθιον) καὶ ἐκτρόματα τῶν γυναικῶν εἶδος ἀκαθάρτων θηρίων. τοὺς νεκροὺς οὐκ ἔθαπτον, ἀλλὰ μᾶλλον ἴστιον αὐτούς [6]). ταῦτα καταθεωρήσας Ἀλέξανδρος ὑπ' αὐτῶν ἐν ἀγροῖς γινόμενα δεδοικὼς μή πως πλατυνθῶσιν ἐν τῇ γῇ καὶ ἐνοῦσιν αὐτὴν ἐκ τῶν μιαρῶν ἐπιτηδευμάτων ἐδεήθη τοῦ Κυρίου ἐκτενῶς καὶ συνήγαγεν αὐτοὺς ἄνδρας σὺν γυναιξὶν καὶ τέκνοις καὶ ἁπλῶς εἰπεῖν πάσας τὰς παρεμβολὰς αὐτῶν καὶ ἐξήγαγεν αὐτοὺς ἐκ τῆς ἑώας γῆς καὶ κατεδίωξεν ὀπίσω αὐτῶν ἕως οὗ εἰσήλθωσαν ἐν τοῖς μέρεσιν τοῦ βοῤῥᾶ. καὶ οὐκ ἔστιν εἴσοδος ἀπὸ ἀνατολῶν ἢ δυσμῶν. αὖθις οὖν ἐλιπάρησεν τὸν Θεὸν καὶ ἀπέκλεισεν αὐτοὺς ἐκεῖσε μετὰ χαλκῶν πυλῶν ἐπιχρίσας ἀσήγχητον [7]). Ταῦτα οὖν τὰ μυσαρὰ καὶ κίβδηλα ἔθνη πάσαις ταῖς μαγικαῖς κακοτεχνίαις κέχρηνται καὶ ἐν τούτοις αὐτῶν τὴν ῥυπαρὰν καὶ ἀπάνθρωπον μᾶλλον δὲ καὶ μισόθεον γοητείαν κατήργησεν ἡ φύσις τοῦ ἀσυγχήτου. Ἐν δὲ τοῖς καιροῖς

---

[1]) Cod. ἀνέμοι. [2]) Cod. ἔγαιμε. [3]) Leg. Χουσὴθ θ. τοῦ. [4]) Cod. χρονῶν. [5]) Cod. εὗρον. [6]) Sic repetit cod. [7]) Cod. ἰσίγχητον.

ἐκείνοις κατὰ τὴν (τοῦ) Ἰεζεκιὴλ προφητείαν τὴν λέγουσαν· ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ τῆς συντελείας τοῦ κόσμου ἐξελεύσεται χόθ, γώγ, ἀνῆς, ἀγήγ, ἀχενάζ, φαρβατινός, φαζενοί, ὀλβιανοί, σαρματαί, θυάλαιοι καὶ ἀνθρωποφάγοι. Οὗτοι εἴκοσι δύο βασιλεῖς καθεστήκασιν ἔνδον τῶν Κασπίων πυλῶν ὧν κατεσκεύασεν Ἀλέξανδρος ὁ βασιλεύς.

Βύζας οὖν ὁ βασιλεὺς ὁ κτίσας τὸ Βυζάντιον ἀπέστειλεν εἰς Αἰθιωπίαν πρὸς Φὸλ βασιλέα Αἰθιωπίας Γερμανικὸν τὸν αὐτοῦ στρατηγὸν εἰρηνεῦσαι μετ' αὐτοῦ, γράψας αὐτῷ καὶ περὶ Χουσὴθ τῆς θυγατρὸς αὐτοῦ, ὅπως λάβῃ αὐτὴν γυναῖκα καὶ βασιλεύσῃ σὺν αὐτῇ. Δεξάμενος οὖν ὁ βασιλεὺς τὰ γράμματα παρὰ Γερμανικοῦ καὶ ἑωρακὼς τὰς παρ' αὐτοῦ φιλοτιμίας εὐ(φ)ράνθη ἄγαν, ἀνέστη δὲ καὶ αὐτὸς καὶ συνήγαγεν ἐξ ὅλων τῶν ἐθνῶν [1]) Αἰθιωπίας πλῆθος στρατιᾶς. λαβὼν δὲ καὶ τὴν θυγατέραν αὐτοῦ Χουσὴθ καὶ ἐπορεύθη εἰς τὸ Βυζάντιον καὶ ἔδωκεν φιλοτιμίαν μεγάλην ἔχων μεθ' ἑαυτοῦ τεσσαράκοντα χιλιάδας [2]) Αἰθιώπων. Ἐδεξιώθη δὲ αὐτοὺς ὁ βασιλεὺς Βύζας πέραν τῆς θαλάσσης ἐν Χαλκηδόνι μετὰ πλείστης θυμηδίας, δέδωκεν δώματα πολλὰ τοῖς συνοῦσιν αὐτῷ καὶ εἰσῆλθεν εἰς τὸ Βυζάντιον καὶ δέδωκεν φιλοτιμίαν μεγάλην καὶ δῶρα μέγιστα κατὰ τὴν βασιλικὴν συνήθειαν. Καὶ ἔλαβεν Βύζας ὁ βασιλεὺς τὴν Χουσὴθ θυγατέραν βασιλέως Αἰθιωπίας ἐξ ἧς τίκτεται αὐτῷ θυγάτηρ [3]) ἣν καὶ ἐκάλεσεν ἐπὶ τὸ ὄνομα τῆς πόλεως αὐτοῦ Βυζαντίαν. αὐτὴν δὲ ἔγημε Ρωμύλος ὁ βασιλεὺς Ρώμης ὁ Ἀρχέλαος, διὰ δὲ τὴν ὑπερβάλλουσαν αὐτὴν ὡραιότητα ἠγάπησεν αὐτὴν σφόδρα. Ἦν δὲ αὐτὸς λίαν πλούσιος καὶ μεγαλόψυχος ὅθεν καὶ ἐν τοῖς προικίοις ἐδωρήσατο τὴν Ρώμην. ἀκούσαντες δὲ οἱ μεγιστᾶνες αὐτοῦ ἠγανάκτησαν κατ' αὐτοῦ. Τέτοκεν [4]) δὲ καὶ ἡ Βυζαντία τρεῖς υἱοὺς καὶ τὸν μὲν πρῶτον ὠνόμασεν κατὰ τὴν αὐτοῦ προσηγορίαν Ἀρχέλαον, τὸν δὲ ἕτερον Οὐρβανόν [5]), τὸν δὲ τρίτον Κλαύδιον. Ἐβασίλευσαν οὖν ἑκάτεροι, ὁ μὲν Ἀρχέλαος ἐν Ρώμῃ, Οὐρβανὸς (δὲ) εἰς Βυζάντιον πόλιν τῆς αὐτοῦ μητρός, Κλαύδιος ἐν Ἀλεξανδρείᾳ. Κατεκράτησεν δὲ τὸ σπέρμα τῆς Χουσὴθ θυγατρὸς τοῦ βασιλέως Αἰθιωπίας τὴν

---

[1]) Cod. ἔνδον. [2]) Cod. χιλιάδες. [3]) Cod. θυγατέραν. [4]) Cod. τότεκεν. [5]) Cod. Οὔρκανᾶν.

τρεῶαν [1]) Μακεδονίαν, Ρωμαίων τε καὶ Ἑλλήνων ἤγουν τῶν Ρωμαίων ἐκ γένους τῶν Αἰθιώπων. αἰνιττόμενος γὰρ ταύτην ὁ ἅγιος Δαυὶδ ταῦτα εἴρηκεν· Αἰθιωπία προφθάσει χεῖρα αὐτῆς τῷ θεῷ. ἡ γὰρ ἐκ γένους τῶν Αἰθιώπων συνισταμένη [2]) ἡ βασιλεία τῶν χριστιανῶν κέκτηται τὸ μέγα καὶ σεβάσμιον ξύλο(ν) τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, ὅθεν ἡ αὐτὴ βασιλεία τῶν χριστιανῶν ἰσχυρά ἐστιν ὑπὲρ πᾶσαν βασιλείαν καὶ οὐκ ἔστιν ἔθνος ἢ βασιλεία ἐν τῇ ὑπ' οὐρανῶν δυναμένη καταδυναστεῦσαι τῆς βασιλείας τῶν χριστιανῶν τῶν Ρωμαίων. ὡς γὰρ πρεπόντως προέφημε(ν), ἀγαπητοί, τὸν ἐν μέσῳ τῆς γῆς πανέντιμον, ζωοποιόν τε καὶ ἰσχυρὸν σταυρὸν [3]) ὑφ' οὗ καὶ τῆς οἰκουμένης πέρατα λίαν σαφῶς ὑπογράφουσιν κατά τε πλάτος καὶ μῆκος καὶ ὕψος καὶ βάθος. ποία γὰρ ἰσχύει βασιλεία τῇ τῶν Ρωμαίων ἀρχῇ;

Ἀκούσωμεν γάρ, τί ὁ θεσπέσιος Παῦλος προηγόρευσεν περὶ τῆς ἐσχάτης ἡμέρας καὶ τῆς τῶν χριστιανῶν βασιλείας, φημὶ δήπου ἐν τῇ πρὸς Θεσσαλονίκαις ἐπιστολῇ οὕτως. ἐρωτῶμαι δὲ ὑμᾶς καὶ τὸν λοιπὸν [4]) ἕως ἂν ἀποδεικνύωνται αὐτὸν ὅτι ἐστὶν θεός. λοιπὸν οὗτος ὁ μόνος κατέχων ὅτι ἐκ μέσου γένηται καὶ τότε ἀποκαλυφθήσεται ὁ ἄνομος. Τί οὖν ἐστι τὸ ἐκ μέσου εἰ μὴ τῶν χριστιανῶν βασιλεία; πᾶσα γὰρ ἀρχὴ καὶ ἐξουσία τοῦ κόσμου τούτου καταργηθήσεται πλὴν ταύτης. καὶ γὰρ αὐτὴ πολεμεῖται καὶ οὐ χύται, καὶ πάντα τὰ ἔθνη συγκρούονται μετ' αὐτῆς καὶ ἀναλωθήσονται ὑπ' αὐτῆς καὶ κρατήσονται ἕως οὗ ἐφθάσει ἡ ἐσχάτη ἡμέρα. καὶ αὐτό ἐστιν τὸ προφθάσει χεῖρα αὐτῆς τῷ θεῷ κατὰ τὸν ἀπόστολον τὸν λέγοντα. ὅταν κα(τα)ργηθῇ πᾶσα ἀρχὴ καὶ ἐξουσία τοῦ κόσμου τούτου, τότε αὐτὴ παραδώσει τῷ βασιλεῖ [5]) τῷ θεῷ καὶ πατρί. Ποίαν βασιλείαν; δηλονότι τῶν χριστιανῶν, οὐδὲ γάρ ἐστι βασιλεία δυνατωτέρα αὐτῆς. Διὰ δὲ τὸ πλῆθος τῶν ἁμαρτιῶν αὐτῶν θυμωθήσεται ὁ θεὸς ἀπ' αὐτῆς καὶ προσκαλέσεται τὸν θηρευτὴν Ἰσμαὴλ καὶ κινήσει ὡς ἡ ἄμμος τῆς θαλάσσης ἡ ἀνάριθμητος καὶ πετασθήσονται ὡς ἱέρακες ἐπὶ τὰ ὄρη τὰ ὑψηλά, οἱ δὲ ἵπποι αὐτῶν ἐξαλλοήνται (=ἐξαλλοήσονται) ὡς ἀετιτόμενοι, καὶ εἰσελεύσονται ἐν τῇ πόλει

---

[1]) An τήν τε ἔφαν? [2]) Cod. συνισταμένης. [3]) Cod. πανεντίμῳ, ζωοποιῷ τε καὶ ἰσχυρῷ σταυρῷ. [4]) Leg. τὸ λοιπόν. [5]) An. τὴν βασιλείαν?

τῇ ἑπταλόφῳ ἐν ἅρμασι καὶ ἵπποις καὶ ἕνεκαν τούτων πολλῆς αἱματεχυσίας [1]), οὐκ ὀλίγον ποιήσαντες δὲ καὶ σκῦλα. Τί χρὴ λέγειν; καὶ εἰσῆλθεν Ἰσμαὴλ τῷ ἀγγέλῳ ἕως Ἀτταλῶν. Καὶ εἶπον ἐγὼ Δανιὴλ τῷ ἀγγέλῳ. Κύριέ μου, διὰ τί ἐπεισῆλθον αἱ θλίψεις αὗται τοῖς χριστιανοῖς; καὶ εἶπέν μοι ὁ ἄγγελος. οὐχ ὅτι ἀγαπᾷ Κύριος ὁ θεὸς τὸν Ἰσμαὴλ διδώσει αὐτῷ τὴν ἐξουσίαν τοῦ κρατῆσαι τῆς γῆς τῶν Ρωμαίων, ἀλλὰ διὰ τὰς ἁμαρτίας κατοικούντων ἐν αὐτῇ. καὶ ἀρθήσεται ἡ τιμὴ τῶν ἱερέων καὶ ἐκλείψει ἡ θυσία ἀπὸ τῶν ἐκκλησιῶν καὶ πληρωθήσεται ἡ κακία ἐπὶ τοὺς ἀνθρώπους καὶ γενήσονται ὁ λαὸς ὡς ἄγρια θηρία καὶ ἔσονται ἱερεῖς ὡς ὁ κοινὸς λαός. Ἐν τῷ καιρῷ ἐκείνῳ ἤτοι [2]) τῷ ἑβδοματικῷ χρόνῳ ἐν ᾧ πληροῦται ὁ ἀριθμὸς τῶν Ἰσμαηλιτῶν καὶ τῆς δυναστείας αὐτῶν, ἧς κατεκράτησαν, καὶ ἠρήμωσαν Ρωμανίαν τε καὶ Πισιδίαν καὶ τὰς λοιπὰς νήσους εὑρισκομένους πλησίον Ρώμης, Καλαβρίαν καὶ Σικελίαν τὴν καλουμένην Τυραννίδα πόλιν. τότε βλασφημήσαντες οἱ Ἰσμαηλῖται ἐροῦσιν ὅτι οὐκ ἔχουσιν ἀνάῤῥυσιν ἐκ τῶν χειρῶν ἡμῶν οἱ Ρωμαῖοι. Τότε αἰφνιδίως ἐξέλθωσιν οἱ τῆς πόλεως ἐκείνης τῆς καλουμένης Τυραννίδος καὶ εὑροῦσιν [3]) δι'ἀποκαλύψεως θεοῦ μέσον τῆς αὐτῶν πόλεως ἄνθρωπόν τιναν οὗτινος τὸ ὄνομα ἦν ἔλαττον ἐν τῷ κόσμῳ. καὶ τοῦτον κρατήσαντες ἀπάξουσιν αὐτὸν μέχρι δίνης κἀκεῖ χρίσουσιν αὐτὸν εἰς βασιλέα, ὃν [4]) εἶχον οἱ ἄνθρωποι ὡσεὶ νεκρὸν καὶ οὐδὲν χρησιμεύοντα. ἔστιν δὲ τὸ ὄνομα αὐτοῦ εἰς τὸ τριακοστὸν κεφάλαιον. Οὗτος ἐξελεύσεται εἰς τοὺς Ἰσμαηλίτας ἐν τόπῳ τινὶ λεγομένῳ Πετρίνῳ καὶ συγκροτήσουσιν πόλεμον ἰσχυρόν. ἐν δὲ τῷ τόπῳ ἐκείνῳ ἐστὶν φρέαρ δίστομον κἀκεῖ συγκόψονται ἀλλήλους ὥστε ἐκ τῶν αἱμάτων τῶν Ρωμαίων καὶ τῶν Ἰσμαηλιτῶν μεστὸν γενέσθαι τὸ φρέαρ. Καὶ παραδώσει Κύριος ὁ θεὸς τὸν Ἰσμαὴλ εἰς χεῖρας τοῦ βασιλέως καὶ μετὰ ταῦτα ἀποστελεῖ εἰς τὰς χώρας αὐτῶν καὶ ποιήσει κατασκευὴν πλοίων καὶ ὀρνεύσει αὐτά. καὶ ἄλλους ἀγγέλους [5]) αὐτοῦ ἀποστελεῖ εἰς τὰ ἐνδότερα μέρη τῆς Ρώμης καὶ ἡμερώσει τὰ ξανθὰ ἔθνη καὶ ὁμοῦ διώξουσιν τὸν Ἰσμαήλ. καὶ τότε πληρωθήσεται ἡ προφητεία ἡ λέγουσα ὅτι κύων καὶ σκύμνος διώξουσιν ἀγρόν. Καὶ ἀπερχομένου

---

[1]) Omissa quaedam videntur. [2]) Cod. εἴτι. [3]) Cod. add. τινά quod cum sit supervacaneum omisi. [4]) Cod. οἱ. [5]) Cod. ἀγγελούς.

τοῦ βασιλέως ἐν τῇ Ῥώμῃ εἰσέλθει εἰς τόπον λεγόμενον Λωγγιβαρδίας, καὶ ἀντιτάζονται αὐτὸν οἱ τοῦ τόπου ἐκείνου, καὶ τούτους παρακαλέσας εἰσέλθει [1]) ἐν τῇ Ῥώμῃ. καὶ ἐλθὼν ἐν τόπῳ τινὶ οὗ ἦν κεκλεισμένος θησαυρός, κρούει μετὰ τοῦ φραγγελίου αὐτοῦ εἰς τὸ ζόδον [2]), ἔνθα ἐστὶν ὁ θησαυρὸς ἀποκεκλεισμένος. προστάξει δὲ θεοῦ ἀνοιχθήσονται, καὶ ἐξ αὐτοῦ ποιήσει [3]) ῥῶγας τῷ λαῷ αὐτοῦ. καὶ ἐξέλθει ἀπὸ Ῥώμης μετὰ πλείστου λαοῦ καὶ ἀπέλθει διὰ τῆς στερεᾶς ἐν τῇ ἑπταλόφῳ πόλει καὶ οὐκ ἔσται ὁ ἀντικείμενος αὐτῷ, ὅτι Κύριος ὁ θεὸς ἦν μετὰ αὐτοῦ. καὶ ἀκουσθήσεται ὁ φόβος αὐτοῦ ἐν πάσῃ πόλει καὶ χώρᾳ καὶ ἀκούσας ὁ εἰς διακοσιοστὸν [4]) κεφάλαιον τοῦ τριακοστοῦ κεφαλαίου ἀποδράσει ἀπὸ τῆς πόλεως τῆς ἑπταλόφου εἰς τὸ ἐνδότερον μέρος τῆς ἀνατολῆς καὶ ἀπολεῖται κακῶς. Εἶτα ἀναστήσεται νεανίας ἐκ φυλῆς τοῦ Δὰν κατὰ τὴν προφητείαν τοῦ Ἰακὼβ τοῦ πατριάρχου τὴν λέγουσαν. ὄφις ἐφ' ὁδοῦ [5]) ἐκαθήμενος δάκνων πτέρναν ἵππου καὶ πεσεῖται ὁ ἱππεὺς εἰς τὰ ὀπίσω τὴν σωτηρίαν ἀναμένων Κυρίου. Ἱππεύς ἐστιν ἡ ἀλήθεια καὶ ἡ εὐσέβεια τῶν ὀρθοδόξων χριστιανῶν, (πτέρνα) δὲ ἡ ἐσχάτη ἡμέρα. Καὶ οὗτοι ἅγιοι ἐν τῷ χρόνῳ δαχθήσονται ὑπὸ τοῦ ὄφεως ἤτοι τοῦ υἱοῦ τῆς ἀπωλείας εἰς τὰς φαντασίας αὐτοῦ καὶ εἰς τὰς ψευδομαντείας αὐτοῦ· ποιήσει γὰρ σημεῖα καὶ τέρατα ἐπὶ τῆς γῆς ἀνδρανὴ (sic) καὶ ἐξίτηλα. τυφλοὶ ἀναβλέψουσιν καὶ χωλοὶ περιπατήσουσιν, κωφοὶ ἀκούσονται καὶ δαιμονιώδαις ἰασθήσονται, μεταστρέψει τὸν ἥλιον εἰς σκότος καὶ τὴν σελήνην εἰς αἷμα [6]) καὶ ἐν τούτοις τοῖς αὐτοῦ τοῖς σημείοις καὶ φαντασιώδαις ἐν τέρασιν πλάναις [7]) καὶ ἀπατήσει [8]) εἰ δυνατὸν καὶ τοὺς ἐκλεκτοὺς καθὼς γέγραπται. Εἰσελεύσεται γὰρ ὁ υἱὸς τῆς ἀπωλείας εἰς Ἱεροσόλυμα καὶ καθίσει εἰς τὸν ναὸν Κυρίου ἴσα θεῷ, ἄνθρωπος ὑπάρχων σάρκινος, ἐκ σπέρματος ἀνδρὸς καὶ ἐκ μήτρας γυναικός, ἐκ τῆς φυλῆς τυγχάνων τοῦ Δάν. Ἰούδας γὰρ ὁ Ἰσκαριώτης ὁ παραδοὺς (scil. τὸν Κύριον) καὶ αὐτὸς ἐκ φυλῆς (ἦν) τοῦ Δάν. Πληθυνομένης γὰρ τῆς θλίψεως τῶν ἡμερῶν ἐκείνων ἀπὸ τοῦ

---

[1]) Cod. εἰσῆλθει. [2]) Cod. τοΖόδον. [3]) Cod. ποιῆσαι. [4]) Cod. διακοσιοστήν. [5]) Cod. οὐδοῦ. [6]) Cod. μετ. τοὺς εἰς σκ. καὶ τὴν σοι αἴγμα. [7]) Cod. πλάνης. [8]) Cod. ἀπαντήσει.

υἱοῦ τῆς ἀπωλείας οὐ φέρει τὸ θεῖον καθωρᾶν τὴν ἀπώλειαν τοῦ γένους τῶν ἀνθρώπων οὓς ἐξηγόρασεν τῷ ἰδίῳ [1]) αὐτοῦ αἵματι ὁ υἱὸς καὶ λόγος τοῦ θεοῦ, ἀλλὰ ἀποστέλλει ἐν συντόμως τοὺς ἰδίους αὐτοῦ θεράποντας τόν τε Ἐνὼχ καὶ Ἡλίαν εἰς ἔλεγχον αὐτοῦ τοῦ ἀντικειμένου ἐνώπιον πάντων ἐθνῶν. λέγοντες ὅτι οὗτός ἐστιν ὁ πλάνος ὁ ἀντικείμενος, τὸ δὲ βδέλυγμα τῆς ἐρημώσεως. Ὁρῶντες οὖν αὐτὸν τὰ ἔθνη ὑπὸ τῶν δούλων τοῦ Ἐνὼχ καὶ Ἡλίου ἐλεγχόμενον [2]) φεύξονται ἀπ' αὐτοῦ καὶ προσακολουθήσονται τοῖς ἁγίοις. ὁρῶν οὖν ὁ ἐχθρὸς ἑαυτὸν ὑπ' αὐτῶν δεινῶς ἐλεγχόμενον καὶ ὑπὸ πάντων καταφρονούμενον θυμῷ καὶ ὀργῇ ἀνελεῖ τοὺς ἁγίους. Τότε φανήσεται τὸ σημεῖον τοῦ υἱοῦ τῶν ἀνθρώπων [3]) μετὰ δόξης οὐρανίου καὶ ἀνελεῖ [4]) αὐτὸν ὁ Κύριος τῷ πνεύματι τοῦ στόματος αὐτοῦ κατὰ τοῦ ἀποστόλου φωνήν. Τότε λάμψουσιν οἱ δίκαιοι ὡς φωστῆρες ἐν τῷ κόσμῳ λόγον ζωῆς ἐπέχοντες, οἱ δὲ ἀσεβεῖς ἐκδιωχθήσονται καὶ ἀποστραφήσονται εἰς τὸν ᾅδην, ἐξ οὗ ῥυσθείημεν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

β. Ὅρασις τοῦ Δανιὴλ περὶ τοῦ ἐσχάτου καιροῦ καὶ περὶ τῆς συντελείας τοῦ αἰῶνος.

Καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις, ἀναστήσεται μειράκιον ἐκ τῶν υἱῶν Ἰσμαὴλ καὶ ἐξελεύσεται ἐπὶ τὰς χώρας καὶ ἐπέκεινα καὶ ἐν παντὶ τόπῳ καὶ νήσῳ ἐν λάρναξι ξυλίνοις, ἐν τοῖς τόποις τῆς Ῥωμανίας ἅμα καὶ τὰς νήσους ἁπάσας καὶ δώσει τὸ πρόσωπον αὐτοῦ ἀπέναντι φόνου μαχαίρας καὶ ταπεινώσει μεγιστάνους αὐτοῦ καὶ ὀλέσει ἄνδρας δυνατοὺς καὶ δώσει τὸ πρόσωπον αὐτοῦ ἐπὶ τὰ προπύλαια Πέτρου καὶ Παύλου καὶ κατακρατήσει τὰς κλεῖς αὐτοῦ καὶ ταπεινώσει τὴν μεγίστην Ῥώμην εἰς ἄκρον διότι ἐν τοῖς ναοῖς εἰδώλων καὶ βωμοῖς βασιλεῖς καὶ δυνάσται αὐτὸν ἐπέσπασαν [5]) καὶ καπνοὺς θυσιῶν ἐμόλυναν, καὶ ἐλυμήνατο τοὺς

---

[1]) Cod. τῷ ἴδιον. [2]) Cod. Ἡλίαν ἐλεγχόμενος. [3]) Cod. τοῦ ἀνθρώπου. [4]) Cod. ἀνέλκει. [5]) Forsan ἐπήσπασαν?

ἁγίους. Σπανία, Ἀρβενία ἐρημωθήσεται καὶ εἰς ἐξολόθρευσιν ἔσται. καὶ ἔσονται ἐν παντὶ τόπῳ πόλεμοι. Λογγιβαρδία ταραχθήσεται καὶ σταθήσεται ῥὴξ ἐν πόλει σιδηρᾶ καὶ ἀναγνῶ γράμματα λατῖνα ἐν τόπῳ Ῥηγίου καὶ ὁ συνομάστη (sic) ὁ ἐν τῇ χειρὶ αὐτοῦ τοῦ τόπου. καὶ λέγει ὁ λαὸς αὐτοῦ· ἰδοὺ ἡ παροικία ἡμῶν. Ἐν ταῖς ἡμέραις ἐκείναις λιμώξει ἡ θυσία ἀπὸ τῶν ἐκκλησιῶν καὶ καταφρονηθήσεται τὸ θεῖον καὶ ἔσονται οἱ ἱερεῖς ὡς ὁ λαὸς καὶ λαὸς ὡσεὶ δαίμονες, ἕως οὗ πληρωθῶσιν ἁμαρτίαι τῶν Ἰσμαηλιτῶν καὶ τρομάξεται ἡ γῆ ἀπὸ τῆς ὀργῆς τοῦ θεοῦ καὶ ἡ γῆ ἀναπέμψει φωνὴ(ν) ἀναστεναγμοῦ πρὸς Κύριον. Καὶ ἐν τῷ πληρωθῆναι τὸ ἥμισυ τῆς ἑβδομάδος ἐπιβλέψει Κύριος ὁ Θεὸς ἐπὶ τὴν γῆν καὶ ποιήσει αὐτὴν τρομάξαι. Καὶ μετὰ ταῦτα ἐκπλήξουσιν καὶ ὀλολύξουσιν [1]) υἱοὶ Ἰσμαὴλ ἀποφεύγοντες εἰς Μαριανὰ καὶ μετὰ ταῦτα ἐπελεύσονται πάλιν οἱ υἱοὶ Ἰσμαὴλ εἰς τὴν γῆν τῆς Ἑλινίας [2]) οἱ μὲν κλητοί, οἱ δὲ ἄκλητοι εἰς πόλιν Τυράννου. Καὶ ἐξελεύσεται ἄνθρωπος ἐκ πολυφόρου ἐπιφερόμενος σημεῖα ἔχων τίτλωμα ἐπὶ τὸν δάκτυλον αὐτοῦ. ἡ λαλιὰ αὐτοῦ ἡδεῖα, ἡ ῥὶς αὐτοῦ ἐπίκυφος, κολοβὸς τῇ στάσει. Τότε αἰφνίδιον ἐξελεύσονται οἱ τῆς αὐτοῦ πόλεως Τυραννίδος καὶ ἐροῦσιν αὐτῷ δι' ἀποκαλύψεως θεοῦ, τὸ δὲ ὄνομα αὐτοῦ ἔσται τὸ τριακοστὸν στοιχεῖον. Ἀναβιβάσαντες δὲ αὐτὸν ἐν ἅρματι καὶ χρίσονται αὐτὸν βασιλέα ὃν ἐδόκουν οἱ ἄνθρωποι ὡς νεκρὸν εἶναι καὶ εἰς οὐδὲν χρησιμεύειν. Καὶ ἐπιθήσει Κύριος ὁ θεὸς τὴν χεῖρα αὐτοῦ ἐπὶ τὴν κορυφὴν αὐτοῦ. ἐξελεύσεται δὲ κατόπισθεν τῶν Ἰσμαηλιτῶν ἐν ὄχλῳ ἱκανῷ καὶ συνάψωσιν πόλεμον ἐν τόπῳ Παρτηνῆς, οἷος [3]) οὐ γέγονεν ἀπὸ καταβολῆς κόσμου ὥστε ἐκ τῶν αἱμάτων τῶν Ἰσμαηλιτῶν καὶ τῶν Ρωμαίων ἵππον ἐπιβατούμενον ἀποθανεῖν. κληθήσεται δὲ ὁ τόπος ἐκεῖνος λάκκος αἵματος. καὶ παραδώσει Κύριος ὁ θεὸς τὸν Ἰσμαὴλ εἰς χεῖρας τῶν Ρωμαίων, καὶ πληρωθήσεται τὸ ῥηθὲν ὑπὸ τοῦ προφήτου· παραδώσει τὸν ἁμαρτωλὸν εἰς χεῖρας ἀσεβῶν. Καὶ στραφεὶς πάλιν ἐκζητήσει τὸ αἷμα αὐτῶν. καὶ μετὰ ταῦτα ἀπολύσει πρέσβεις εἰς τὰ ξανθὰ γένη καὶ ὁμοῦ διώξουσιν τὸν Ἰσμαὴλ εἰς τὰς χώρας [4]) αὐτῶν, καὶ πληρωθήσεται ὅτι λέων καὶ σκύμνος ὁμοῦ διώξουσιν. Καὶ καταλείψας ὁ βασιλεὺς τοὺς

[1]) Cod. ὀλολύζουσιν [2]) Videtur Ἑλληνίας esse. [3]) Cod. οἷα [4]) Cod. χεῖρας.

υἱοὺς Ἄγαρ ἕως τὸ φρέαρ τοῦ Ἰακὼβ καὶ ἐκεῖσε συγκροτήσει πόλεμον ἰσχυρὸν ἀπὸ ὥρας πρώτης ἕως ὥρας ἐννάτης ὥστε ῥυήσεται ἐκ τῶν μηρῶν τῶν ἵππων αἷμα. ἐκεῖ πεσοῦνται οἱ δυνάσται τῶν Ἑλλήνων καὶ κράξονται υἱοὶ Ἰσμαὴλ πρὸς Κύριον δεόμενοι· δὸς ἡμῖν νικᾶν αὐτοὺς ὡς τὸ πρότερον. καὶ οὐ προσθήσει Κύριος τοῦ εἰσακοῦσαι τῆς φωνῆς αὐτῶν. Ἐπιβαλεῖ δὲ ὁ βασιλεὺς τῶν Ῥωμαίων σάκκον καὶ σπάσεται κόνιν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ καὶ βοήσει πρὸς Κύριον· μὴ νικήσῃ ἡ ὀργή σου τὴν βασιλείαν σου, Κύριε, ἤγουν τὴν φιλανθρωπίαν σου ἔκχεον τὴν ῥομφαίαν σου καὶ σύγκλεισον αὐτούς. Καὶ εἰσακούσει Κύριος τῆς φωνῆς αὐτοῦ καὶ συγκόψει τοὺς Ἰσμαηλίτας ὡς ἀγροῦ χόρτον. Τότε γενήσεται λόγος πρὸς τὸν βασιλέα Ῥωμαίων λέγων· υἱὲ ἀνθρώπου, κάλεσαι τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ τὰ θηρία τῆς γῆς καὶ πρότρεψαι αὐτοῖς λέγων. φάγετε σάρκας ἀνθρώπων καὶ πίετε αἷμα ἀσεβῶν διότι θυσίαν μεγάλην θύω σήμερον. Καὶ ἐκδιώξεται ὁ βασιλεὺς τῶν Ῥωμαίων τὸν Ἰσμαὴλ εἰς ἄκραν. εἶτα ἔλθει ὁ βασιλεὺς ἐπὶ τῇ μεγάλῃ Ῥώμῃ εἰς τόπον λεγόμενον χαλκὸν ζόδον ὅ ἐστιν ἐκεῖ ἱστάμενον, καὶ τοῦτο μαστιγώσας μετὰ τὸν φραγέλλιον [1]) αὐτοῦ, καὶ πεσὸν τὸ ζόδον συντριβήσεται ὡσεὶ κονιορτὸς [2]) ὑπὸ ἅλωνος θερίνης. τὸ πνεῦμα τὸ ὂν ἐν ἑαυτῷ ἀποδιδράσκει εἰς τὸ κέρας τοῦ καπεπιλίνου κεἰ θεάσει τὴν πόλιν Ῥωμανοῦ καὶ ἐρεῖ αὐτήν· ἡ θυγάτηρ σου Βύζα ἐμούχευσεν. Καὶ μετὰ ταῦτα ἔλθουσιν [3]) μύριοι ἄρχοντες καὶ προσφέρουσιν αὐτῷ μύρια χρυσίου καὶ ποιήσει ῥῶγας τῷ λαῷ αὐτοῦ. καὶ ἔλθει ἀπὸ Ῥώμης μετὰ ὄχλου πολλοῦ διὰ στερεᾶς καθυποτάσσων τὰ ἔθνη καὶ οὐκ ἔστιν ὁ ἀντησόμενος αὐτοῦ διότι Κύριος ὁ θεός ἐστιν μετ' αὐτοῦ. Καὶ ἀκούσας ὁ βασιλεὺς τοῦ βοῤῥᾶ τὸν βούλιμον [4]) τοῦ βασιλέως ἑπταλόφου καὶ ὁδεύει ὁδὸν αἰχμαλωσίας εἰς τὰ ἐνδότερα τῆς ἀνατολῆς καὶ παιδάριον ἀλλόφυλον ἐν ῥοπαλῷ πλήξει αὐτὸν καὶ ἀπολεῖται κακεῖς (=κακῶς?). Καὶ ἀναστήσεται ἕτερος βασιλεύς, τὸ οὖς αὐτοῦ σημεῖον [5]) καὶ ἐκχέει αἵματα ἁγίων ὡς ὕδωρ καὶ μιανεῖ τὸν λαὸν αὐτοῦ ἐν ἀσελγείαις, ζεύξει ἀδελφὸν μετὰ ἀδελφῆς καὶ ἐνδύσει ὅπλα πολεμικὰ τοὺς ἱερεῖς, καὶ οἱ μεγιστᾶνες αὐτοῦ φεύξονται ἀπ' αὐτοῦ· ἄγγελος

---

[1]) Cod. φραγγέλιον. [2]) Cod. κονιορτής. [3]) Cod. ἔλθοι. [4]) Cod. βουμόν (λ supra lineam).
[5]) Excidisse quaedam videntur.

Κυρίου πατάξει αὐτούς. Καὶ μετὰ ταῦτα ἐπιβῇ ὁ βασιλεὺς τῶν Ῥωμαίων ἐπὶ τὴν πόλιν Βύζα(ν) καὶ ἐν τῷ εἰσέρχεσθαι αὐτὸν ἐρεῖ αὐτήν· δέξαι, ἑπτάλοφε Βαβυλῶν, τὸν ἐκ δυσμῶν ἀνατέλλοντα καὶ περιαστράπτοντα. Οὗτος κοσμήσει αὐτὴν ὡς νύμφην καὶ μετὰ ταῦτα ἐκ βαθύτητα τοῦ στεναγμοῦ ἐρεῖ τῷ λαῷ αὐτοῦ· αὕτη δὲ ἡ πόλις Βύζα; καὶ ἀποκριθεὶς αὐτῷ ἀνήρ τις· αὕτη ἐστὶν ἡ ταλαίπωρος, βασιλεῦ. Τότε ὁ βασιλεὺς κράξεται καὶ βοήσει [1]) μετὰ ὀδυρμοῦ μεγάλου. οὐαί σοι, ἑπτάλοφε, ὅτι καὶ σὺ ἀπὸ ὑδάτων καταποντίζεσαι. τότε ἰχνόποδα ζητήσει [2]) Πέτρου καὶ Παύλου καὶ κατασπασάμενος δώσει αἶνον Κυρίῳ τῷ θεῷ. Κρατήσει δὲ τὸ σκῆπτρον αὐτοῦ ἔτη λβ′ καὶ ἔσται ὁ θυμὸς αὐτοῦ εἰς τοὺς ἀσεβοῦντας ἐπὶ Κύριον τὸν θεόν, καὶ ἔσται εἰρήνη ἐπὶ τῆς γῆς οἵα οὐ γέγονεν ἀπὸ καταβολῆς κόσμου οὐδ᾽ οὐ μὴ γενήσεται μέχρι τέλος. Καὶ προσθήσει ἡ γῆ τοὺς καρποὺς αὐτῆς καὶ φάγονται οἱ ἄνθρωποι τῶν μελῶν [3]) τῆς γῆς καὶ ἐροῦσιν· ἰδού, ἐπεῖδεν τὸν λαὸν αὐτοῦ. Καὶ ἔσονται οἱ μεγιστᾶνες αὐτοῦ ὡς βασιλεῖς καὶ οἱ πτωχοὶ ὡς πλούσιοι. Τότε ἀποστελεῖ ὁ βασιλεὺς ἁπανταχοῦ καὶ συναθροίσει πάντας τοὺς ἁγίους καὶ ἐκδικήσει αἷμα ἀθώων καὶ ὕβριν ἐκκλησιῶν, πιπράσει δὲ ἄρχοντας ἐν δυσὶν ἀργυρίοις καὶ ἀνοικοδωμήσει τοὺς ναοὺς τῶν ἁγίων καὶ τὰ θυσιαστήρια καὶ οὐκ ἔσται [4]) ἢ ἀδικῶν ἢ ἀδικούμενος ἐν τοῖς καιροῖς ἐκείνοις ἐπὶ τῆς βασιλείας αὐτοῦ, καὶ τελευτήσει τὸ σκῆπτρον αὐτοῦ ἐν εἰρήνῃ. καὶ τότε παχυνθήσονται [5]) αἱ καρδίαι τῶν ἀνθρώπων ἐν κραιπάλῃ καὶ μέθῳ, καὶ τότε δώσει ἡ γῆ τοὺς καρποὺς αὐτῆς ἀπέναντι τῶν ἀνθρώπων καὶ ἔσται τὸ χρυσίον ὡσεὶ ὁ κόπρος. Καὶ ἀναστήσεται δὲ ἕτερον σκῆπτρον καὶ ποιμανεῖ τὸν λαὸν αὐτοῦ ἐν εἰρήνῃ. Καὶ τότε ἐπιβλέψει Κύριος ἐν ἀρχῇ ἐπὶ τὴν γῆν καὶ ἐρεῖ τετάρτῳ ἀγγέλῳ. ἐπίθες σφαλάκρωμα αἰσχύνης ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων καὶ πάταξον ἐν στόματι μαχαίρας ἑξακοσίας μυριάδας. Καὶ τότε ἐπιβλέψει Κύριος ἐπὶ τὸν [6]) βορρᾶν καὶ εὐλογήσει αὐτόν, καὶ οἱ νεφροὶ τῆς γῆς σαλευθήσονται καὶ ἀνοιχθήσονται. Ἀπύο-πύλαι καὶ ἐξέλθουσιν ὧν ἀριθμὸς ὡσεὶ ἄμμος θαλάσσης. οὐαί σοι, Βαβυλῶν, ὅτι ἤγγικεν ὁ ἀφανισμός σου. Καὶ

---

[1]) Cod. ἤση [2]) Cod. una vox ἰχνοποδαζητήσει. [3]) Leg. μήλων. [4]) Cod. ἔστιν. [5]) Cod. παχυνθήσεται. [6]) Cod. τήν.

λαβὼν ὁ ἄγγελος ὅπλον ἄρξεται τύπτει(ν) τὴν Βύζαν. Οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις. καὶ σαλευθήσεται ἡ γῆ ἀπὸ προσώπου Κυρίου καὶ οἱ θῆρες τοῦ βοῤῥᾶ κατέδονται τοὺς ἀνθρώπους ὡς χόρτον. Τότε φεύξονται οἱ ἄνθρωποι ἐπὶ τὰς ὀπὰς τῆς γῆς καὶ ἐροῦσιν ἐπάνω τοῖς μνήμασιν πίπτοντες μετὰ δακρύων καὶ λέγοντες· μακάριοι οἱ τεθνηκότες καὶ μὴ καταλαβόντες τοὺς πονηροὺς καιροὺς τούτους οὓς ἡμεῖς θεωροῦμεν οἱ ἄθλιοι. καὶ ἀσπαζόμενοι τὰ ὀστᾶ τῶν ἀνθρώπων καὶ οὕτως θνήξουσιν. Τὰ γὰρ ἔθνη τοῦ βοῤῥᾶ ἐσθίων σάρκας ἀνθρώπων καὶ πίνων αἷμα ὡς ὕδωρ. ἐν ταῖς ἡμέραις ἐκείναις μακάριοι οἱ κατοικοῦντες ἐν ταῖς νήσοις [1]. καὶ κράξονται οἱ ἄνθρωποι μετὰ δακρύων ἐπὶ Κύριον· μὴ καταποντίσῃ ἡμᾶς ἡ ὀργή σου, Κύριε, ἕως τέλος, ὅτι ἐκύκλωσεν ἡμᾶς ἐσχάτη ἄβυσσος τῶν ἁμαρτιῶν μας. σῶσον τὸν λαόν σου, ὁ θεὸς ἡμῶν. Καὶ σπλαγχνισθεὶς ὁ Κύριος ἐπὶ τοῖς δάκρυσιν αὐτῶν ἐρεῖ τῷ ἀγγέλῳ· ἆρον τὴν ὀδύνην ἐπὶ τῆς γῆς ἕως καιρῶν τινων. καὶ συντρίψει ὁ ἄγγελος τὴν παρεμβολὴν [2]) ταύτην ὡσεὶ χνούς. Ἀναστήσεται δὲ ἕτερος καὶ ἀπέλθει ἀπέναντι τῆς ἑ(πτα)λόφου καὶ βοήσει πρὸς αὐτὴν μετὰ θρήνου μεγάλου· ὦ πόλις μεγάλη, ἡ τοσούτους βασιλεῖς θρεψαμένη ἐν χρυσίῳ καὶ ἀργυρίῳ καὶ μαργαρίταις [3]) καὶ Κύριον τὸν θεὸν παροργίσασα! ἰδού, ἔρημος διαμένεις, οἱ πλωτῆρές σου ἐκ βάθους στενάξουσιν διά σε. Καὶ μετὰ ταῦτα ἐπελεύσεται ὁ βασιλεὺς τῶν Ρωμαίων καὶ κατοικήσει ἐν Ἱερουσαλὴμ ἑβδομάδι χρόνον, καὶ ταραχθήσονται αἱ χῶραι πᾶσαι καὶ ἀναστήσονται τύραννοι πλεῖστοι ἐν πάσῃ πόλει καὶ χώρᾳ, ἔσονται ἐν παντὶ τόπῳ πόλεμοι καὶ κεραυνοὶ καὶ σεισμοὶ καὶ λοιμοὶ εἰς τὸ ὀλιγωθῆναι τὴν ἀνθρωπότηταν. ἔσονται αἱ γυναῖκες χηρεύουσαι καὶ ἑπτὰ γυναῖκες ἄνδραν ἕν(=ἕνα) ἐπιθυμήσουσιν ἰδεῖν θέαν ἀνδρός. καὶ μετὰ τὸ πληρωθῆναι τὸν δωδέκατον χρόνον καὶ ἥμισυ φανήσεται ὁ υἱὸς τῆς ἀπωλείας. Οὗτος γὰρ γεννᾶται εἰς χωρίον Ζὴμ καὶ ἀναθρέψεται [4]) εἰς Βυθσαιδὰ καὶ κατοικήσει εἰς Καπερναοὺμ διότι ἐβασίλευσεν ἐν ἑαυτῇ. Ἐν ταῖς ἡμέραις ἐκείναις ἀναβήσεται ὁ βασιλεὺς τῶν Ρωμαίων καὶ προσεύξεται πρὸς Κύριον καὶ πε-

---

[1]) Cod. νήσαις [2]) Cod. παραβολήν [3]) Cod. ἐν χρυσίου καὶ ἀργυρίου καὶ μαργαρίτας. [4]) Cod. ἀναστρέφεται

τάσει τὰς χεῖρας ἐπάνω τοῦ οὐρανοῦ. καὶ κατέλθει Μιχαὴλ ὁ ἀρχάγγελος καὶ ἀρεῖ [1]) τὸ στέμμα αὐτοῦ σὺν τῷ ξύλῳ τοῦ σταυροῦ ἐν ᾧ ἐτανύ(σ)θη ὁ Μεσσίας, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός. τότε παραδώσει ὁ βασιλεὺς τῶν Ρωμαίων τὴν βασιλείαν τῷ θεῷ καὶ πατρί. Καὶ τότε φανήσεται ὁ υἱὸς τῆς ἀπωλείας ποιῶν σημεῖα φαντασιώδη ἐπὶ τῆς γῆς· τυφλοὶ ἀναβλέψουσιν, χωλοὶ περιπατήσουσιν, λεπροὶ καθαρίζονται, καὶ ταῦτα ἔσονται ψευδοσημεῖα. ἐξελεύσεται (δὲ) εἰς Ἱερουσαλὴμ καὶ καταπατήσει τὸν ναὸν τοῦ θεοῦ καὶ οὕτως ἄνθρωπος ὑπάρχων ἐκ σπέρματος ἀνδρὸς καὶ ἐκ μήτρας γυναικὸς πόρνης ἐκ φυλῆς τοῦ Δάν. Καὶ εὐθὺς ἀποστέλει Κύριος τοὺς θεράποντας αὐτοῦ Ἐνὼχ καὶ Ἡλίαν εἰς ἔλεγχον τοῦ ἀντικειμένου, ἐνώπιον πάντων ἐλέγξουσιν αὐτὸν ὡς ψεύστην καὶ οὐδὲν χρησιμεύοντα, καὶ ἀκούσαντες αὐτοὺς τὰ ἔθνη καὶ καταλιπότες (sic) αὐτόν. τότε ὀργισθεὶς ὁ υἱὸς τῆς ἀπωλείας ἀνελεῖ τοὺς ἁγίους ἐκείνους μαχαίρᾳ. Τότε ἀφανίσει αὐτὸν Κύριος ἐκ προσώπου τῆς γῆς καὶ λάμψουσιν οἱ δίκαιοι ὡς φωστῆρες. ἐν ταύτῃ τῇ ὥρᾳ μέλλει γενέσθαι ἡ δευτέρα παρουσία καὶ οἱ ἀσεβεῖς ἐκβάλλουσιν (sic) εἰς τὸ σκότος τὸ ἐξώτερον ἐξ ὧν ῥυσθείημεν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου υἱοῦ, τοῦ Κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα.

γ. Ἡ ἐσχάτη ὅρασις τοῦ Δανιήλ [2]).

Τάδε λέγει Κύριος παντοκράτωρ· οὐαί σοι, ἡ [3]) γῆ, ὅταν τὸ τῶν ἀγγέλων σκῆπτρον [4]) βασιλεύσῃ ἐν σοί. τότε ἐρεῖ Κύριος παντοκράτωρ ἑνὶ τῶν ἀγγέλων αὐτοῦ λέγων [5])· κάτελθε καὶ ἆρον τὴν ἀλήθειαν καὶ τὴν εἰρήνην ἀπὸ τῆς γῆς καὶ ποίησον ἵνα φάγωσιν οἱ ἄνθρωποι ἀλλήλων τὰς σάρκας αὐτῶν [6]), καὶ ἀπόστειλον [7]) καὶ ἄλλους ἀγγέλους. τὸν μὲν ἕνα εἰπέ· κάτελθε ἐπὶ τὰ περιβόλαια καὶ ἐπὶ τὰς νήσους καὶ σφράγισόν μοι χίλια ἑκατὸν μ' [8]), τὸ μὲν δίμοιρον ῥῖψον τὸ δὲ [9]) τρίτον ἔασον. καὶ τὸν δεύτερον εἰπέ· κάτελθε ἐπὶ τὰ δυτικὰ [10]) μέρη καὶ σφράγισόν μοι

---

[1]) Cod. ἄρρη. [2]) Titulum dedi e cod. Vindobonensi philos. 211, hodie 58 (Lambec. 138), unde varias exscripsi lectiones. [3]) ἡ omis. [4]) τῶν ἀγ. τὸ σκ. [5]) αὐτοῦ λέγων noster omisit. [6]) τὰς σ. αὐτῶν ἀλλήλων. [7]) ἐξαπόστειλον (καὶ abest). [8]) χιλιάδας ἑκατὸν τεσσαράκοντα. [9]) καὶ τό. [10]) δυσικά.

διακόσια χίλια. [1]) τὸ μὲν δίμοιρον ῥῖψον καὶ τὸ τρίτον ἔασον. καὶ τὸν τρίτον ἄγγελον εἰπέ· κάτελθε ἐπὶ Ἀσίαν, Φρυγίαν, Γαλατίαν, Καππαδοκίαν, Συρίαν καὶ εἰς αὐτὴν τὴν μητέρα τῶν πόλεων καὶ σφράγισόν μοι χίλια τριακόσια ἑξήκοντα [2]). τὸ μὲν δίμοιρον ῥῖψον τὸ δὲ [3]) τρίτον ἔασον. Καὶ οὐαί σοι, ἡ γῆ ἐκ τῶν βασάνων, ὧν μέλλει ἐξαποστεῖλαι Κύριος παντοκράτωρ ἐπί σε ἀκρίδας ἀγρίας καὶ ἀναιμάκτους [4]) μέλλει πέμψειν [5]) ἐπί σε καὶ οὔτε ζῶον ἢ δένδρον μέλλουσιν ἅψασθαι εἰ μὴ ἐπὶ τοὺς μετανοήσαντας διὰ τὰς πολλὰς αὐτῶν ἀδικίας καὶ ἀνομίας [6]) καὶ [7]) μαστιγώσουσιν αὐτοὺς [8]) μῆνας ιη' ἕως οὗ ἀπελθόντες μακαρίσουσιν τοὺς τεθαμμένους καὶ εἴπωσιν· μακάριοί ἐστε ὅτι οὐκ ἐτύχετε ἐν ταῖς ἡμέραις ταύταις. καὶ ἐκ προστάγματος [9]) θεοῦ ἀναβήσεται πῦρ ἐκ τῆς θαλάσσης καὶ ἡ ζῶσα ἀνοικοδομήσει τὴν θάλασσαν καὶ ἐπιβήσεται ἐπὶ τὴν ἑπτάλοφον καὶ στρέψει τὸ πρόσωπον αὐτῆς ἐπὶ τὴν δύσιν τοῦ ἡλίου. καὶ οὐαί σοι, ἑπτάλοφε, ἐκ τῆς τοιαύτης ὀργῆς ὅταν κυκλωθεὶς ὑπὸ στρατοπέδων πολλῶν [10]) καὶ κυριευθεὶς ὡς διὰ μικροῦ προστάγματος [11]) καὶ τὰ ὡραῖά σου τείχη πεσοῦνται ὡς συκιήλατα [12]) καὶ πατήσει τὸ μειράκιον ἐπί σε, ἑπτάλοφε [13]) ἐλεεινή, τὸ σκῆπτρον θήσει καὶ ἐν αὐτῷ οὐ μένει καὶ βάλει τὰς χεῖρας αὐτοῦ εἰς τὰ ἅγια τοῦ θεοῦ θυσιαστήρια καὶ [14]) τὰ ἅγια ἀποχρήσουσιν καὶ δώσουσι τοὺς υἱοὺς [15]) τῆς ἀπωλείας. καὶ ἐγερθήσεται ὄφις ὁ κοιμώμενος καὶ πατάξει τὸ μειράκιον, τὸ δὲ διάδημα αὐτοῦ ἀνακολπωσάμενος μεγαλυνθήσεται τὸ ὄνομα αὐτοῦ πρὸ μικροῦ, οἱ δὲ υἱοὶ τῆς ἀπωλείας στηρίξαντες δώσουσιν τὰ πρόσωπα αὐτῶν ἐπὶ τὴν δύσιν τοῦ ἡλίου καὶ οὕτως δώσει ὁ ὄφις ὁ κοιμώμενος θάνατον ὅσιον καὶ κρατήσει ἐπὶ τὴν ἑπτάλοφον τὸ ξανθὸν ἔθνος [16]) ἔτη ἓξ καὶ πέντε. καὶ φυτευθήσονται ἐπ' αὐτὴν [17]) λάχανα καὶ φάγωσιν ἐξ αὐτῶν πολλοὶ εἰς ἐκδίκησιν τῶν ἁγίων. κρατήσουσι [18]) δὲ ἐπὶ τὴν ἀνατολὴν

---

[1]) χιλιάδας διακοσίας, addidi ego χίλια quod excidit in nostro. [2]) χιλιάδας τριακοσίας ἑξήντα. [3]) καὶ τό. [4]) Noster ἀναιμάτους. [5]) πέμψαι. [6]) ἀνομίας αὐτῶν καὶ ἀδικίας. [7]) καὶ omis. noster. [8]) ἑαυτούς. [9]) ἐν προστάγματι. [10]) τοῦ στρατοπέδου αὐτοῦ. [11]) πράγματος. [12]) συκιηλάτω. [13]) ἑπτάλοφε abest in nostro. [14]) Repetit noster ἐν αὐτῷ οὐ μὴ μείνει quae omisi. [15]) Leg. τοῖς υἱοῖς ut saepissime accus. pro dat. in media graecitate. [16]) γένος. [17]) ἐν αὐτῇ. [18]) κρατήσωσιν.

προνοηταὶ δύο [1]) καὶ ἐνδύσει ὁ δεῖνα ὁ προνοητεύων ἐν τῇ ἀνατολῇ καὶ ἐντεῦθεν ἐγερθήσεται αὐτόνομος καὶ μετ' αὐτῶν ἕτερος λύκος ἀγριοειδὴς καὶ δείρουσι τοὺς Ἰσμαηλίτας καὶ διώξουσιν [2]) αὐτοὺς ἕως κολωνίας. Τότε ταραχθήσονται ἔθνη τὰ καθήμενα ἐπὶ τὰ βόρεια μέρη [3]) τὰ αἱμοβόρεια [4]) καὶ καταβήσονται μετὰ θυμοῦ ἕως τοῦ μεγάλου ποταμοῦ [5]) καὶ χωρισθήσονται εἰς τέσσαρας ἀρχὰς καὶ ἡ μὲν πρώτη χειμάσει εἰς τὴν Ἔφεσον, ἡ δευτέρα εἰς τὰ Μαλάγηνα [6]), ἡ δὲ τρίτη ἐν Ἄκρα-Κάμπου ἤτοι εἰς τὴν [7]) Πέργαμον, ἡ δὲ τετάρτη εἰς Βιθυνίαν καὶ σωρεύσουσιν [8]) ξύλα πολλὰ καὶ καταπατήσουσιν αὐτὴν εἰς ὄρεια. Τότε ταραχθήσεται ἔθνη [9]) τὰ καθήμενα ἐπὶ νώτου γωνίας καὶ ἐγερθήσεται καὶ ὁ μέγας Φίλιππος μετὰ γλωσσῶν ιη', καὶ συναχθήσονται ἐπὶ τὴν ἑπτάλοφον [10]) καὶ συγκροτήσουσιν πόλεμον οἷος οὐ γέγονέν ποτε [11]) καὶ δράμωσιν εἰς τοὺς ἐμβολοὺς [12]) καὶ εἰς τὰς ῥίμνας τῆς ἑπταλόφου [13]) ὡς οἱ ποταμοὶ τὰ αἵματα τῶν ἀνθρώπων καὶ θολωθήσεται ἡ θάλασσα αἵματος ἕως τὰ στενὰ τῆς Ἀβύδου. τότε βοῦς βοήσει καὶ ξηρόλαφος θρηνήσει καὶ τὸ σταθῶριν εἴπει· στάμαν, εἰρήνη ὑμῖν ἡ ἐκδίκησις αὕτη [14]), ἀπέλθατε ἐπὶ τὰ δεξιὰ μέρη [15]) τῆς ἑπταλόφου καὶ [16]) εὑρήσετε ἄνθρωπον ἐπὶ δύο κίονας ἱστάμενον [17]) συγκατηφῆ, πολιόν, δίκαιον, ἐλεήμονα, φορῶν πενιχρά, τῇ ὄψει αὐστηρὸν τῇ δὲ γνώμῃ πραΰν, μεστὸν τῇ ἡλικίᾳ, ἔχοντα ἐπὶ τὸν δεξιὸν πόδα μέσον τοῦ καλάμου ἧλον [18]). λάβετε αὐτὸν καὶ στέψατε βασιλέα. Καὶ λαβόντες αὐτὸν τέσσαρεις [19]) ἄγγελοι ζωηφόροι [20]) εἰσενέγκαντες αὐτὸν εἰς τὴν ἁγίαν Σοφίαν στέψουσιν [21]) αὐτὸν βασιλέα καὶ δίδουσιν [22]) εἰς τὴν δεξιὰν αὐτοῦ χεῖρα [23]) ῥομφαίαν λέγοντες αὐτόν. ἀνδρίζου καὶ ἴσχυε [24]) καὶ νίκα τοὺς ἐχθρούς σου. καὶ [25]) αὐτὸς ἄρας τὴν ῥομφαίαν ἀπὸ τῶν ἀγγέλων πατάξει [26]) τοὺς Ἰσμαηλίτας, Αἰθίωπας,

---

[1]) τρεῖς. [2]) ἐκδιώξουσιν. [3]) Noster μέσον. [4]) αἱμοβόρρα. [5]) καὶ κινήσουσιν μετὰ δριμυτάτου θυμοῦ καὶ καταβήσονται ἕως τὸν μέγαν ποταμόν. [6]) Μαλάχηνα. [7]) Noster γῆν. [8]) πορεύσουσιν· [9]) ταραχθήσονται τά. [10]) ἐν τῇ ἑπταλόφῳ. [11]) πώποτε. [12]) τὰς ἐμβούλους. [13]) τῆς πόλεως. [14]) σταθῶριν ἐπιμεῖναι. ἀρκεῖ ὑμῖν ἡ ἐκδίκησις αὕτη ἐπὶ τοὺς ἀνηκόους. [15]) ἀπέλθατε ἐ. τ. δ. μ. **noster praetermisit.** [16]) καὶ **noster om.** [17]) ἐπὶ δύο κ. ἱστάμενον ἄνθρ. [18]) τύλον. [19]) τέσσαροι. [20]) πυρφόροι. [21]) Noster στέφουσιν. [22]) δίδωσιν. [23]) αὐτὸν εἰς τὴν δ. χ. [24]) καὶ ἴσχυε **noster omisit.** [25]) εἶτα. [26]) ἐκ τῶν ἀγ.ὑποτάξει.

Φράγκους, Τατάρους [1]) καὶ πᾶσαν γενεάν. καὶ τοὺς μὲν Ἰσμαηλίτας μερίσει εἰς τρία· τὴν μὲν πρώτην πατάξει ῥομφαίᾳ, τὴν δευτέραν [2]) βαπτίσει καὶ τὴν τρίτην ἐκδιώξει μετὰ μεγάλου θυμοῦ ἕως τοῦ Μονοδενδρίου [3]) καὶ ἐν τῷ ἐπαναστρέφεσθαι [4]) αὐτὸν ἀνοιχθήσονται οἱ θησαυροὶ τῆς γῆς καὶ πάντες πλουτήσουσι [5]) καὶ οὐδεὶς ἔσται πένης, καὶ ἡ γῆ δώσει [6]) τὸν καρπὸν αὐτῆς ἑπταπλασίονα καὶ τὰ ὅπλα τὰ πολεμικὰ γενήσονται εἰς δρέπανα, καὶ βασιλεύσει ἔτη τριάκοντα δύο καὶ μετ' αὐτοῦ βασιλεύσει ἕτερος ἐξ αὐτοῦ ἔτη ιβ'. καὶ οὗτος προιδὼν τὸν θάνατον αὐτοῦ πορευθήσεται εἰς τὰ [7]) Ἱεροσόλυμα ἵνα παραδώσῃ αὐτοῦ τὴν βασιλείαν τῷ θεῷ [8]). Καὶ ἔκτοτε βασιλεύσουσιν οἱ τέσσαρεις υἱοί· ὁ μὲν πρῶτος ἐν Ῥώμῃ, ὁ δεύτερος ἐν Ἀλεξανδρείᾳ, ὁ τρίτος ἐν ἑπταλόφῳ καὶ ὁ τέταρτος ἐν Θεσσαλωνίκῃ. καὶ οὗτοι ἀλληλομαχήσαντες στρατοπεδεύσουσιν [9]) καὶ τοὺς ἱερεῖς καὶ τοὺς μοναχοὺς συνενώσουσι [10]) καὶ συγκροτήσουσι πόλεμον ἀλλήλων καὶ οὐδεὶς ἐξ αὐτῶν σωθήσεται. καὶ ἐν τῷ μὴ εἶναι ἄνδρα χρήσιμον βασιλεύσει γύναιον μιαρὸν ἐν τῇ ἑπταλόφῳ [11]) καὶ μιάνει (=μιανεῖ) τὰ ἅγια θυσιαστήρια τοῦ θεοῦ [12]) καὶ σταθεῖσα ἐν μέσῳ τῆς ἑπταλόφου [13]) κράξει μεγάλῃ φωνῇ λέγουσα. τίς θεὸς πλὴν ἐμοῦ [14]) καὶ τίς δύναται ἀντιστῆναι τὴν ἐμὴν βασιλείαν; [15]) καὶ εὐθὺς σεισθήσεται [16]) ἡ ἑπτάλοφος καὶ καταποντισθήσεται σύμψυχος ἐν βυθῷ καὶ μόνος ὁ ξηρόλαφος ἔσται φαινόμενος, καὶ τὰ διαβαινόμενα πλοῖα μέλλουσι θρηνεῖν εἰς τὴν ἑπτάλοφον [17]). Καὶ οὕτω βασιλεύσει ἕτερος ἐν Θεσσαλωνίκῃ ἐπὶ χρόνων μικρῶν [18]) καὶ εὐθὺς καταποντισθήσεται [19]) Σμύρνη καὶ ἡ Κύπρος καὶ αὐτὴ καταποντισθήσεται. Καὶ οὕτω βασιλεύσει ὁ ἀντίχριστος καὶ πράξει θαύματα καὶ παράδοξα πράγματα καὶ μεγαλύνει τοὺς ἰουδαίους καὶ τὸν κατασκαμμένον ἀνοικοδομήσει ναόν, καὶ γενήσονται

---

[1]) Add. Ἀσσάρους. [2]) ἑτέραν. [3]) Μονοδένδρου. [4]) ὑποστρέφεσθαι. [5]) καὶ π. πλ. omisit noster. [6]) ἀποδώσει. [7]) τὰ noster om. [8]) Add. καὶ πατρί. [9]) στρατοπεδεύσωσι. [10]) συνενώσει quod eorrexi (in nostro excidit). [11]) γ. πονηρότατον εἰς τὴν ἑπτάλοφον. [12]) σκεύη τοῦ θεοῦ καὶ τὰ θυσ. τοῦ ναοῦ. [13]) ἐν μέσῳ ἐν προσώπῳ ἑπταλόφου. [14]) τίς θεὸς καὶ τίς ὡς ἐμέ. [15]) ἀντ. μου τὴν βασ. [16]) συστήσεται [17]) θρηνεῖν τὴν ἑπτάλοφον τὴν θαυμαστήν. [18]) An χρόνον μικρόν? [19]) καταπ. καὶ αὐτή, καὶ μετὰ ταῦτα καταποντισθήσεται καὶ ἡ Κύπρος καὶ ἡ Σμύρνη ὑπὸ ἀνέμου στροβίλου καὶ θαλάσσης (reliqua desunt).

λιμοί, σεισμοί, καταποντισμοὶ ἐπὶ πᾶσαν χώραν καὶ τὰ ὕδατα ἀποφρύξουσι καὶ ὑετὸς ἐπὶ γῆς οὐ δοθήσεται καὶ κρατήσει ὁ τρισκατάρατος δαίμων ἔτη τρία. Τότε ὁ χρόνος ὡς μὴν διαβήσεται καὶ ὁ μὴν ὡς ἑβδομάς, ἡ ἑβδομὰς ὡς ἡμέρα καὶ ἡ ἡμέρα ὡς ὥρα καὶ ἡ ὥρα ὡς στιγμὴ διὰ τοὺς ἐκλεκτοὺς τοῦ θεοῦ δούλους. Μετὰ δὲ τὴν συμπλήρωσιν τῶν τριῶν χρόνων βρέξει ὁ θεὸς πῦρ ἐπὶ τῆς γῆς καὶ κατακαεῖ ἡ γῆ πῆχας τριάκοντα. τότε βοήσει ἡ γῆ πρὸς τὸν οὐρανόν· παρθένος εἰμί, Κύριε, ἐνώπιόν σου. τότε οἱ οὐρανοὶ ὡς χαρτίον ἐνειληθήσονται καὶ οἱ ἄγγελοι τοῦ θεοῦ τὰς σάλπιγγας δώσουσιν, καὶ οἱ ἀπ' αἰῶνος νεκροὶ ἀναστήσονται καὶ οἱ μὲν δίκαιοι κληρονομήσουσι τὸν παράδεισον, οἱ δὲ ἁμαρτωλοὶ τὴν αἰώνιον κόλασιν, ἧς γένοιτο ῥυσθῆναι ἡμᾶς, προσκυνεῖν δὲ πατέρα καὶ υἱὸν (καὶ) ἅγιον πνεῦμα, τριάδα ὁμοούσιον καὶ ἀχώριστον εἰς τοὺς συμπάντας αἰῶνας, ἀμήν.

---

6. Пророчества о судьбахъ Византіи.

α. Anonymi de rebus Byzantinis vaticinium.

...(τ)οῦ σιδήρου (sic) ποταμοῦ καὶ ἐκ τῶν ὀρέων Ταρασίου καὶ Ἀκεντίνου τὸ μέσασμα καὶ μέρος τοῦ Ἄῤῥα, εἰς δὲ τὰ ἔσχατα σωθήσεται μέρος τῶν ὀρέων τοῦ Δραγανοῦ καὶ τὰ ὄρη τοῦ Βαβὰ καὶ τοῦ Καταβάτρα καὶ τὰ ὄρη τῆς Δαρείτης καὶ Φαζικτείτης τὸ παραβόλαιον Τηρδανῶν ἀσθενήσουσιν ἐκ τῶν κακῶν αὐτῶν, καὶ διασωθήσεται παράλαιος [1]) τῆς Ἀμάστρεως ἡ Οὐνούπολις. καὶ παραδοθήσονται πόλεις καὶ κάστρα καὶ ἀσθενήσει θάλασσα τῆς Κύπρου καὶ πελάγια Χίου καὶ Ἀβύδου [2]), κορυφωθήσεται θάλασσα τοῦ Πόντου καὶ ἐν λύπῃ γενήσεται Κωνσταντινούπολις, καὶ εἰ μὴ Κύριος Σαβαὼθ οἰκτειρήσει πάντες ἀσθενήσουσιν καὶ τραυματισθήσονται. Τότε ἐκλείψει γνῶσις ἀπὸ τῆς γῆς καὶ φόβος θεοῦ ἀπὸ τῶν ἀνθρώπων καὶ ἀσθενήσουσι δυνατοὶ καὶ λαοὶ ἐλάσσοι ἐπαναστήσονται τοὺς ἄρχοντας αὐτῶν καὶ κυριεύσουσιν

---

[1]) Leg. παράλιος. [2]) Cod. Ἀβίνδου.

αὐτῶν. τότε ταπεινωθήσονται οἱ εὐνοῦχοι καὶ διασπαρήσονται καὶ κράξονται πρὸς Κύριον καὶ ἐλεηθήσονται, ὅτι ἐγώ εἰμι εἷς Κύριος. Οὐαί σοι, ἑπτάλοφε Βαβυλών, ὅταν χήρα βασιλεύσῃ ἐπί σοι. οὐαί σοι, χώρα τῶν Ἑλλήνων ἤτοι Ρωμανία, ὅταν τὴν αὐτὴν ὡραίαν καὶ περικαλλήν σου βασιλείαν εὐνοῦχοι παρασυμβουλεύσουσιν. τότε Σικελία ὀρυήσεται ὡς ἔλαφος καὶ κλινεῖ τὰ κέρατα αὐτῆς κατὴν ὁδὸν τῆς θαλάσσης τοῦ μὴ ὁδεύεσθαι πλοῖα Χαλκηδόνος, ἡ Ρώμη βρύξει ὡς λέαινα καὶ ἐκτενεῖ τοὺς ὀφθαλμοὺς αὐτῆς κατὰ τὴν χώραν τῆς Αἰθιωπίας. Αἰθιωπία ταραχθήσεται ὡς μύρμηξ καὶ σαλεύσει τοὺς πόδας κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ Κυρίου διὰ τοῦ προφήτου λέγοντος· Αἰθιωπία προφθάσει χεῖρα αὐτῆς τῷ θεῷ καὶ ὑμεῖς Αἰθίωπες τραυματίαις Αἰθιωπῶν ῥομφαίαν (sic) ἐστὲ εἰς δίκησιν τῶν υἱῶν Ἰσραήλ. Συρία τότε μέγα γελάσει, καὶ κροτήσουσι χεῖρας αὐτῶν καὶ στιλβώσουσι τὰς ῥομφαίας αὐτῶν τοῦ καταπατῆσαι χώραν τῶν Ἑλλήνων καὶ ἐκχέειν αἷμα δυναστῶν ἐν τοῖς ὄρεσιν αὐτῶν καὶ ἔσται οὐαὶ ἐπὶ πάντα τὰ ὀχυρώματα αὐτῶν. συντελεία ἐπὶ ἀσεβεῖς ἥξει ἐξ ἀνθεστηκότων προσώπων αὐτῶν καὶ συνάξει ὡς ἄμμον αἰχμαλωσίαν. ἐπὶ δὲ τῆς αὐτῆς ἱππασίας στρατοπεδεύσει ὁ θηρευτὴς Ἰσμαὴλ καὶ εἰσελεύσεται εἰς πάντα τὰ ὑποστηρίγματα τῆς θρηνίας καὶ κρούσει ἕως Χαλκηδόνος καὶ δεσμεύσει τοὺς μεγιστάνους αὐτῆς καὶ ἐν καιρῷ σπορᾶς συνθήκας θήσουσιν ὁ βασιλεὺς τοῦ Ἰσμαὴλ μετὰ τοῦ βασιλέως τῆς Ἑπταλόφου ἐπὶ καιρὸν καὶ ἥμισυ καιροῦ καὶ οὐ σταθήσονται ἀπολέσαι αὐτοὺς ὄλεθρον. κρατήσει δὲ τὸ κέρας τῆς πορφύρας ἔτη νβ', τελεσθέντι τῷ λβ' ἑβδοματικοῦ τοῦ ἑβδόμου χρόνου ἰνδικτιῶνος ιβ' τότε ταραχθήσεται [1]) Σκυθία καὶ ἐξαναστήσεται αἰφνίδιος βασιλεὺς δίκαιος ἀφωμοιωμένος τῷ υἱῷ τοῦ θεοῦ, οὗ γράμμα τοῦ ὀνόματος αὐτοῦ. [2]) καὶ προσκαλέσεται τὴν Ἰνδίαν καὶ καριὸν [3]) συμπαραλάβει αὐτήν. ἔστι δὲ καὶ ἡ χώρα μεγάλη καὶ ἀβασίλευτος. καὶ ἐξελεύσεται διὰ τῆς θαλάσσης τῆς μεγάλης Αἰθιωπίας, συμπαραλάβει δὲ Αἴγυπτον καὶ Ἀφρικὴν καὶ ἐξελεύσεται εἰς τὰ ὄρη τῆς Συρίας ποιῶν πολέμους μεγάλους καὶ ἰσχυροὺς καὶ περάσει τὸν Ἰορδάνην καὶ εἰσελεύσεται εἰς τὸ φρέαρ τοῦ ὅρκου ποιῶν πολέμους μετὰ

---

[1]) Cod. ταραχθήσονται. [2]) Evanuit quoddam signum. [3]) Lectio incerta.

τῶν υἱῶν Ἰσμαὴλ καὶ συγκόψει αὐτοὺς ἐν τῇ ἐπιφανεῖ δόξῃ αὐτοῦ καὶ ποιήσει πολέμους ὀκτώ. ὅταν δὲ εἰσελεύσεται μέσον Τύρου καὶ Ἀδάνης ὅπου ἐπολέμησεν Ἰησοῦς ὁ τοῦ Ναυί, ἐκεῖ γὰρ ὥρισε Κύριος ὁ θεὸς συντριβῆναι καὶ ἀποδοθῆναι τοῖς υἱοῖς Ἰσμαὴλ ἀντὶ τῶν αἱμάτων ὧν ἐξέχεαν ἐν τῇ χώρᾳ τῶν χριστιανῶν, ἐκχυθήσεται τὸ αἷμα αὐτῶν ὡσεὶ ὕδωρ καὶ αἱ σάρκες αὐτῶν ὡς βολβίτις. καὶ συναχθήσονται οἱ υἱοὶ Ἰσμαὴλ ἐκ πασῶν τῶν πόλεων αὐτῶν εἰς ἕνα τόπον, ὅστις δύναται ῥάβδον ἆραι ἐκεῖ ἀπελεύσεται. ἔστι δὲ τὸ ὄνομα τοῦ τόπου ἐκείνου Γογώδης. Καὶ συγκροτήσει πόλεμον μετ' αὐτοὺς μέγαν καὶ ἰσχυρὸν ἀρχόμενον ἀπὸ ὥρας πρώτης ἕως ὥρας ἐννάτης, εἷς τὸν ἕνα μὴ ὑπερνικήσει. πεσοῦνται δὲ ἐκ δύο μερῶν λαοὶ πολλοὶ ὥστε καὶ οἱ πίξοι τῶν ἵππων πλησθήσονται τοῦ αἵματος. Καὶ κράξονται οἱ υἱοὶ Ἰσμαὴλ λέγοντες· δὸς ἡμῖν νικᾶν αὐτοὺς ὡς τὸ πρότερον, καὶ οὐκ εἰσακουσθήσονται. τότε προσεύξεται καὶ ὁ βασιλεὺς ἐκεῖνος ὁ δίκαιος καὶ εἴπει· Κύριε, Κύριε, ἕως πότε οὐκ ἐλεεῖς τὸ αἷμα τῶν χριστιανῶν; καὶ εἰσελεύσεται ἡ προσευχὴ αὐτοῦ εἰς τὰ ὦτα Κυρίου Σαβαώθ, καὶ κατελεύσεται ἄγγελος Κυρίου καὶ πατάξει τὰς φυλὰς τοῦ Ἰσμαὴλ ἑωθινῆς γεναμένης καταδιώξει καὶ ἀπολέσει αὐτοὺς ἕως τῆς ἀρχαίας αὐτῶν πατρίδος τοῦ Αἰθρίβου [1]), καὶ βάλει τὴν ῥομφαίαν αὐτοῦ εἰς τὸ Αἴθριβον καὶ ὑποστρέψας εἰσελεύσεται εἰς τὴν ἁγίαν πόλιν περιβαλλόμενος σάκκον καὶ σποδὸν προσευχόμενος ἐπὶ ἡμέρας ἑπτά. ἀναστήσεται δὲ ὡς ἐξ ὕπνου καὶ οἴνου κραιπαλικός, ἀγαλλιάσεται ὄρος Ἑρμόνων καὶ ὄρη τὰ Θαβώρια. εὐφράνθητι, ὁ θρόνος Ἀντιοχίας καὶ ὄρη Κιλικίας, ὅτι καταστήσει ἐν σοὶ εὐσεβεῖς νόμους καὶ κροτᾷς καὶ ἐξελεύσεται εἰς γῆν Ἑλλήνων ἐν ὀργῇ καὶ θυμῷ ἐπὶ πάντας τοὺς ἡγουμένους αὐτῆς. Καὶ τότε κινηθήσεται ὁ βασιλεὺς καὶ οἱ μεγιστᾶνες αὐτοῦ ἐπί σοι, ἑπτάλοφε, καὶ ἀπελάσουσι λαοὺς μυριάδας καὶ οὓς ἔχουσιν ὑπὸ στρατόπεδον καὶ οὓς οὐκ ἔχουσιν, πάντας ἐνδύσουσιν ὅπλα πολεμικά [2]) καὶ κινήσουσιν λαοὺς μυριάδας ὥστε καὶ τὴν γῆν ἔμπροσθεν αὐτοῦ σαλεύεσθαι. Καὶ τότε συναντήσει βασιλεία ἐπὶ βασιλείαν καὶ ἐκεῖ πεσεῖται ἡ φυλὴ τῶν Ἰσαύρων.

---

[1]) Cod. Αἰθρίβους. [2]) Cod. πολεμικούς.

εὐφράνθητι, ἑπτάλοφε Βαβυλών, ὅτι ἥξει ἐν σοὶ βασιλεὺς ἀπὸ ἀνατολῆς γηραλέος καὶ κατορθώσει πάντα τὰ διῃρημένα σοι καὶ ἀποδώσει πάσας τὰς θυγατέρας σου ἐν εἰρήνῃ καὶ τηρίξει αὐτὰς εἰς εὐσέβειαν, σαλεύσει θρόνους πατριαρχικοὺς καὶ πατέρων ὑψώσει τὸ κέρας. Ἔσται δὲ ὁ θυμὸς τοῦ βασιλέως ἐκείνου ἐπὶ πάντας τοὺς ἀρνησαμένους ἐν εἰκόνι τὸν Κύριον καὶ ἐπὶ πάντας τοὺς ἄρχοντας καὶ ἀποδώσει αὐτοὺς ἀπὸ δηναρίου. γενήσεται δὲ εἰρήνη καὶ ἀγαλλίασις ἐπὶ τὴν γῆν καὶ ἐπὶ πάντας τοὺς κατοικοῦντας αὐτὴν καὶ προσκαλέσεται πάντας τοὺς ἐν κώμαις καὶ δεσμοῖς [1]) καθημένους καὶ ἀποδώσει αὐτοὺς ἕκαστον εἰς τόπον αὐτῶν καὶ τότε ἡ γῆ δώσει τὸν καρπὸν αὐτῆς. ἔσται δὲ εἰρήνη καὶ ἀγαλλίασις ἐπὶ ἔτη λε΄.

β. (Изъ житія Андрея Юродиваго).

Vaticinium de futuris rebus Byzantinis (ex vita sancti Andreae Salo) [2]).

Ἄκουσον δὲ περὶ ἀρχῆς ὀδύνων καὶ περὶ συντελείας τοῦ κόσμου καὶ τῶν λοιπῶν. Ἐν ταῖς ἐσχάταις ἡμέραις ἀναστήσει Κύριος ὁ θεὸς βασιλέαν ἀπὸ πενίας καὶ πορεύσεται ἐν δικαιοσύνῃ πολλῇ καὶ πάντα πόλεμον παύσει καὶ ἔσται ὡς ἐπὶ τῷ Νῶε τὰ ἔτη. οὐ μέντοι κατὰ τὰς ἐκείνων πονηρίας, ἀλλὰ κατὰ τῆς αἰνέσεως οὕτως παρεικάσαι· ἔσονται γὰρ οἱ ἄνθρωποι ἐν ταῖς ἡμέραις αὐτοῦ πλούσιοι σφόδρα καὶ ἐν εἰρήνῃ ἀπείρῳ τρώγοντες καὶ πίνοντες, γαμοῦντες καὶ ἐγγαμίζοντες καὶ ἐν ἀφοβίᾳ πολέμου πορευόμενοι καὶ ἀμερίμνως τοῖς γηΐνοις ἐπαναχείμενοι, καὶ ἐν τῷ μὴ εἶναι πόλεμον συγκόψουσιν τὰς σπάθας αὐτῶν εἰς δρέπανα καὶ τὰ βέλη καὶ τοὺς κόντους εἰς ζιβύνας καὶ ἐργαλεῖα [3]) γεηπονικὰ δι' ὧν τὴν γῆν ἐργάζονται. Καὶ μετὰ ταῦτα δώσει τὸ πρόσωπον αὐτοῦ ἐπὶ ἀνατολὰς [4]) καὶ ταπεινώσει τοὺς υἱοὺς Ἄγαρ. ὀργισθήσεται

---

[1]) Cod. δεσμούς. [2]) Textus in Actis Sanctorum, tom. VI p. 89 sq. (Corollarium ad diem 28 maii) varias praebet lectiones. [3]) Καὶ τὰ βέλη εἰς κόντους καὶ τὰς ζιβύνας εἰς ἐργαλεῖα. [4]) Ἀνατολάς.

γὰρ αὐτοῦ [1]) ὁ Κύριος διὰ τὴν βλασφημίαν αὐτῶν καὶ διὰ τὸ εἶναι τὸν καρπὸν αὐτῶν χολὴν Σοδόμων καὶ πικρίας Γομόῤῥας [2]). καὶ διὰ τοῦτο ἀνοίξας ἐπεγείρει [3]) τὸν βασιλέα Ρωμαίων ἐπ' αὐτοὺς καὶ ἐξολοθρεύσει αὐτοὺς καὶ τὰ τέκνα αὐτῶν πυρὶ [4]) ἀναλώσει καὶ αὐτοὶ [5]) οἱ παραδεδομένοι εἰς τὰς χεῖρας αὐτοῦ [6]) πρησμῷ [7]) βιωτάτῳ παραδοθήσονται καὶ ἀποσταθήσεται πάλιν τὸ Ἰλλυρικὸν τῇ βασιλείᾳ [8]) Ρωμαίων. κομίσει δὲ καὶ Αἴγυπτος τὰ πάκτα αὐτῆς. καὶ θήσει τὴν χεῖραν αὐτοῦ τὴν δεξιὰν ἐπὶ τὴν θάλασσαν καὶ ἡμερώσει τὰ ξανθὰ γένη καὶ ταπεινώσει τοὺς ἐχθροὺς αὐτοῦ ὑπὸ τὰς χεῖρας αὐτοῦ [9]) καὶ τὸ σκῆπτρον αὐτοῦ ἔτη λβ' [10]). τῷ δὲ δωδεκάτῳ ἔτει τῆς βασιλείας αὐτοῦ κῆνσον καὶ δώματα οὐ λήψεται [11]), ἀλλὰ στήσει ναοὺς ἁγίους καὶ ἀνοικοδομήσει συντετριμμένα θυσιαστήρια καὶ δίκη οὐκ ἔσται ἔτι οὔτε ὁ ἀδικῶν οὔτε ὁ ἀδικούμενος, φόβῳ γὰρ ποιήσει τοὺς υἱοὺς [12]) τῶν ἀνθρώπων σωφρονεῖν καὶ τοὺς παρανομοῦντας τῶν μεγιστάνων ταπεινώσει. ἐν τοῖς καιροῖς γὰρ ἐκείνοις πᾶς χρυσὸς ὅς ἐστιν ἐν οἱῳδήποτε τόπῳ κρυπτόμενος νεύσεϊ θεοῦ ἀποκαλυφθήσεται τῇ βασιλείᾳ αὐτοῦ καὶ πτύῳ αὐτὸς [13]) σκορπίσει πάσῃ τῇ πολιτείᾳ αὐτοῦ. καὶ πλουτήσουσιν οἱ μεγιστᾶνες αὐτοῦ καὶ ἔσονται ὡς βασιλεῖς καὶ οἱ πένητες ἔσονται ὡς οἱ ἄρχοντες καὶ ἔσται αὐτῷ ζῆλος μέγας καὶ τοὺς Ἰουδαίους καταδιώξει καὶ ἐν τῇ πόλει ταύτῃ Ἰσμαηλίτης οὐχ εὑρεθήσεται καὶ αὐτὸς δήσει [14]) μεγάλως τὴν πόλιν, καὶ οὐκ ἔστι ὁ λυρίζων ἢ ὁ κιθαρίζων ἢ ὁ τραγῳδῶν ἤ τι αἰσχρὸν πρᾶγμα ἐργαζόμενος, πάντας γὰρ τοὺς τοιούτους μισήσει καὶ ἐξολοθρεύσει ἐκ πόλεως Κυρίου. καὶ ἔσται πολλὴ χαρὰ καὶ ἀγαλλίασις καὶ ἀγαθὰ ἀπὸ τῆς γῆς καὶ ἀπὸ τῆς θαλάσσης ἀνατελεῖ πλούσια [15]) καὶ ἔσται ὃν τρόπον ἦσαν ἐπὶ τοῦ Νῶε ἐν ἀμεριμνίᾳ [16]) εὐφραινόμενοι μέχρις οὗ ἦλθεν ὁ κατακλυσμός. Παρελθόντος δὲ τοῦ σκήπτρου τούτου [17]) ἀναστήσεται ἀρχὴ ὀδύνων. τότε ἐγερθήσεται Αἴγληχός τις [18]), ὁ υἱὸς τῆς ἀνομίας καὶ βασιλεύσει ἐν τῇ πόλει ταύτῃ ἔτη τρία ἥμισυ καὶ ποιήσει ἀνομίαν

---

[1]) αὐτοῦ om. [2]) Γομόῤῥων. [3]) νύξας ἐγερεῖ. [4]) Cod. περί. [5]) Cod. αὐτῶν. [6]) Cod. αὐτῶν. [7]) ἐμπρησμῷ. [8]) Cod. ἀπὸ τῶν Λυρικῶν τὴν βασιλείαν. [9]) Cod. αὐτῶν. [10]) ἔσται τριάκοντα δύο ἔτη. [11]) Cod. λήτονται. [12]) τοῖς υἱοῖς. [13]) αὐτόν. [14]) φοβήσει. [15]) Cod. πλούσιαν. [16]) Cod. ἐρημίᾳ. [17]) ἐκείνου. [18]) Ἀ. τις om.

γενέσθαι οἷα οὐ γέγονεν ἀπ' ἀρχῆς κόσμου οὐδὲ [1]) γενήσεται· καθεσθεὶς γὰρ δοματίσει τοιαῦτα ὅπως μίγνυται πατὴρ θυγατρὶ καὶ υἱὸς μητρὶ [2]) καὶ ἀδελφὸς ἀδελφῇ, εἰ δὲ μή, ὁ ἀνταίρων θανάτῳ ἀποθανεῖται [3]), καὶ ὁ τοιοῦτος σὺν τῷ Προδρόμῳ Ἰωάννῃ καταγήσεται [4]) ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως. Τότε ζεύξει μοναχοὺς [5]) ταῖς μοναστρίαις καὶ ἱερεῖς ὁμοίως καὶ γενήσεται ἡ ἀνομία τῆς μίξεως χείρονα [6]) φόνου καὶ αὐτὸς πορνεύσει μητέρα καὶ θυγατέρα. Καὶ τῷ καιρῷ ἐκείνῳ διὰ τὴν κατάρατον ἀκολασίαν λύσιν λαβόντες οἱ μωροὶ ἀσώτως ταῖς ἑαυτῶν ἀδελφαῖς ἐπιχρηματίσουσιν [7]) καὶ ἀναβήσεται ἡ σαπρία καὶ ὁ βρῶμος ὡς βδέλυγμα ἐνώπιον Κυρίου καὶ πικρῶς ὀργισθήσεται Κύριος ὁ θεὸς καὶ θυμῷ μεγάλῳ ἐπιβλέψει ἐπὶ πᾶσαν τὴν γῆν καὶ ἐντελεῖται τῇ βροντῇ αὐτοῦ ἄνωθεν καὶ ταῖς ἀστραπαῖς καὶ ἄρξονται ἀκρατῶς πολλῇ φρίγῃ [8]) καταφέρεσθαι ἐπὶ τῆς γῆς καὶ πολλαὶ πόλεις πυρίκαυστοι γενήσονται καὶ ἄνθρωποι ἐκ τοῦ πατάγου τῶν φοβερῶν ἐκείνων βροντῶν θροισμῷ [9]) παραλυθήσονται καὶ κακῶς ἀποθανοῦσι καὶ πολλοὶ ἀστραπόκαυστοι γενήσονται. οὐαὶ δὲ τότε τῇ γῇ ἀπὸ τῆς ἀπειλῆς τοῦ παντοκράτωρος καὶ τῆς ἀπείρου ὀργῆς τε καὶ θυμοῦ αὐτοῦ τοῦ ἤδη ἐπερχομένου εἰς πᾶσαν τὴν οἰκουμένην, παταχθήσεται [10]) γὰρ τοῦτο τὸ σκῆπτρον τῆς ἀνομίας καὶ ἐν τῷ ἀσβέστῳ πυρὶ βληθήσεται [11]). Ἀπὸ δὲ τῶν ἡμερῶν ἐκείνων μακάριοι οἱ κατοικοῦντες ἐν Ῥώμῃ ἢ ἐν Ῥίζᾳ ἢ ἐν Ῥαγμενοπέτρᾳ [12]) ἢ ἐν Στροβύλῳ ἢ ἐν Καριοπόλει [13])· ἐν ταύταις ταῖς πόλεσι καὶ τόποις ἀναπαύσονται, τὰ γὰρ ἄλλα πάντα πόλεμοι καὶ ταραχὴ καὶ θόρυβος πολὺς γενήσεται [14]) κατὰ τὸν εἰπόντα ὅτι μελλήσετε ἀκούειν πολέμους καὶ ἀκοὰς πολέμων καὶ τὰ ἑξῆς.

Μετὰ δὲ ταῦτα ἐγερθήσεται βασιλεία ἑτέρα ἐπὶ τὴν πόλιν ταύτην, βλοσυρὸς ὄνομα [15]) καὶ ἔξαρνος Ἰησοῦ Χριστοῦ. καὶ ἀναγνώσας τι [16]) τῶν ἑλλήνων γραφὰς μετατραπήσεται εἰς ἑλληνισμὸν καὶ ποιήσει πόλεμον μετὰ τῶν ἁγίων ἀπὸ τὸν σατανᾶν ὁ διάβολος. μετὰ γὰρ ὀλίγας ἡμέρας τοῦ κρατῆσαι αὐτὸν ναοὺς πυρι-

---

[1]) οὐδὲ μή [2]) Cod. μητρός. [3]) ἀποθανέτω. [4]) κατασταθήσεται. [5]) Cod. μοναχοῖς. [6]) χεῖρον. [7]) ἐπιχρεμετίσουσιν [8]) φρίκῃ πολλῇ. [9]) θροισμῷ μεγάλῳ. [10]) πατοχθήσεται. [11]) ληφθήσεται. [12]) Ἀρμενοπέτρᾳ. [13]) Cod. Καρύλλῳ πόλει. [14]) ταραχαὶ καὶ θόρυβοι πολλοὶ γενήσονται. [15]) καὶ αὐτὸς βλοσυρὸς ὄνος. [16]) τί om.

καύστους ποιήσει καὶ τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν φούρκαν ὀνομάσει καὶ ποιήσει τὸ ἱερατεῖον εἰς πτῶσιν καὶ κατακοπὴν λαοῦ τῆς μέσεως ποιήσει κατὰ τὰς δημοσίας στράτας, καὶ τότε προδώσουσι φίλοι φίλους εἰς θάνατον καὶ ἀδελφοὶ ἀδελφοὺς καὶ γείτωνες γείτωνας καὶ πατὴρ τέκνον καὶ τέκνον πατέρα καὶ πολλοὶ ζήλῳ Κύριον ὁμολογήσωσιν, ὧν τὸ τέλος μακάριον, οὗτοι γὰρ σὺν Χριστῷ βασιλεύσωσιν. Τότε οἱ ἐν ταῖς νήσοις καὶ οἱ ἐν ταῖς κοιλάδαις [1]) ταῖς [2]) πρὸς Θράκην τε καὶ ταῖς [3]) κάτω ἄκοντας αὐτοὺς παραδώσουσιν ἔσονται [3]) εἰς ἐρήμωσιν σπήλαια δαιμόνων γενόμενοι [4]) καὶ ἰοβόλων ἑρπετῶν καταγώγια. Ἔσονται ἐν τῷ καιρῷ ἐκείνῳ κτύποι ἐν τῷ οὐρανῷ φοβερώτατοι καὶ σεισμοὶ μεγάλοι καὶ συμπτώματα πολέμων μεγάλων· ἀναστήσεται γὰρ ἔθνος πρὸς ἔθνος καὶ βασιλεῖς ἐπὶ βασιλέας [5]) καὶ ἔσται φοβερὸς συντριμμὸς ἐπὶ τῆς γῆς καὶ θλίψις [6]) καὶ στενοχωρία ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων. Τότε φανήσεται πῦρ ἐκ τοῦ οὐρανοῦ [7]) ὡσεὶ ἀστραπῆς τάχος [8]) ἀπειλὴ ἐπισκιάζουσα [9]) πᾶν τὸ πρόσωπον τῆς γῆς καὶ πετεινῶν συνοχαὶ πολλαὶ καὶ ὄφεων πονηρῶν τότε πλησθήσεται ἡ γῆ δακνόντων [10]) τοὺς ἀνθρώπους τοὺς σεβομένους τοῖς παραπτώμασιν. πάντα γὰρ ταῦτα ἀρχὴ ὀδύνων καθεστήκασιν.

Τελευτήσαντος δὲ τοῦ ἀθέου σκήπτρου τούτου τότε ἔρχεται ὁ ἐκ (Αἰ)θιωπίας [11]) ἀπὸ τοῦ πρώτου κεράτου [12]) ὅν φασιν ἔτη ιβ′ κατέχειν τῆς βασιλείας οἴακας [13]). οὗτος ἀγαθὸς καὶ βασιλεύσει ἐν εἰρήνῃ καὶ ἁγίων οἴκους τοὺς πρὸς αὐτοὺς [14]) συμπτωθέντας ἀναστήσει καὶ ὡς ἀγαθὸς ἀγαπηθήσεται ὑπὸ τοῦ λαοῦ καὶ ἐφαπλωθήσεται ἡ ἀγάπη Κυρίου ἐπ' αὐτὸν ἐν ὅλῃ τῇ οἰκουμένῃ καὶ ἔσται χαρὰ καὶ ἀγαλλίασις. Παρελεύσεται δὲ καὶ αὐτὸ τὸ σκῆπτρον ἕτερον τὸ ἀπὸ Ἀραβίας ὥς φασι χρόνον καὶ ἐπὶ τῆς βασιλείας αὐτοῦ ἑνωθήσεται τοῦ τιμίου καὶ ζωοποιοῦ ξύλου τὰ ἅγια τμήματα εἰς αἴνεσιν [15]) τοῦ ἀοράτου θεοῦ καὶ δοθήσεται τῷ βασιλεῖ [16]) καὶ αὐτὸς γενόμενος ἐν Ἱερουσαλὴμ ἐν τῷ τόπῳ οὗ ἔστησαν οἱ πόδες Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν οἰκείαις

---

1) κοιλάσι. 2) Cod. τῆς. 3) ἄκοντες πεσοῦνται. 4) Cod. γενόμενα. 5) βασιλεῖς, noster βασιλείας quod correxi. 6) Cod. θλίψει. 7) ἀπ' οὐρανοῦ. 8) Cod. πάχος. 9) ἀπειλοῦν ἐπισκιάζον 10) Cod. δάκνοντας. 11) ὁ Αἰθιωπίας. 12) κέρατος. 13) τοὺς οἴακας. 14) Forsan πρὸ αὐτοῦ? 15) ἔμπνευσιν. 16) Cod. τὸ βασίλειον.

χερσὶν αὐτοῦ παραθήσει ἐπὶ τὸ τίμιον ξύλον καὶ τὸ τῆς βασιλείας διάδημα παραδώσει δὲ Κυρίῳ τῷ θεῷ σὺν ταῖς ἐγκατέραις (sic) [1]) καὶ τὴν ψυχὴν αὐτοῦ. Καὶ τότε ἀναστήσονται νεώτεροι τρεῖς ἐν τῇ πόλει ταύτῃ ἀναιδεῖς, μωροὶ καὶ ἀνωφελέστατοι [2]) καὶ κρατήσουσιν ἐν εἰρήνῃ ἡμέρας [3]) ρν'. καὶ μετὰ ταῦτα ἐπισαγωγῇ διαβόλου ὀργισθέντες [4]) ἑαυτοὺς δώσουσιν ἀλλήλως πόλεμον καθ' ἑαυτοὺς ἰσχυρόν. καὶ ἐπάρας ὁ πρῶτος ἔλθει ἐν Θεσσαλωνίκῃ λέγων αὐτῇ· Θεσσαλωνίκη, σὺ νικήσεις τοὺς ἐχθρούς σου, καύχημα γὰρ ἁγίων [5]) σὺ εἶ καὶ ἡγίασέν σε καὶ ὁ ὕψιστος. καὶ τότε στρατοπεδεύσει [6]) τοὺς λαοὺς αὐτῆς ἀπὸ ἑπταετοῦς καὶ τὴν [7]) ἄνω καὶ τοὺς ἱερεῖς καὶ τοὺς μονάζοντας φορέσει ἅρματα πολεμικὰ καὶ ποιήσει πλοῖα μεγάλα καὶ ἀπέλθει ἐν Ρώμῃ καὶ στὰς πρὸ [8]) τῆς πύλης αὐτῆς ἐρεῖ αὐτῇ· χαίροις, Ρώμη τρίρυμε, ἡ μάχαιρά σου ὀξεῖα, τὰ βέλη σου πυκνά, ἔντιμος εἶ σύ. κράτει [9]) τὴν πίστιν σου μὴ ἐκπέσῃ ἐκ σοῦ. μακάριοι οἱ κατοικοῦντες ἐν σοί. Τότε στρατεύσει τὰ ξανθὰ γένη καὶ ποιήσει ναύκλας [10]) καὶ εἰσελεύσεται ἀναμέσον δήλου καὶ ἀδήλου καὶ ἐκδέξεται τοὺς αὐτούς. [11]) Ὁ δὲ δεύτερος μεῖραξ ἐκστρατεύσει καὶ αὐτὸς τὴν Μεσοποταμίαν, τὰς Κυκλάδας τῶν νήσων καὶ στρατεύσει καὶ αὐτὸς τοὺς ἱερεῖς καὶ τοὺς μονάζοντας μανίᾳ δεινῇ κατὰ τῶν ἄλλων [12]) καὶ ἐπάρας ἔλθει ἐπὶ τὸν ὀμφαλὸν τῆς κτίσεως, τινὲς δέ φασιν ἐπὶ Ἀλεξανδρείαν κἀκεῖσε ἐκδέξεται τοὺς ἑταίρους αὐτοῦ, μεθ' ὧν ὀφείλει δὲ καθέζεσθαι ὀξυνόμενος καὶ μαινόμενος. Καὶ ὁ τρίτος ἐλεύσεται καὶ στρατοπεδεύσει Φρυγίαν, Καρύαν, Γαλατίαν καὶ τὴν Ἀσίαν καὶ Ἀρμενίαν καὶ Ἀραβίαν καὶ εἰσελεύσεται ἐν Συλαίῳ, τὸ δὲ λεγόμενον Σύλαιον κληθήσεται καὶ οὐ [13]) συλληφθήσεται οὐδὲ παρασαλευθήσεται [14]) εἰς τὸν αἰῶνα. καὶ ταῦτα εἰρηκὼς εἰςελεύσεται καὶ αὐτὸς ἐν λαῷ ἀσυνθέτῳ, τουτέστιν μὴ ὄντος ὑποκάτω αὐτοῦ ἢ τῶν ἑταίρων αὐτοῦ. Μετὰ οὖν τὸ συναχθῆναι αὐτοὺς κατέναντι ἀλλήλων τότε κροτήσουσι πόλεμον μέγαν καὶ φοβερὸν καθ' ἑαυτοὺς καὶ συγκόψουσιν ἀλλήλους [15]) μεληδὸν ὥσπερ ἐν μακέλλῳ τὰ πρόβατα καὶ ἀποκτανθήσονται οἱ τρεῖς βασιλεῖς.

---

[1]) σὺν τ. ἐγκ. desunt. [2]) ἀνωφέλητοι [3]) ἡμέρας cod. omisit. [4]) Cod. ὀργισθέντος [5]) Cod. ἅγιον. [6]) στρατεύσει. [7]) καὶ ἐπ'. [8]) Cod. πρός. [9]) κρατήσεις. [10]) ναῦς [11]) τοὺς ἑταίρους αὐτοῦ. [12]) Add. κινούμενος. [13]) Cod. (κληθήσεται) τοῦ. [14]) παραλειφθήσεται. [15]) Cod. ἀλλήλων.

καὶ γενομένης κοπῆς χυθήσεται αἷμα Ρωμαίων ὡσεὶ ἀφόρητος βροχὴ καὶ ἐξ αὐτῶν οὐ καταλειφθήσεται [1]) οὐδὲ εἷς [2]). Τότε συγκερασθήσεται ἡ θάλασσα ἐν τῷ τόπῳ ἐκείνῳ ἐκ τοῦ αἵματος αὐτῶν σταδίους ιβʹ καὶ λοιπὸν πᾶσα γυνὴ χήρα· ὥστε ἑπτὰ γυναῖκες ζητήξουν [3]) ἕναν ἄνδρα ἔχειν καὶ οὐχ εὑρήσουσιν. μέχρις ἂν ἀπὸ [4]) ἀλλοδαπῆς χώρας ἀκούσαντες ἀνήλικοι ἀνδριθέντες ἔσονται [5]) ὡς χοῖροι ἀπὸ πολλῆς ἀσωτίας μὴ αἰσθανόμενοι. τότε μακάριοι καὶ τρισμακάριοι [6]) οἱ ἐν ὄρεσι καὶ σπηλαίοις καὶ [7]) τῷ Κυρίῳ δουλεύοντες ὅτι τὰ δημοσία [8]) κακὰ γενόμενα οὐ θεάσονται, ἀλλ' ἔσονται ἰδίως ἐπὶ θύραις ἐκδεχόμενοι τὸ μέγα ἔλεος οἱ γλυκύτατοι ἄρνες οἱ μέλλοντες θύεσθαι διὰ Χριστὸν ὑπὸ τοῦ πονηροῦ πνεύματος [9]) τοῦ ἀντιχρίστου. Τότε διὰ τὸ μὴ εἶναι ἄνδρα ἐπὶ τιμὴν [10]), ἀλλὰ πάντες [11]) τῆς ἀπωλείας, τότε ἀναστήσεται γύναιο(ν) αἰσχρὸν Μόνδιον [12]) ἐκ τοῦ Πόντου καὶ βασιλεύσει ἐν τῇ πόλει ταύτῃ καὶ αὐτὴ βακχεύτρια τοῦ διαβόλου θυγάτηρ, μάγισσα καὶ ἀῤῥενοθηλυμάνης καὶ ἐν ταῖς ἡμέραις ἔσονται ἀλληλοεπιβουλίαι καὶ σφαγὴν [13]) κατὰ ῥύμην καὶ κατὰ οἰκίαν· καὶ σφάξει ὁ υἱὸς πατέρα καὶ πατὴρ υἱὸν καὶ μήτηρ θυγατέρα καὶ θυγάτηρ μητέρα καὶ ἀδελφὸς ἀδελφὸν καὶ φίλος φίλον καὶ ἔσται κακία πολλὴ καὶ μῖσος ἐν τῇ πόλει ταύτῃ καὶ ἐν ταῖς ἁγίαις ἐκκλησίαις ἔνδον [14]) ἀσελγεῖαι καὶ ἀσωτίαι καὶ αἱμομιξίαι καὶ κιθάραι καὶ ὀρχήσεις καὶ τραγῳδία σατανικὰ καὶ χλευασμοὶ καὶ παίγνια ὥσπερ [15]) ἄνθρωπος οὐκ εἶδεν [16]) οὔτε ἰδεῖν δύναται [17]) ἕως τοῦ καιροῦ ἐκείνου. καὶ γὰρ ἡ βασιλὶς ἐκείνη ἡ ἀκάθαρτος θεὸν ἑαυτὴν κρατοῦσα [18]) καὶ θεῷ μαχομένη καὶ προαιρουμένη μετ' αὐτοῦ παλαίσασθαι. Τότε κόπρῳ μιάνει [19]) τὰ ἅγια θυσιαστήρια καὶ τῆς αἰσχύνης αὐτῆς ἅπαντι [20]) μιάσματι μιάνει [21]) πάντα τὸν λαὸν καὶ στρέψει τὸ πρόσωπον αὐτῆς κακὸν καὶ ἁρπάσει πᾶν σκεῦος ἐκ τοῦ ναοῦ καὶ συναθροίσας τὰς τιμίας μωρφώσεις τῶν ἁγίων καὶ τοὺς τιμίους σταυροὺς καὶ τὰ εὐαγγέλια καὶ ἅπαντα ἀπόστολον

---

[1]) Cod. καταλυθήσεται. [2]) οὐδείς. [3]) ζητήσουσιν. [4]) ἀπό cod. om. [5]) ἀκούσαντες ἥξουσιν, καὶ οἱ νεανίσκοι οἱ καταλειφθέντες ἀνήλικοι ἀνδρυνθήσονται καὶ ἔσονται [6]) Cod. τριμακάριοι. [7]) καὶ om. [8]) δημοσίως [9]) δαίμονος. [10]) ἐπίσημον. [11]) ἅπαντες. [12]) Cod. Μόδιον. [13]) σπαγμοί. [14]) ἔσονται. [15]) ἅπερ. [16]) οὔτε εἶδεν. [17]) δυνήσεται. [18]) θεὰν ἑαυτὴν πρατοῦσα [19]) μιανεῖ [20]) Cod. ἅπαν. [21]) μιανεῖ.

καὶ ἅπαν ἔγγραφον βιβλίον καὶ ποιήσει σωρὸν μεγάλον καὶ βαλοῦσα πῦρ κατατεφρώσει πάντα καὶ τὰς ἐκκλησίας καταστρέψει καὶ ζητήσει λείψανα ἁγίων τοῦ ἀπαλεῖψαι καὶ οὐχ εὑρήσει, ὁ γὰρ θεὸς ἀοράτῳ [1]) δυνάμει μεταγάγει αὐτὰ ἀπὸ τῆςδε τῆς πόλεως. τότε ἡ τάλαινα μεγάλης ἐκκλησίας τῆς τοῦ θεοῦ Σοφίας καταστρέψει τὴν τράπεζαν καὶ τὰ πάντα [2]) τοῦ ναοῦ διαθρύψασα, στήσεται δὲ κατὰ ἀνατολὰς [3]) φρυαττομένη καὶ ἐρεῖ πρὸς τὸν ὕψιστον λέγουσα· μὴ κατώκνησα, ὦ λεγόμενε θεέ, ἀπάλειψαί σου τὸ πρόσωπον ἀπὸ τῆς γῆς. ἰδοὺ τί σοι ἔκαμον ἀδύνατον [4]) καὶ οὐκ ἠδυνήθης κἂν τριχός μου ἅψασθαι. ἰδοὺ ἔκδεξον μικρὸν καὶ χαλᾷ [5]) τὸ στερέωμα καὶ ἀνέρχομαι αὐτοῦ [6]) καὶ θεάσομαι τίς δυνατώτερος καὶ ὄψομαι τίς ὁ ἰσχύων [7]) ἐν θεοῖς καὶ θεαῖς. Καὶ ταῦτα λαλήσει ἡ γάγγρενα ἢ καὶ πλέον [8]) καὶ δράσας [9]) εἰς ὕψος ἐμπτύουσα καὶ λίθους πέμπουσα, ἐῶ γὰρ λέγειν αὐτῆς τὰ δεινότερα. Ἐν τῷ καιρῷ ἐκείνῳ αἱρεῖ [10]) Κύριος ὁ θεὸς ὁ παντοκράτωρ τὸ τόξον αὐτοῦ καὶ τὸν ἄκρατον θυμὸν αὐτοῦ καὶ φοβερᾷ δυνάμει τῆς ἰσχύος αὐτοῦ ἐκτείνει [11]) τὴν χεῖραν αὐτοῦ ἐπὶ τὴν πόλιν ταύτην καὶ δράξεται [12]) αὐτῆς ἰσχύος [13]) καὶ τῷ δρεπάνῳ τῆς δυνάμεως αὐτοῦ ὑποτέμει [14]) τὸν χοῦν τὸν ὑποκάτω τῆς πόλεως καὶ ἐρεῖ τοῖς ὕδασιν αὐτὴν τοῦ καταπιεῖν αὐτὴν [15]) ἅπερ φοβερὸς ὑπακούσας [16]) τάχει σφοδρῷ [17]) καὶ ἤχῳ [18]) φοβερωτάτῳ ἀναβρύσωσι καὶ τὰ ὑποκάτω αὐτῆς ἀνασπάσει ἀπὸ τῆς γῆς καὶ ἄρει [19]) αὐτὴν εἰς ὕψος ὡς μῦλον γυροβολούμενον ὥστε τοὺς ἐν μέσῳ τῆς πόλεως ἐν φρίκῃ πολλῇ βοᾶν τὸ οὐαὶ καὶ πάλιν αὐτῆς κατενεχθείσης ταχέως [20]) κάτωθεν καὶ τὰ ἀναβρύσσοντα [21]) ὕδατα σφοδρῶς κατακλύσαντα καὶ καταλύψαντα τῷ φοβερῷ καὶ ἀχανεῖ πελάγει τῆς ἀβύσσου παραπέμψαντα.

Οὕτως οὖν, τέκνον μου Ἐπιφάνιε, ἡ πόλις ἡμῶν συντελεσθήσεται καὶ ἅπερ σοι εἴρηκα ὄπισθέν τι μέλλουσι συμβαίνειν τῷ κόσμῳ δεινά. ταῦτα ἐκεῖνά εἰσιν ἅπερ Κύριος ἡμῶν εἴρηκεν ἐν

---

[1]) ἀοράτῳ cod. omis. [2]) τὸ πᾶν. [3]) Ἀνατολάς. [4]) ἀδύνατον om. [5]) χαλῶν. [6]) πρός σε. [7]) ἰσχυρότερος. [8]) πλείω. [9]) δράσει. [10]) κλινεῖ. [11]) ἐκτενεῖ. [12]) Cod. δράξειται. [13]) ἐν ἰσχύι. [14]) ὑποτεμεῖ. [15]) τοῖς ὕδασιν τοῖς ἀπ' αἰῶνος βαστάζουσιν αὐτὴν τοῦ καταπ. αὐτήν. [16]) ὑπακούσαντα. [17]) Cod. σφοδρᾷ. [18]) κατήχῳ. [19]) ἀρεῖ. [20]) ταχέως κατ. αὐτῆς. [21]) ἀναβρύσαντα.

ἀρχῇ ὀδύνων. [1]) Εἶτα μετὰ τὴν παρέλευσιν τῆς πόλεως τὸ τηνικαῦτα τῆς συντελείας τὰ τῆς βασιλείας [2]) συνίσταται. τινές φασιν ὅτι μετὰ τὸ πληρωθῆναι [3]) τῆς τῶν ἐθνῶν βασιλείας μελλήσεται ὁ θεὸς τὰ θεόσκηπτρα [4]) Ἰσραὴλ ἐξανίστασθαι [5]) πρὸς τὸ βασιλεῦσαι τὸ λοιπὸν πρὸς ἀναπλήρωσιν τοῦ ἑβδόμου αἰῶνος φέροντες εἰς μαρτυρίαν τὸ ὑπὸ Ἡσαΐου εἰρημένον [6])· καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις, φησίν, ἀρεῖ Κύριος ὁ θεὸς σημεῖον ἐν τῇ συμπληρώσει τῶν ἐθνῶν ἐπὶ πάντα τὰ πρόβατα τοῦ Ἰούδα τὰ διεσκορπισμένα ἐν τοῖς ἔθνεσιν καὶ ἄξει [7]) τοὺς ἀποσμένους Ἰσραὴλ τῇ ἁγίᾳ πόλει Ἱερουσαλὴμ καὶ ἔσται τῷ Ἰσραὴλ [8]) ὡς τῇ ἡμέρᾳ ᾗ ἐξῆλθεν ἐκ γῆς Αἰγύπτου. καὶ μὲν [9]) καὶ τὸ ὑπὸ τοῦ μακαρίου ἀποστόλου Παύλου εἰρημένον· ὅταν τὸ πλήρωμα τῶν ἐθνῶν ἥξει τότε πᾶς Ἰσραὴλ σωθήσεται. Καὶ οὗτοι μὲν οὕτω λέγουσιν καὶ ἰσοφωνοῦσιν [10]), Ἱππόλυτος δὲ ὁ μάρτυς ἔφησεν ὅτι ἐν τῇ ἐπιδημίᾳ τοῦ ἀντιχρίστου πρῶτοι οἱ Ἰουδαῖοι πλανηθήσονται, καὶ ὁ Χριστὸς ἐπιμαρτυρούμενος [11]) αὐτῷ πρὸς τοὺς Ἰουδαίους ἔλεγεν· ὅτι ἐγὼ ἦλθον ἐν τῷ ὀνόματι τοῦ πατρός μου καὶ οὐ λαμβάνετέ με, ἄλλος ἐλεύσεται ἐν τῷ ἰδίῳ ὀνόματι κἀκεῖνον λήψεσθε καὶ ἐν τῇ ἁμαρτίᾳ ὑμῶν ἀποθανεῖτε. ὅτι μὲν οὖν [12]) συνάξει αὐτοὺς ἐν τῇ πόλει Ἱερουσαλὴμ καὶ τὰ αὐτὰ ἀνταποδώσεται [13]) ὅπως τοῦ διασκορπισμοῦ τὴν ἐπ' ἀπώλειαν [14]), εἰ τοῦτο πάλαι ἐποίησεν [15]) τὰ ἡμῶν ἡμῖν ἀποκαταστήσεται [16]), πάλαι ἂν ἐπιστεύσαμεν τῷ Χριστῷ τὴν [17]) ἀφορμὴν τοῦ φόνου ἐξεώσαντες τοῦ ἕνεκεν προτιμηθῆναι τὰ ἔθνη ὑπὲρ ἡμᾶς, εἰ [18]) τοῦτο οὐκ ἐποίησεν, νῦν δὲ συναχθέντες καὶ τὰ αὐτῶν ἀπολαβόντες ἐν τῇ αὐτῇ ἀπιστίᾳ μείναντες ποῦ [19]) σωθήσονται εὐθέως τοῦ ἀντιχρίστου ἐξερχομένου [20]) ἐν μέσῳ [21]) αὐτῶν; ᾧ καὶ πιστεύει(ν) μέλλουσι κατὰ τὴν φοβερὰν φωνὴν τοῦ υἱοῦ τοῦ θεοῦ, θεὸς γὰρ οὐ ψεύδεται ὁ μονογενὴς ὁ εἰπών [22])· ἐγώ εἰμι ἡ ἀλήθεια.

---

[1]) ὁ Κύριος Ἰησοῦς Χριστὸς εἴρηκεν ἀρχὴν εἶναι ὀδύνων. [2]) τὰ τῆς β. cod. om. [3]) πλήρωμα. [4]) Cod. θεόσκηπτα. [5]) ἀναστῆσαι. [6]) Cod. τοῦ ὑπὸ Ἡ. εἰρημένου. [7]) συνάξε. [8]) τῇ ἁγίᾳ π...τῷ Ἰσραὴλ cod. praetermisit. [9]) Καὶ μέν cod. om. [10]) Cod. ἰσοφανοῦσιν. [11]) Cod. ἐπιμαρτυρούμενον. [12]) οὖν cod. om. [13]) ἀνταποδώσει. [14]) εἶπον τὴν ἀπώλειαν. [15]) εἰ τοῦτο π. ἐπ. cod. om. [16]) ἀποκαταστατήσας τὰ ἡμῶν. [17]) Cod. τοῦ. [18]) εἰ om. [19]) πῶς. [20]) Cod. ἐξερχομένων. [21]) ἐν μέσῳ cod. om. [22]) Cod. add. μοι quod omisi.

τέως δὲ ἐν τῷ συνάξαι αὐτοὺς ἐν πρώτοις τῆς ἀπολογίας ταύτης αὐτοὺς ἀπεστέρησεν [1]. καὶ γὰρ ὁ Παῦλος σωθήσετε αὐτοῖς [2] εἴρηκεν οὐκ ἐκ τῆς αἰωνίου κολάσεως, ἀλλὰ τῆς τοσούτων ἐτῶν πλανήσεως τῆς ἐπαλλοτρίας καὶ τοῦ ὀνειδισμοῦ [3] τῶν ἐθνῶν καὶ τῆς ἀφάτου αἰσχύνης, ὅτι ἐν τοσαύτῃ [4] ἀνάγκῃ καὶ ἐν τοσούτῳ χλευασμῷ ἐστιν ἀπὸ [5] ἐθνῶν κωμῳδούμενοι χρηματίζοντες [6] σωθήσονται τῆς δουλείας τοῦ ζυγοῦ οἱ συναχθέντες εἰς τὰ ἴδια οὐ μέντοι ὡς προεῖπον [7] τῆς αἰωνίου κολάσεως· οὓς γὰρ ἡ θλίψις οὐκ ἔπεισεν πιστεῦσαι τῷ ζωοποιῷ καὶ μονογενεῖ υἱῷ τοῦ θεοῦ, πῶς πρέπει αὐτῷ δὴ [8] ἡ νομιζομένη χάρις; καὶ τὰ ἑξῆς.

---

7. Объ іерействѣ Іисуса Христа.

α. Ἀπόδειξις πῶς ἐγένετο ὁ Χριστὸς ἱερεύς. περὶ αὐτοῦ γάρ φησιν ὁ προφήτης Δαυίδ· σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.

Πολλοὶ γὰρ τοῦτο ἀγνοοῦσιν. Τύπος ἦν πὰρ' ἑβραίοις εἰς τὸ ἱερατεῖον αὐτῶν κβ' ἱερεῖς τεταγμένοι ἦσαν τοῦ ἱερατεύειν. καὶ ἐὰν ἐτελεύτησεν εἷς ἐξ αὐτῶν ἠρεύνουν ποῦ εὕρωσιν Λευιτικὴν φυλὴν ἵνα καταστήσωσιν ἱερέα ἀντὶ τοῦ τελευτηκότος κβ'. καὶ πολλὰ ἐρευνήσαντες καὶ στροβλωθέντες οὐχ εὕρισκον Λευιτικὴν φυλήν. καὶ ἐν ἀπορίᾳ κατασταθέντες εἷς ἐξ αὐτῶν ἱερεὺς εἰς ὑπόμνησιν ἐλθὼν περὶ τοῦ Χριστοῦ λέγει πρὸς αὐτούς· ὑμεῖς ὅλοι εἴπατε καὶ ἀνεπιτήδειοι εὑρέθητε, λαλήσω οὖν κἀγὼ ἅπαξ, εἴ γε καὶ ἀρέσει ὑμᾶς. Καὶ λέγουσιν αὐτῷ· εἰπέ. Ὁ δὲ ἔφη· ἀκούσατέ μου καὶ ποιήσωμεν ἱερέα Ἰησοῦν, τὸν υἱὸν Ἰωσὴφ τοῦ τέκτονος ἀπὸ Ναζαρέτ. Καὶ λέγουσιν οἱ ἀρχιερεῖς· ἀλλ' οὐκ ἔστιν Ἰωσὴφ ἐκ τοῦ Λευί, ἡ δὲ Μαρία κατάγεται ἐκ τοῦ Δαυίδ. ἡ γὰρ Θεοτόκος ἐξότονος ἐκαλεῖτο. Καὶ λέγει ὁ προειρημένος· λέγει γὰρ ὁ κώδιξ, ὅτι ἐν τοῖς παλαιοῖς ἐπιμιξία γέγονε τοῦ Λευὶ καὶ τοῦ

---

[1]) ἀποστερήσει. [2]) σωθῆναι αὐτούς. [3]) τῆς ἀπὸ τόπου εἰς τόπον περιπλανήσεως καὶ τοῦ ὀνειδισμοῦ. [4]) Cod. τῇ αὐτῇ. [5]) χλευασμῷ (cod. χλευασμὸν) νῦν ὄντες καὶ ὑπὸ τῶν. [6]) κωμ. καὶ τούτοις δουλεύοντες. [7]) Cod. προεῖπεν. [8]) πῶς πείσει αὐτούς.

Ἰούδα καὶ κατελήφθη τὸ Λευιτικόν. Καὶ λέγουσιν οἱ ἀρχιερεῖς καὶ πᾶσα ἡ γερουσία· ἀληθῶς, καὶ καλέσατε τὸν πατέρα καὶ τὴν μητέρα αὐτοῦ καὶ ἐρωτήσωμεν αὐτούς. Καὶ εἶπον· ἀλλ' ὁ Ἰωσὴφ ἀπέθανε. καὶ ἐκάλεσαν τὴν μητέρα τοῦ Ἰησοῦ. καὶ ἦλθεν καὶ ἔστη. Καὶ λέγουσιν αὐτῇ· εἰπὲ ἡμῖν, τίνος υἱός ἐστιν ὁ υἱός σου; Καὶ ἀποκριθεῖσα λέγει· πιστεύσατέ μοι, πατέρα ὁ υἱός μου ἐπὶ τῆς γῆς οὐκ ἔχει. οὐ καθευδούσης μου, ἀλλ' ἠγρηγορούσης μου ἄγγελος τοῦ θεοῦ ἦλθεν ἐν τῷ οἴκῳ μου καὶ εἶπέν μοι· χαῖρε, κεχαριτωμένη, ὁ Κύριος μετά σου, σὺ ἐν γαστρὶ ἕξεις καὶ τέξεις υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. καὶ λέγω αὐτῷ· πῶς ἔσται τοῦτο ἐπεὶ ἄνδρα οὐ γινώσκω; καὶ λέγει μοι· πνεῦμα ἅγιον ἐπελεύσεται ἐπί σε καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι. καὶ ἐγέννησα αὐτὸν ἐγὼ καί εἰμι παρθένος μέχρι τὴν σήμερον ἐκ θεοῦ φυλαχθεῖσα. ὁ δὲ ἄγγελος ἀναχωρῶν εἶπέ μοι· ἐγώ εἰμι Γαβριὴλ ὁ ἀρχάγγελος τοῦ θεοῦ. ταῦτα δὲ εἶπέν μοι (καὶ) ἀνεχώρησεν ἀπ' ἐμοῦ. Ταῦτα ἀκούσαντες οἱ ἀρχιερεῖς καὶ πᾶσα ἡ γερουσία [1]) ἐξέστησαν καὶ εὐθέως ἐνέγκαντες μαίας πιστὰς πρὸς τὸ σχηματίσαι αὐτήν. καὶ σχηματίσαντες εὗρον αὐτὴν τοῦ καθαροῦ καθαρωτέραν ὡς ἐγεννήθη καὶ πληροφορήσαντες τὴν γερουσίαν καὶ πάντα τὸν λαὸν ὅτι παρθένος ὑπάρχει. Ἐξέστησαν ἅπαντες καὶ λέγουσιν αὐτῇ· εἰπὲ ἡμῖν ἵνα ἀπογραψώμεθα αὐτόν. ἀποκριθεῖσα δὲ ἡ Θεοτόκος λέγει· ἐγὼ Μαρία ἐγέννησα αὐτόν, πατέρα ἐπὶ τῆς γῆς οὐκ ἔχει, ἀλλὰ υἱὸς θεοῦ καὶ υἱὸς ἐμοῦ τῆς παρθένου ἐστίν. Ταῦτα ἀκούσαντες οἱ ἱερεῖς ἤνεγκαν τὸν κώνδικα (=κώδ-) καὶ ἔγραψαν οὕτως· ἡμεῖς οἱ ἱερεῖς τοῦ λαοῦ τῶν Ἰουδαίων γράφομεν οὕτως· ἀπέθανεν ὁ δεῖνα ἱερεὺς τοῦ ναοῦ τὴν δεῖνα ἡμέραν καὶ ἀντ' αὐτοῦ προγράφομεν ἱερέα Ἰησοῦν υἱὸν τοῦ θεοῦ ζῶντος καὶ υἱὸν Μαρίας τῆς παρθένου εἰς τὸ ἱερατεύειν αὐτὸν εἰς τὸν αἰῶνα. Καὶ ἐὰν μὴ ἦν ἱερεύς, οὐκ ἂν ἀπεδόθη αὐτῷ βιβλίον καὶ ἀνεγίνωσκε τὸν προφήτην Ἡσαΐαν· πνεῦμα ἦν ἐπ' ἐμὲ καὶ πνεῦμα Κυρίου ἔχρισέ με. καὶ ἐὰν μὴ ἦν ἱερεύς, οὐκ ἂν τὰ σκεύη τῶν βιωτικῶν ἐκ τοῦ ναοῦ ἐκβάλλων ἔλεγε τοῖς ἱερεῦσιν· μὴ ποιεῖτε τὸν οἶκον τοῦ πατρός μου οἶκον σκευῶν. καὶ ἐὰν μὴ ἦν ἱερεύς, οὐκ ἂν ἐν τῇ συναγωγῇ ἐκαθέζετο καὶ οἷος παραλόγως ἔκρινεν, ἐπεστό-

[1]) Cod. ἐξουσία.

μιζεν αὐτόν. ἥμαρτέν τις κόρη ἐν τῷ λαῷ καὶ ἤνεγκαν αὐτὴν ἐν τῷ κριτηρίῳ τοῦ ἀνακρῖναι αὐτὴν καὶ ἁπλῶς εἰπεῖν κατεδικάσθη τοῦ λιθοβολιθῆναι αὐτήν· τὸν γὰρ τότε καιρὸν ἔκριναν οἱ ἱερεῖς. καὶ εἶπαν τῷ Ἰησοῦ λέγοντες· σὺ τί λέγεις, Ἰησοῦ, περὶ τῆς ἁμαρτησάσης κόρης; Καὶ εἶπεν ὁ Ἰησοῦς τῷ λαῷ καὶ τοῖς ἱερεῦσιν οὕτως· ὅστις οὐχ ἥμαρτεν βαλέτω λίθον ἐπ' αὐτήν. Καὶ ἔγραφεν αὐτοῖς καθ' ἕνα ἕκαστον οὕτως· σὺ τόδε ἥμαρτες σήμερον, καὶ τῷ ἄλλῳ· ἴδε τί ἐποίησας, καὶ τὸν ἕτερον ὁμοίως. καὶ ἁπλῶς εἰπεῖν τὸν χορὸν τῶν ἀρχιερέων εἶπεν τὰ ἁμαρτήματα αὐτῶν οὐ φανερῶς, ἀλλ' ἰδίως. Καὶ οὐχ εὑρέθη οὐδεὶς τοῦ βαλεῖν ἐπὶ τὴν κόρην λίθον· καὶ ἄλλως πλεῖον τούτων (sc. ἔλεγεν) ὁ Ἰησοῦς ἐν τῇ συναγωγῇ τῶν ἰουδαίων. Καὶ ἐὰν μὴ ἦν ἱερεὺς ὁ Ἰησοῦς, οὐκ ἂν εἶχεν εὔλογον τοῦ κρῖναι καὶ παῤῥησιάζεσθαι ἐν τῷ λαῷ. Ἠκούσατε, ἀδελφοί, πρὸ πόσων ἐτῶν ὁ προφήτης Δαυὶδ προεῖπεν τὸ ἱερατεῖον τοῦ Χριστοῦ; καὶ ἐν τούτῳ πιστεύσατε ὅτι ἱερεὺς ἐγίνετο ὁ Χριστὸς ὑπὸ τῶν ἰουδαίων. καὶ εἰκότως ὁ προφήτης Δαυὶδ περὶ αὐτοῦ εἶπεν· σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. Ἰδοὺ ὑπέδειξα ὑμῖν, πῶς ὑπὸ τῶν προφητοκτόνων ἰουδαίων καὶ ἀνόμων ἑβραίων ἐποίησαν τὸν (sic) Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἱερέαν. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

β.

Διήγησις ψυχωφελὴς περὶ τῆς χειροτονίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ἐν τοῖς χρόνοις τῆς βασιλείας τοῦ ἐν εὐσεβεῖ τῇ μνήμῃ γενομένου πιστοῦ βασιλέως Ἰουστινιανοῦ γέγονεν ἄνθρωπός τις τῶν Ἰουδαίων ἀρχηγὸς ὀνόματι Θεοδόσιος ὃς ἐκ πλείστων χρόνων γνωστὸς τοῖς χριστιανοῖς ὑπῆρχεν, ἀλλὰ μὴν καὶ αὐτῷ τῷ εὐσεβεστάτῳ βασιλεῖ. κατὰ

Περὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὅταν αὐτὸν ἤθελον ποιῆσαι ἱερέαν [1]).

Ἰησοῦς ὁ Χριστὸς καὶ θεὸς ἡμῶν. ὅτι ἐν τοῖς χρόνοις [2]) τοῦ εὐσεβεστάτου βασιλέως Ἰουστινιανοῦ γέγονεν ἄνθρωπός τις

[1]) Titulum dedi e cod. B, codex autem P, qui et ipse huius narrationis habet fragmentum, praebet Περὶ τοῦ Χριστοῦ πῶς ἐγένετο ἱερεύς. [2] Ὅτι ἐν τοῖς καιροῖς incipit P reliquis praetermissis.

δὲ τοὺς χρόνους ἐκείνους ἦν τις ἄνθρωπος χριστιανὸς ὀνόματι Φίλιππος, ἀργυροπράτης τὴν τέχνην. οὗτος γνῶσιν πολλὴν ἔχων πρὸς τὸν εἰρημένον Θεοδόσιον τὸν ἰουδαῖον συνεχῶς ὁμιλῶν αὐτῷ καὶ τὴν κατὰ ἄνθρωπον γνησίαν ἀγάπην ἔχων συνεβούλευεν αὐτῷ χριστιανὸν γενέσθαι. Ἐν μιᾷ οὖν τῶν ἡμερῶν ὁ προλεχθεὶς Φίλιππος πρὸς τὸν Θεοδόσιον τοιαῦτα ἔλεγεν· οἶδα, ὅτι σοφὸς ἀνὴρ ὑπάρχεις καὶ ἀκριβῶς ἐπίστασαι τὰ ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν κηρυχθέντα περὶ τοῦ Δεσπότου ἡμῶν Ἰησοῦ Χριστοῦ· διὰ τί οὐ πιστεύεις εἰς αὐτὸν καὶ γίνῃ χριστιανός; πέπεισμαι γὰρ περί σου ὅτι οὐκ ἀγνοεῖς τὰ παρὰ τῶν θεοπνεύστων γραφῶν προλεχθέντα περὶ τοῦ κοινοῦ ἡμῶν Σωτῆρος καὶ Δεσπότου Χριστοῦ. σπούδαξον οὖν σῶσαι τὴν σεαυτοῦ ψυχὴν καὶ μὴ παραιτήσῃς τὸ γενέσθαι χριστιανός, ἀλλὰ πίστευσον εἰς τὸν Σωτῆρα καὶ Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἵνα μὴ ἐπιμένων τῇ ἀπιστίᾳ κρίσεως αἰωνίου καταστήσῃς σεαυτὸν ὑπεύθυνον. Ταῦτα ἀκούσας ὁ ἰουδαῖος παρὰ τοῦ χριστιανοῦ πρὸς αὐτὸν λεγόμενα ἀπεδέξατο τὸν χριστιανὸν καὶ εὐχαριστίας αὐτῷ τὰς διὰ λόγων προσήγαγεν καὶ τοι-

ἀρχηγὸς τῶν Ἰουδαίων, Θεοδόσιος ὄνομα αὐτῷ [1]), ὃς πλείστοις τῶν χριστιανῶν γνωστὸς ὑπῆρχε καὶ αὐτῷ τῷ μνημονευθέντι πιστῷ βασιλεῖ. Κατὰ δὲ τοὺς χρόνους [2]) ἐκείνους ἦν τις ἄνθρωπος χριστιανός, Φίλιππος ὄνομα [3]) αὐτῷ, τὴν μέθοδον ἀργυροπράτης. οὗτος γνωστῶς ἔχων τὰ πρὸς τὸν Θεοδόσιον καὶ πολλὴν πρὸς αὐτὸν σώζων τὴν γνησιότητα προετρέπετο αὐτὸν καὶ ἐνουθέτει γενέσθαι χριστιανόν. ἐν μιᾷ οὖν τῶν ἡμερῶν ὁ προλεχθεὶς [4]) Φίλιππος πρὸς τὸν λεχθέντα Θεοδόσιον τοιαῦτά τινα ἔλεγε· Τί δή ποτε σοφὸς ἀνὴρ ὑπάρχων καὶ ἀκριβῶς ἐπιστάμενος τὰ τοῦ νόμου καὶ τῶν προφητῶν προκεχηρυγμένα [5]) περὶ τοῦ Δεσπότου Χριστοῦ οὐ πιστεύεις αὐτῷ καὶ γίνῃ χριστιανός; πέπεισμαι γὰρ περί σου, ὅτι οὐκ ἀγνοῶν τὰ τῶν θεοπνεύστων γραφῶν προλεχθέντα περὶ τῆς τοῦ κοινοῦ ἡμῶν Δεσπότου Χριστοῦ παρουσίας παραιτῇ τοῦ γενέσθαι χριστιανός. σπεῦσον οὖν σῶσαι τὴν σεαυτοῦ ψυχὴν πιστεύων εἰς τὸν Σωτῆρα καὶ Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἵνα μὴ ἐπιμένων τῇ

[1]) τὸ ὄνομα αὐτοῦ P. [2]) καιρούς P. [3]) τὸ ὄνομα P. [4]) προελεχθείς P. [5]) κεκηρυγμένα B.

αῦτα πρὸς αὐτὸν ἀπεκρίνατο· ἀποδέχομαί σου τὴν κατὰ θεὸν ἀγάπην ὅτι ὑπὲρ τῆς ἐμῆς ἀγωνίζῃ σωτηρίας καὶ προτρέπεις με γενέσθαι χριστιανόν, διὸ ὡς θεοῦ τὰ κρυπτὰ τῶν καρδιῶν ἐπισταμένου καὶ φανεροῦντος ἀδόλως καὶ ἀνυποκρίτως καὶ μετὰ πάσης ἀληθείας τοὺς πρός σε λόγους ποιήσομαι. ὅτι μὲν οὖν παραγέγονεν ὁ ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν κεκηρυγμένος Χριστὸς ὁ ὑφ' ὑμῶν τῶν χριστιανῶν προσκυνούμενος πεπληροφόρημαι καὶ ὁμολογῶ πρός σε γνήσιον φίλον ὄντα καὶ τὰ πρὸς εὐεργεσίαν μου ἀεὶ πράττειν σπουδάζοντα, ἀλλ' ἀνθρωπίνῳ λογισμῷ κεκρατημένος οὐ γίνομαι [1]) χριστιανὸς καὶ ἐν τούτῳ καταγινώσκω ἐμαυτοῦ. νῦν γὰρ ἰουδαῖος ὑπάρχων καὶ ἀρχηγός εἰμι τοῦ τῶν ἰουδαίων ἔθνους καὶ τιμῆς πολλῆς καὶ δωρεῶν πολλῶν καὶ πάντων τῶν πρὸς τὴν ζωὴν ταύτην ἐπιτηδείων ἐν ἀπολαύσει τυγχάνω, καὶ εἰ γένωμαι χριστιανὸς οὐδενὸς τούτων ἐπιτυγχάνω. ὑπολαμβάνω γὰρ οὔτε πατριάρχης τῆς καθολικῆς ἐκκλησίας γίνωμαι οὔτε ἀρχὰς μείζονας ἢ ὑπερεχούσας τιμὰς λαμβάνω παρ' ὑμῶν οὔτε βα-

[1]) Cod. συγγίνομαι.

ἀπιστίᾳ κρίσεως αἰωνίου ὑπεύθυνον σεαυτὸν καταστήσῃς. Ταῦτα ἀκούσας ὁ ἰουδαῖος παρὰ τοῦ χριστιανοῦ λεγόμενα πρὸς αὐτὸν ἀπεδέξατο αὐτὸν εὐχαριστίας τε αὐτῷ τὰς διὰ λόγων προσήγαγε καὶ τοιαῦτα πρὸς αὐτὸν ἀπεκρίνατο· Ἀποδέχομαι τὴν κατὰ θεόν σου ἀγάπην, ὅτι τὰ ὑπὲρ τῆς σωτηρίας τῆς ἐμῆς ψυχῆς σπουδάζων ἀγωνίζῃ χριστιανόν με γενέσθαι προτρεπόμενος, διὸ ὡς ἐπὶ τοῦ θεοῦ τοῦ τὰ κρυπτὰ τῶν καρδιῶν ἐπισταμένου καὶ θεωροῦντος, ἀδόλως καὶ ἀνυποκρίτως καὶ μετὰ πάσης ἀληθείας τοὺς πρός σε λόγους ποιήσομαι. Ὅτι μὲν οὖν παραγέγονεν ὁ ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν προκεκηρυγμένος Χριστὸς [1]) ὁ ὑφ' ὑμῶν τῶν χριστιανῶν προσκυνούμενος πεπληροφόρημαι καὶ ὁμολογῶ τεθαῤῥηκῶς ὡς πρὸς γνήσιόν μου φίλον καὶ τὰ πρὸς εὐεργεσίαν μοι [2]) ἀεὶ σπουδάζοντα. ἀλλ' ἀνθρωπίνῳ λογισμῷ κρατούμενος οὐ γίνομαι χριστιανὸς καὶ ἐν τούτοις καταγινώσκω ἐμαυτοῦ. νῦν γὰρ ἰουδαῖος ὑπάρχων ἀρχηγός εἰμι τῶν ἰουδαίων καὶ τιμῆς πολλῆς καὶ δώρων πολλῶν καὶ πάντων τῶν πρὸς τὴν ζωὴν ταύ-

[1]) Χριστ. addit B. [2]) μου B.

σιλεὺς ἐὰν γίνωμαι ὅπερ ἀδύνατόν ἐστιν. ἵν' οὖν τῶν τερπνῶν τοῦ βίου τούτου μὴ ἐκπέσω καταφρονῶ τῆς μελλούσης ζωῆς, κακῶς γὰρ ποιῶ [1]) τῶν μελλόντων φροντίδα μὴ ποιούμενος· διὰ τοῦτο οὖν οὐ γίνομαι χριστιανός. Ἵνα δὲ καὶ τοὺς λόγους μου ἀληθεῖς τῇ σῇ ἀγάπῃ παραστήσω θαῤῥήσω σοι μυστήριον παρ' ἡμῖν τοῖς ἰουδαίοις ἀποκεκρυμμένον, ἐξ οὗ ἀκριβῶς ἐπιστάμεθα ὅτι ὁ ὑφ' ὑμῶν τῶν χριστιανῶν προσκυνούμενος Χριστὸς αὐτός ἐστιν ὁ ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν κηρυττόμενος. οὐ μόνον γὰρ ἐξ αὐτῶν τῶν γεγραμμένων ἐν τῷ νόμῳ καὶ τοῖς προφήταις πεπληροφορήμεθα περὶ τούτου, ἀλλὰ καὶ ἐκ τοῦ παρ' ἡμῶν (=ἡμῖν) μυστηρίου τοῦ ἀποκεκρυμμένου, οὕτως. Κατὰ τοὺς ἀρχαιοτέρους χρόνους ἡνίκα ὁ ναὸς ἐγένετο ἐν Ἱεροσολύμοις συνίστατο συνήθεια παρὰ τοῖς ἰουδαίοις καθιστᾶν ἱερεῖς εἰς τὸν ναὸν κατὰ τὸν ἀριθμὸν τῶν κβ' γραμμάτων τῶν παρ' ἡμῖν ὄντων, καὶ διὰ τοῦτο καὶ τὰ θεόπνευστα βιβλία κβ' ἀριθμοῦμεν καὶ εἴκοσι δύο ἱερεῖς καθιστῶμεν εἰς τὸν ναὸν κατὰ τὸν ἀριθμὸν ὡς εἴρηται τῶν κβ'

[1]) Cod. ποιῶν.

την ἐπιτηδείων ἐν ἀπολαύσει τυγχάνω [1]). ὑπολαμβάνω δὲ ὅτι εἰ [2]) πατριάρχης τῆς καθολικῆς ἐκκλησίας γένωμαι ἢ ἀρχὰς μείζονας καὶ ὑπεροχὰς λάβω [3]) παρ' ὑμῶν τοσαύτης θεραπείας ἀξιωθήσομαι [4]). ἵνα οὖν μὴ [5]) τῶν δοκούντων τερπνῶν εἶναι ἐν τῷ βίῳ τούτῳ ἐκπέσω καταφρονῶ τῆς μελλούσης ζωῆς κακῶς τοῦτο ποιῶν. ἵνα δὲ τοὺς λόγους μου ἀληθεῖς τῇ σῇ ἀγάπῃ παραστήσω θαῤῥῶ σοι μυστήριον [6]) ὅ ἐστι παρ' ἡμῖν τοῖς ἑβραίοις ἀποκεκρυμμένον, ἐξ οὗ ἀκριβῶς ἐπιστάμεθα ὅτι ὁ ὑφ' ὑμῶν τῶν χριστιανῶν προσκυνούμενος Χριστὸς αὐτός ἐστιν ὁ ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν προκεκηρυγμένος, οὐ μόνον ἐξ αὐτῶν τῶν προγεγραμμένων, ἀλλὰ καὶ ἐκ τοῦ παρ' ἡμῖν ἐναπογράφου καὶ ἀποκεκρυμμένου μυστηρίου. Ἔστι δὲ ὁ λόγος τοῦ μυστηρίου τοιοῦτος· Κατὰ τοὺς ἀρχαίους χρόνους ἡνίκα ὁ ἐν Ἱεροσολύμοις νεὼς [7]) ἐκτίζετο συνήθεια ἦν παρὰ τοῖς ἰουδαίοις ἰσαρίθμους τῶν παρ' ἡμῖν γραμμάτων εἴκοσι δύο τυγχανόντων ἱερεῖς ἐν τῷ ναῷ καθίστασθαι, ὅθεν καὶ τὰ θεό-

[1]) τυγχάνων B. [2]) ἤν B. [3]) λαμβάνω B. [4]) οὐ (= οὐκ) ἀξ. B. [5]) μή πως B. [6]) μυστικῶς P. [7]) ναός B.

γραμμάτων τῶν παρ' ἡμῖν. καὶ κώδιξ ἀπέκειτο ἐν ᾧ ἀπεγράφετο τῶν κβ' ἱερέων ἡ προσηγορία καὶ τὸ ὄνομα τοῦ πατρὸς καὶ τῆς μητρὸς ἑκάστου ἱερέως. τελευτήσαντος οὖν ἑνὸς τῶν εἴκοσι δύο ἱερέων συνήρχοντο οἱ λοιποὶ ἱερεῖς εἰς τὸν ναὸν καὶ κοινὸν ψήφισμα ποιοῦντες ἐκαθέστων ἀντὶ τοῦ τελευτήσαντος ἱερέως ἕτερον ἱερέα εἰς ἀναπλήρωμα τῶν εἴκοσι δύο ἱερέων καὶ ἀπεγράφοντο ἐν τῷ κώδικι· ὅτι ἐν τῇ ἡμέρᾳ τῇδε ἐτελεύτησεν ὁ ἱερεὺς ὁ δεῖνα ὁ υἱὸς τῆςδε καὶ τοῦδε. Τούτου τοῦ ἔθους κρατοῦντος ἐν τοῖς παλαιοῖς ἐν τῷ ἔθνει τῶν Ἰουδαίων συνέβη κατὰ τὸν χρόνον ἐκεῖνον καθ' ὃν ὁ Ἰησοῦς διέτριβεν εἰς τὴν Ἰουδαίαν τελευτᾶσαι ἕνα τῶν εἴκοσι δύο ἱερέων. ἤρξατο δὲ ὁ Ἰησοῦς ἐμφανίζειν ἑαυτὸν καὶ διδάσκειν τοὺς ἀνθρώπους πιστεύειν εἰς αὐτόν. Συνῆλθον οὖν οἱ ἱερεῖς ποιῆσαι ἕτερον ἱερέα ἀντὶ τοῦ τελευτήσαντος ἱερέως καὶ ἑκάστου ψηφιζομένου καὶ προβαλλομένου τὸν ὀφείλοντα γενέσθαι ἀπεδοκίμαζον τοῦτον οἱ λοιποὶ ὡς ἐλλιπῶς ἔχοντα πρὸς ἀρετὴν ἐξ ἧς ὀφείλει κατασταῆναι ἱερεύς. εἰ γὰρ σώφρων ὑπῆρχε καὶ τὸ ἦθος καὶ τὸν βίον οὐ πρόσφορος, ἢ τῷ ἤθει καὶ τῷ βίῳ κεκοσμημένος, τὸν δὲ λόγον καὶ τὴν

πνευστα βιβλία εἴκοσι δύο ἀπαριθμούμεθα [1]. κώδιξ οὖν ἀπέκειτο [2] ἐν τῷ ναῷ ἐν ᾧ ἐπεγράφετο ἑκάστου ἱερέως τῶν κβ' ἡ προσηγορία καὶ τὸ ὄνομα τοῦ πατρὸς [3] καὶ τῆς μητρός. ἑνὸς οὖν τελευτήσαντος τῶν ἱερέων οἱ λοιποὶ συνήρχοντο ἐν τῷ ναῷ καὶ ἐκ κοινοῦ ψηφίσματος [4] καθίστων ἀντὶ τοῦ τελευτήσαντος ἕτερον ἱερέα πληροῦντες τὸν ἀριθμὸν τῶν κβ' ἱερέων. καὶ ἐπεγράφετο ἐν τῷ κώδικι ὅτι τῇδε τῇ ἡμέρᾳ ἐτελεύτησεν ὁ δεῖνα ἱερεύς, ὁ υἱὸς τοῦδε καὶ τῆςδε, καὶ ἀντ' αὐτοῦ προεχειρίσθη ὁ δεῖνα [5]. Τούτου οὖν τοῦ ἔθους κρατοῦντος ἐν τῷ ἔθνει τῶν Ἰουδαίων συνέβη κατὰ τοὺς χρόνους ἐκείνους καθ' οὓς ὁ Ἰησοῦς ἐν τῇ Ἰουδαίᾳ διέτριβε τελευτῆσαι ἕνα ἐκ τῶν κβ' ἱερέων πρὶν ἄρξηται ἐμφανίζειν ἑαυτὸν ὁ Ἰησοῦς καὶ διδάσκειν πιστεύειν τοὺς ἀνθρώπους εἰς αὐτόν. Συνῆλθον οὖν οἱ λοιποὶ ἱερεῖς ἐπὶ τῷ ποιῆσαι ἀντὶ τοῦ τελευτήσαντος ἱερέως ἕτερον ἱερέα καὶ ἑκάστου προβαλλομένου τὸν νομιζόμενον αὐτῷ ἄξιον τοῦ γενέσθαι οἱ λοιποὶ τοῦτον ὡς ἐλλιπῶς ἔχοντα πρὸς

---

[1] ἀπαριθμούμενα B. [2] ἐπέκειτο B. [3] B addit αὐτοῦ. [4] Hic desinit cod. P. Quae sequuntur notae desumptae sunt ex B. [5] Add. ὁ υἱὸς τοῦδε καὶ τῆςδε·

ν ἰδιώτης. Οὕτω δὲ πολ-
ἱερέων ψηφισθέντων καὶ
τηδείων εὑρεθέντων πρὸς
ερωσύνην εἷς τις ἐξ αὐτῶν
; ἐγερθεὶς ἔστη εἰς τὸ μέ-
αὶ λέγει πρὸς αὐτούς· ἴδετε
ἱ πολλοὶ οἱ ὑφ' ὑμῶν ὀνο-
έντες ἀνεπιτήδειοι ὤφθη-
ρὸς τὴν ἱερωσύνην, δέξασθε
κἀμὲ λέγοντα περὶ ἑνὸς
ώπου, ὅπως οὗτος κατα-
ῇ ἱερεὺς ἀντὶ τοῦ τελευτή-
ς ἱερέως· ὑπολαμβάνω γὰρ
ὐδεὶς ἐξ ὑμῶν ἀλλ' οὔτε
τερος ἀποστρέψει τὸ παρ'
γνωριζόμενον ψήφισμα.
δὲ λοιπῶν ἱερέων ἐπιτρε-
ων εἰπεῖν, τίνα βούλεται
τοῦ τελευτήσαντος γενέ-
ἱερέα, λέγει αὐτοῖς· Ἰησοῦν
ἱὸν τοῦ τέκτονος, ὅστις νέος
ἐστιν κατὰ τὴν ἡλικίαν,
δὲ καὶ βίῳ καὶ ἤθεσι κα-
όσμηται, ὑπολαμβάνω δὲ
να τῶν ἐπὶ γῆς ἀνθρώπων
ναί τινα ἐν λόγῳ ἢ ἔργῳ
ῳ ἢ ἤθεσιν τοιοῦτον, καὶ
ωστὸν ὑπάρχει καὶ ἀναν-
τον τοῦτο καὶ ὑμῖν τοῖς
κοῦσιν πᾶσι, γενέσθω οὗτος.
σαντες δὲ τὸν λόγον τοῦ-
ι λοιποὶ ἱερεῖς ἀπεδέξαντο
ἄνδρα καὶ ἐβεβαίωσαν τὸ
σμα, συνεφθέγξαντο δὲ καὶ
ἐπιτήδειον εἶναι ὑπὲρ πάν-
ς τὴν ἱερωσύνην τὸν Ἰη-

ἀρετὴν ἐξ ἧς ὀφείλει καταστῆναι ἱερεὺς ἀπεδοκίμαζον. εἰ γὰρ σοφὸς ἦν ἤθει τε καὶ βίῳ χρηστός, ἐν ἀγνοίᾳ δὲ τοῦ νόμου καὶ τῶν προφητῶν ἐτύγχανεν, ἀπρόσφορος ἱερατείας ἐκρίνετο. Οὕτως οὖν πολλῶν ἱερέων ψηφισθέντων καὶ πάντων ἀποδοκιμασθέντων εἷς τις ἱερεὺς ἐγερθεὶς ἔστη εἰς τὸ μέσον καὶ λέγει τοῖς λοιποῖς· ἰδοὺ πολλοὶ ὑφ' ὑμῶν ὀνομασθέντες ἀνεπιτήδειοι εὑρέθησαν πρὸς ἱερωσύνην, δέξασθε οὖν κἀμὲ λέγοντα περὶ ἑνὸς ἀνθρώπου ὀφείλοντος προχειρισθῆναι ἀντὶ τοῦ τελευτήσαντος ἱερέως. ὑπολαμβάνω γὰρ ὅτι οὐδεὶς ἐξ ὑμῶν ἀπαρεσθήσεται τῷ παρ' ἐμοῦ γενομένῳ ψηφίσματι. Ἐπιτρεψάντων δὲ τῶν λοιπῶν ἱερέων εἶπεν ὅτι βούλομαι ἐγὼ γενέσθαι ἀντὶ τοῦ τελευτήσαντος ἱερέως Ἰησοῦν τὸν υἱὸν Ἰωσὴφ τοῦ τέκτονος, ὅστις νέος μὲν τῇ ἡλικίᾳ ἐστί, λόγῳ δὲ καὶ βίῳ καὶ ἤθεσι χρηστοῖς κεκόσμηται, καὶ ὑπολαμβάνω μηδένα ποτὲ τῶν ἀνθρώπων ὀφθῆναι ἐν λόγῳ ἢ ἐν ἤθεσι τοιοῦτον οἷός ἐστιν οὗτος, καὶ οἶμαι καὶ ὑμῖν πᾶσι τοῖς οἰκοῦσιν ἐν Ἱερουσαλὴμ τοῦτο γνωστὸν καὶ ἀναντίῤῥητον ὑπάρχειν. Ἀκούσαντες δὲ τὸν λόγον τοῦτον οἱ λοιποὶ ἱερεῖς ἀπεδέξαντο τὸν ἄνδρα καὶ

σοῦν. Ἔλεγον δέ τινες μὴ εἶναι αὐτὸν ἐκ φυλῆς Λευιτικῆς, ἀλλ' ἐκ φυλῆς Ἰούδα τυγχάνειν τὸν Ἰωσὴφ καὶ διὰ τοῦτο μόνον διὰ τὸ μὴ εἶναι Λευιτικῆς φυλῆς κωλύεσθαι αὐτὸν γενέσθαι ἱερέα. ὁ δὲ τοῦτον ὀνομάσας ἱερεὺς μικτὸν εἶναι τὸ γένος αὐτοῦ εἶπεν· πρὸ τῆς νομοθεσίας ἐπιμιξία γέγονε τῶν δύο φυλῶν ἐπὶ Ἀαρὼν τοῦ ἱερέως τοῦ μεγάλου καὶ ἐξ ἐκείνου τοῦ γένους εἶναι τὸν Ἰωσήφ. εἰπόντος ἐκείνου οἱ λοιποὶ ἱερεῖς κατέθεντο τῷ ψηφίσματι καὶ κοινῇ βουλῇ πᾶσι τοῖς ἱερεῦσι τοῖς συνεληλυθόσιν ἔδοξε καταστῆναι ἱερέα ἀντὶ τοῦ τελευτήσαντος ἱερέως τὸν Ἰησοῦν. Τὸ δὲ ἔθος τοῦτο [1]) τὸ ἀρχαῖον παρ' αὐτοῖς ἦν οὕτως ὥστε μὴ μόνον τὸ ὄνομα τοῦ γενομένου ἱερέως ἐν τῷ κώδικι ἀπογράφεσθαι, ἀλλὰ καὶ τὸ ὄνομα τοῦ πατρὸς καὶ τῆς μητρὸς καὶ κατάθεσιν αὐτῶν λαβεῖν εἰ ἔστιν αὐτὸς ὁ προχειριζόμενος εἰς τὴν ἱερωσύνην υἱὸς αὐτῶν. Τούτου οὖν πᾶσιν ἀρέσαντος τοῖς ἱερεῦσιν ὁ προχειριζόμενος τὸν Ἰησοῦν ἱερεὺς ἔλεγεν· τὸν μὲν πατέρα τοῦ Ἰησοῦ Ἰωσὴφ τελευτῆσαι, τὴν δὲ τούτου μητέρα ἔτι ζῆν. Συνεῖδον οὖν πάντες καλέσαι τὴν

[1]) Cod. τούτων.

ἐβεβαιώσαντο τὸ ψήφισμα ἐπιτήδειον εἶναι ὑπὲρ πάντα ἄνθρωπον εἰς ἱερωσύνην τὸν Ἰησοῦν εἰρηκότες. ἔλεγον δέ τινες περὶ αὐτοῦ μὴ εἶναι ἐκ φυλῆς Λευί, ἀλλ' ἐκ φυλῆς Ἰούδα τυγχάνειν, τοῦ Ἰωσήφ τε υἱὸν αὐτὸν ὑπολαμβάνοντες εἶναι, οὕτω γὰρ παρὰ Ἰουδαίοις ἐχρηματίζετο, τὸν δὲ Ἰωσὴφ ἐκ φυλῆς Ἰούδα, οὐκ ἐκ φυλῆς Λευὶ [1]) ἐμαρτύρουν πάντα, καὶ τούτου ἕνεκα ὡς τῷ δοκεῖν μὴ ὄντα αὐτὸν ἐκ φυλῆς Λευιτικῆς ἐκώλυον γενέσθαι ἱερέα. ὁ δὲ τοῦτον ὀνομάσας ἱερεὺς ἀποκριθεὶς πρὸς αὐτοὺς εἶπε μικτὸν εἶναι τὸ γένος αὐτοῦ, πάλαι γὰρ ἐν γενεαῖς ἀρχαίαις ἐπιμιξία τις γέγονε τῶν δύο φυλῶν κἀκεῖθεν κατάγεσθαι τὸ γένος τοῦ Ἰωσήφ. Τοῦτο οὖν ἀκούσαντες οἱ λοιποὶ ἱερεῖς συνῄνεσαν τῷ ψηφίσματι καὶ κοινῇ βουλῇ πᾶσι τοῖς συνελθοῦσιν ἱερεῦσιν ἔδοξεν [2]) ἀντὶ τοῦ τελευτήσαντος ἱερέως τὸν Ἰησοῦν καταστῆσαι. τῆς δὲ συνηθείας ἐχούσης μὴ μόνον τὸ ὄνομα τοῦ γινομένου ἱερέως ἀπογραφῆναι ἐν τῷ κώδικι, ἀλλὰ καὶ τοῦ πατρὸς καὶ τῆς μητρὸς αὐτοῦ εἶπόν τινες αὐτῶν ὀφείλειν αὐτοὺς πρῶτον καλέσαι τοὺς γονεῖς καὶ παρ'

[1]) κατάγεσθαι add. [2]) ἔδοξαν.

μητέρα τοῦ Ἰησοῦ εἰς τὸ συνέδριον καὶ μαθεῖν παρ' αὐτῆς (εἰ μήτηρ) ἐστὶ τοῦ Ἰησοῦ καὶ εἰ αὐτὴ ἔτεκεν αὐτὸν καὶ ἀκοῦσαι καὶ τὸ ὄνομα τοῦ ἀνδρὸς αὐτῆς ἀφ' οὗ ἔτεκεν τὸν Ἰησοῦν. Καὶ δὴ τούτου πᾶσιν ἀρέσαντος τοῖς ἱερεῦσιν ἐκάλεσαν τὴν μητέρα τοῦ Ἰησοῦ καὶ εἶπον πρὸς αὐτήν· ἐπειδήπερ ὁ δεῖνα ὁ ἱερεὺς ἐτελεύτησεν, ὁ υἱὸς τοῦδε καὶ τῆςδε, βουλόμεθα ἀντ' ἐκείνου ποιῆσαι Ἰησοῦν τὸν υἱόν σου. ἔθος δέ ἐστιν ἀπογράφεσθαι οὐ μόνον τὸ ὄνομα τοῦ ἱερέως, ἀλλὰ καὶ τὸ τοῦ πατρὸς καὶ τῆς μητρὸς αὐτοῦ, εἰπὲ οὖν ἡμῖν εἰ ὁ Ἰησοῦς υἱός σού ἐστι καὶ εἰ σὺ ἔτεκες αὐτὸν καὶ τὸ ὄνομα τοῦ πατρὸς ἀφ' οὗ τοῦτον ἔτεκες ἵνα ἐγγραφῇ ἐν κώδικι τὸ ὄνομα τοῦ Ἰησοῦ καὶ τὸ σὸν καὶ τοῦ ἀνδρός σου ἀφ' οὗ τοῦτον ἔτεκες αὐτόν (sic). Ἡ δὲ Μαρία ταῦτα ἀκούσασα ἀπεκρίνατο πρὸς τοὺς ἱερεῖς λέγουσα· ὅτι μὲν υἱός μού ἐστιν ὁμολογῶ, καὶ ὅτι ἐγὼ ἐγέννησα αὐτὸν μαρτυροῦσιν οἱ εὑρεθέντες καὶ εὑρεθεῖσαι γυναῖκες ἐμοῦ τικτούσης αὐτόν, ὅτι δὲ πατέρα ἐπὶ τῆς γῆς οὐχ ἔχει πληροφορίαν λάβετε ὡς ἂν βούλησθε. παρθένος γὰρ ὑπάρχουσα καὶ ἐν τῇ Γαλιλαίᾳ διατρίβουσα ἀγ-

αὐτῶν μαθεῖν τὰ ὀνόματα αὐτῶν, λαβεῖν δὲ καὶ κατάθεσιν αὐτῶν εἰ υἱὸς αὐτῶν ἐστιν ὁ πρὸς ἱερωσύνην προχειριζόμενος. καὶ ἤρεσε τοῦτο πᾶσιν. Ὁ οὖν προονομάσας τὸν Ἰησοῦν γενέσθαι ἱερέα ἔλεγε τετελευτηκέναι Ἰωσὴφ τὸν πατέρα Ἰησοῦ, μόνην δὲ τὴν τούτου ζῆν μητέρα. συνῆκαν οὖν ἅπαντες ἀγαγεῖν τὴν μητέρα αὐτοῦ εἰς τὸ συνέδριον καὶ μαθεῖν παρ' αὐτῆς, εἰ μήτηρ τυγχάνει τοῦ Ἰησοῦ καὶ εἰ αὐτὴ ἔτεκεν αὐτόν, καὶ τὸ ὄνομα τοῦ ἀνδρὸς αὐτῆς ἀκοῦσαι ἐξ οὗ ἔτεκε τὸν Ἰησοῦν. Καὶ δὴ τούτου πᾶσιν ἀρέσαντος ἐκάλεσαν τὴν μητέρα τοῦ Ἰησοῦ καὶ εἶπον πρὸς αὐτήν· ἐπειδήπερ ὁ δεῖνα ὁ ἱερεὺς ἐτελεύτησεν, ὁ υἱὸς τοῦδε καὶ τῆςδε, καὶ βουλόμεθα ἀντ' ἐκείνου ποιῆσαι τὸν υἱόν σου Ἰησοῦν, ἔθος δέ ἐστιν ἀπογράφεσθαι τὸ ὄνομα τοῦ πατρὸς καὶ τῆς μητρός, εἰπὲ ἡμῖν εἰ ὁ Ἰησοῦς υἱός σού ἐστι καὶ εἰ σὺ ἔτεκες αὐτόν; Ἡ δὲ Μαρία ἀκούσασα ταῦτα ἀπεκρίνατο λέγουσα πρὸς τοὺς ἱερεῖς· ὅτι μὲν υἱός μού ἐστιν ὁ Ἰησοῦς ὁμολογῶ, ἐγὼ γὰρ ἐγέννησα αὐτόν, καὶ μαρτυροῦσί μοι οἱ εὑρεθέντες καὶ αἱ εὑρεθεῖσαι γυναῖκες τικτούσης μου αὐτόν, ὅτι δὲ οὐχ ἔχει ἐπὶ τῆς γῆς πατέρα πληροφορίαν λάβετε

γελον θεοῦ εἶδον οὐ καθεύδουσα, ἀλλ' ἐγρηγορῶσα καὶ εἰσῆλθεν ἐν ᾧ ἤμην τόπῳ καὶ εὐηγγελίσατό μοι ὅτι ἐκ πνεύματος ἁγίου τέξομαι υἱὸν καὶ αὐτὸς ἐνετείλατό μοι καλέσαι τὸ ὄνομα αὐτοῦ Ἰησοῦν, καὶ τὴν ὀπτασίαν ταύτην ἰδοῦσα παρθένος ὑπάρχουσα συνέλαβον καὶ ἔτεκον τὸν Ἰησοῦν. Ταῦτα ἀκούσαντες οἱ ἱερεῖς ἐκέλευσαν ἐλθεῖν μαίας πιστὰς καὶ προσέταξαν αὐτὰς πολυπραγμονῆσαι αὐτὴν καὶ μαθεῖν εἰ ἔτι παρθένος ἐστὶν ἡ Μαρία. αἱ δὲ πληροφορίαν δεξάμεναι διεβεβαιώσαντο τοὺς ἱερεῖς παρθένον ὑπάρχειν τὴν Μαρίαν. παρεγένοντο δὲ καὶ αἱ εὑρεθεῖσαι γυναῖκες καὶ θεασάμεναι αὐτὴν τίκτουσαν μαρτυροῦσαι ὅτι υἱὸς αὐτῆς ἐστιν ὁ Ἰησοῦς. Ἔκθαμβοι οὖν ἐγένοντο οἱ ἱερεῖς ἐπὶ τοῖς λεγομένοις περὶ τῆς Μαρίας καὶ τῶν μαρτυρούντων περὶ τοῦ τόκου αὐτῆς. ἀποκριθέντες δὲ λέγουσιν πρὸς τὴν Μαρίαν· ἐπειδὴ δέδωκας ἡμῖν σαφῆ τὴν διήγησιν καὶ τὴν ἀπόδοσιν τοῦ πάντως ποιῆσαι τὸν Ἰησοῦν ἱερέα, εἰπὲ ἡμῖν τῷ οἰκείῳ στόματι, τίνος υἱὸς ὑπάρχει ὁ Ἰησοῦς, ἵνα οὕτως γράψωμεν. Ἡ δὲ ἐν παῤῥησίᾳ εἶπεν· ὅτι ἐκ τοῦ ἀγγέλου ἤκουσα υἱὸν θεοῦ εἶναι αὐτὸν τὸν ἐξ ἐμοῦ τικτόμενον

παρ' ἐμοῦ ὡς βούλεσθε. παρθένου γὰρ τυγχανούσης μου καὶ ἐν τῇ Γαλιλαίᾳ διατριβούσης μου ἄγγελος θεοῦ ἐγρηγορώσης μου, οὐ καθευδούσης, εἰσελθὼν ἐν ᾧ ἤμην οἰκήματι εὐηγγελίσατό μοι ἐκ πνεύματος ἁγίου τεκεῖν υἱόν, οὗ τὸ ὄνομα ἐνετείλατο καλέσαι Ἰησοῦν. παρθένος τοίνυν ὑπάρχουσα ταύτην ἰδοῦσα τὴν ὀπτασίαν συνέλαβον καὶ ἐγέννησα τὸν Ἰησοῦν μείνασα παρθένος μέχρι τῆς σήμερον καὶ μετὰ τὸ τεκεῖν με· Ταῦτα ἀκούσαντες οἱ ἱερεῖς ἐκέλευσαν ἐλθεῖν μαίας πιστὰς καὶ ἐπέτρεψαν [1]) αὐταῖς πολυπραγμονῆσαι εἰ ἔτι ἀληθῶς παρθένος ἐστὶν ἡ Μαρία. αἱ δὲ ἐκ τῶν πραγμάτων λαβοῦσαι πληροφορίαν διεβεβαιώσαντο παρθένον αὐτὴν ὑπάρχειν. παρεγένοντο δὲ καὶ αἱ παρευρεθεῖσαι καὶ θεασάμεναι [2]) αὐτὴν τίκτουσαν μαρτυροῦσαι ὅτι υἱὸς αὐτῆς ἐστιν ὁ Ἰησοῦς. Ἔκθαμβοι δὲ γενόμενοι οἱ ἱερεῖς ἐπὶ τοῖς λεγομένοις παρὰ τῆς Μαρίας καὶ τῶν μαρτυρησάντων περὶ τοῦ τόκου αὐτῆς ἀποκριθέντες εἶπον τῇ Μαρίᾳ· εἰπὲ ἡμῖν παῤῥησίᾳ ἵνα ἐκ τοῦ στόματός σου ἀκούσωμεν, τίνος ἐστὶ καὶ τίνος υἱός, ἵνα οὕτως ἀπογραψώμεθα αὐτόν·

---

[1]) ἐπέτρεψειν. [2]) θεασάμενοι.

καὶ ὃν ἐγὼ ἐγέννησα αὐτός ἐστιν ὁ υἱὸς τοῦ θεοῦ καὶ υἱὸς ἐμός, καὶ καλοῦμαι Μαρία καὶ παρθένος ὑπάρχω. Ταῦτα ἀκούσαντες οἱ ἱερεῖς ἤγαγον τὸν κώδικα καὶ ἀπεγράψαντο ταῦτα· ἐν τῇ ἡμέρᾳ τῇδε ἐτελεύτησεν ὁ ἱερεὺς ὁ δεῖνα ὁ υἱὸς τοῦδε καὶ τῆσδε καὶ γέγονεν ἀντ' αὐτοῦ κοινῇ ψήφῳ πάντων ἡμῶν ἱερεὺς Ἰησοῦς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος καὶ Μαρίας τῆς παρθένου καὶ θεοτόκου. Καὶ οὗτος ὁ κώδιξ ἀπήρθη ἀπὸ τοῦ ναοῦ σπουδῇ τῶν τὰ πρῶτα φερόντων παρὰ τοῖς ἰουδαίοις κατὰ τὸν καιρὸν τῆς ἁλώσεως τῶν Ἱεροσολύμων καὶ ἀπόκειται ἐν Τιβεριάδι. καὶ τὸ μυστήριον τοῦτο ὀλίγοις πάνυ πιστοῖς καὶ τοῖς τοῦ ἔθνους ἡμῶν ἔγνωσται [1]), διὸ κἀμοὶ ὡς ἄρχοντι καὶ διδασκάλῳ ἰουδαίων ἀπεκαλύφθη. καὶ οὐ μόνον ἐκ τοῦ νόμου καὶ τῶν προφητῶν πεπληροφορήμεθα ὅτι ὁ ὑφ' ὑμῶν χριστιανῶν προσκυνούμενος Χριστὸς αὐτός ἐστιν ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος ὁ ἐπὶ σωτηρίᾳ τοῦ κόσμου ἐλθὼν ἐπὶ τῆς γῆς, ἀλλὰ καὶ ἐκ τοῦ ἐγγράφου σέσωσται μέχρι καὶ σήμερον καὶ ἀπόκειται ἐν Τιβεριάδι. Ταῦτα ἀκούσας ὁ χριστιανὸς παρὰ τοῦ

[1]) Cod. ἔγνωται.

οὓς γὰρ εἴπῃς ἡμῖν γονέας [1]), τούτους ἡμεῖς καὶ οὐχ ἑτέρους ἀπογραψόμεθα. Ἡ δὲ ἀποκριθεῖσα εἶπεν ὅτι ἐν ἀληθείᾳ ἐγὼ αὐτὸν ἐγέννησα πατέρα αὐτοῦ ἐπὶ γῆς [2]) μὴ ἐπισταμένη, ἀλλὰ παρὰ τοῦ ἀγγέλου ἤκουσα υἱὸν θεοῦ εἶναι αὐτόν· υἱὸς οὖν ἐμοῦ τῆς καλουμένης Μαρίας ἐστὶ καὶ υἱὸς τοῦ θεοῦ καὶ μὴ γημαμένη παρθένος ὑπάρχω. Ταῦτα ἀκούσαντες οἱ ἱερεῖς ἤγαγον τὸν κώδικα καὶ ὑπέγραψαν οὕτως· τῇδε τῇ ἡμέρᾳ ἐτελεύτησεν ὁ ἱερεὺς ὁ δεῖνα, ὁ υἱὸς τοῦδε καὶ τῆσδε, καὶ γέγονεν ἀντ' αὐτοῦ κοινῇ ψήφῳ πάντων ἡμῶν ἱερεὺς Ἰησοῦς, ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος καὶ Μαρίας τῆς παρθένου. Καὶ οὗτος ὁ κώδιξ ἐσώθη ἀπὸ τοῦ ναοῦ σπουδῇ τῶν τὰ πρῶτα φερόντων παρὰ τοῖς ἰουδαίοις κατὰ τὸν καιρὸν τῆς ἁλώσεως [3]) τοῦ ναοῦ καὶ τῶν Ἱεροσολύμων καὶ ἀπόκειται ἐν Τιβεριάδι. καὶ τὸ μυστήριον τοῦτο ὀλίγοις πάνυ καὶ πιστοῖς τοῦ ἔθνους ἡμῶν ἔγνωσται, διὸ καὶ ἐμοὶ ὡς ἄρχοντι καὶ διδασκάλῳ τοῦ ἔθνους τῶν ἰουδαίων ἀπεκαλύφθη. οὐ μόνον γὰρ ἐκ τοῦ νόμου καὶ τῶν προφητῶν πεπληροφορήμεθα ὅτι ὁ ὑφ' ὑμῶν τῶν χριστιανῶν προσκυ-

[1]) γονέους αὐτοῦ. [2]) ἐπὶ τῆς γῆς.
[3]) τῆς ἀναλώσεως.

ἰουδαίου τῷ θείῳ ζήλῳ κινηθεὶς ἔλεγε τῷ ἰουδαίῳ ὅτι εὐθὺς ἀναφέρω τῷ βασιλεῖ τὰ ὑπό σου [1]) λεχθέντα ἵνα πέμψῃ εἰς Τιβεριάδα καὶ φανερὸν ποιήσῃ τὸν κώδικα ὅνπερ σὺ λέγεις εἰς ἔλεγχον τῆς ἀπιστίας τῶν ἰουδαίων. Ὁ δὲ ἰουδαῖος πρὸς τὸν χριστιανὸν ἔλεγεν· τί θέλεις, κύριέ μου, τῆς ἑαυτοῦ ψυχῆς ἐπαγαγεῖν κρῖμα καὶ τῷ βασιλεῖ ἀναγαγεῖν καὶ τοῦ σπουδαζομένου ἐκτὸς γενέσθαι; ἐὰν γένηται τοῦτο τοῖς ἰουδαίοις μέλλει γενέσθαι πόλεμος μέγας, συνέρχονται γὰρ οἱ ἰουδαῖοι καὶ φόνοι πολλοὶ παρακολουθήσουσι καὶ τότε ἐὰν ἴδωσι τὸν τόπον κρατούμενον ἐμπυρίσουσιν αὐτὸν ἔνθα καὶ ὁ κώδιξ ἀπόκειται καὶ μάτην ταῦτα ἔσται τοῦ σπουδαζομένου μὴ κατορθωθέντος καὶ ἐμοὶ δὲ πρόξεν γίνῃ ἀπωλείας· ἐγὼ γάρ σοι ὡς γνησίῳ φίλῳ ἐφανέρωσα ἵνα πληροφορήσω σε ὅτι οὐκ ἐξ ἀγνοίας παραιτοῦμαι τὸν χριστιανισμόν, ἀλλὰ κενοδοξίας καὶ τρυφῆς ἕνεκα. Ταῦτα ἀκούσας παρὰ τοῦ ἰουδαίου ὁ χριστιανὸς καὶ ἡγησάμενος ἀληθῆ εἶναι τὰ ὑπὸ τοῦ ἰουδαίου λεχθέντα τῷ μὲν βασιλεῖ τὸν λόγον οὐκ ἐγνώρισεν ἵνα μὴ τῷ κατὰ θεὸν ζήλῳ ὁ πιστὸς ἐκεῖ-

[1]) Cod. ὑπὸ τοῦ.

νούμενος Χριστὸς αὐτός ἐστιν ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, ὁ ἐπὶ σωτηρίᾳ τοῦ κόσμου ἐλθὼν ἐπὶ γῆς [1]), ἀλλὰ καὶ ἐκ τῆς ἀπογραφῆς ἥτις καὶ σέσωσται μέχρι τῆς σήμερον καὶ ἀπόκειται ἐν Τιβεριάδι.

Ταῦτα ἀκούσας ὁ χριστιανὸς παρὰ τοῦ ἰουδαίου πρὸς αὐτὸν λελεγμένα [2]) τῷ θείῳ ζήλῳ κινηθεὶς ἔλεγε τῷ ἰουδαίῳ ὅτι εὐθὺς καὶ παραχρῆμα ἀναφέρω τῷ πιστῷ καὶ εὐσεβεῖ βασιλεῖ τὰ ὑπό σου λεγόμενα ἵνα πέμψῃ ἐν Τιβεριάδι καὶ φανερώσῃ τὸν κώδικα [3]) ὃν λέγεις εἰς ἔλεγχον τῆς ἀπιστίας τῶν ἰουδαίων. Ὁ δὲ ἰουδαῖος πρὸς τὸν χριστιανὸν ἔλεγε· τί θέλεις κρῖμα τῇ ἑαυτοῦ ψυχῇ [4]) προσαγαγεῖν καὶ ἀναγαγεῖν τῷ βασιλεῖ καὶ μὴ τυχεῖν τοῦ σπουδαζομένου; εἰ γάρ τι τοιοῦτον γένηται, πόλεμος μέγας μέλλει συνίστασθαι καὶ φόνοι παρακολουθήσουσι [5]) καὶ τότε ἐὰν ἴδωσιν ἑαυτοὺς καταπονουμένους ἐμπρήσουσι τὸν τόπον ἐν ᾧ ἀπόκειται ὁ κώδιξ καὶ μάτην κοπιῶμεν τοῦ σπουδαζομένου ἡμῖν μὴ κατορθουμένου, μόνον ἐκχύσεως αἱμάτων πρόξενοι γενόμενοι. ταῦτα γὰρ ὡς

[1]) ἐπὶ τῆς γῆς. [2]) λεγόμενα. [3]) κώνδικα. [4]) κριματίσαι αὐτοῦ ψυχήν. [5]) παρακολουθήσωσι.

νος καὶ μέγας βασιλεὺς κινούμενος ἐκχυθῆναι αἵματα παρασκευάσῃ καὶ τότε οὐδὲ τὸ σπουδαζόμενον (κατορθωθήσεται)· εἰς πολλοὺς δὲ τῶν φίλων καὶ γνωρίμων τὸν λόγον τοῦτον γνωστὸν ἐποίησεν. Ἀκηκοότες οὖν ἡμεῖς παρὰ τοῦ χριστιανοῦ τοῦ ἐπονομαζομένου Φιλίππου οὐ μετρίαν φροντίδα ἐθέμεθα γνῶναι βουλόμενοι εἰ ἀληθὴς ἄρα ὁ λόγος τοῦ ἰουδαίου περὶ τῆς τοῦ Ἰησοῦ ἱερωσύνης καὶ τῆς ἀπογραφῆς τῆς παρὰ τῶν ἰουδαίων γενομένης, καὶ εὕρομεν ἐν τῇ βίβλῳ τῶν ὑπομνημάτων Ἰωσήπου ἐν τῇ Ἐκκλησιαστικῇ Ἱστορίᾳ Εὐσεβίου τοῦ Παμφίλου περὶ ὧν καὶ αὐτὸς μνήμην ποιεῖται ὁ προειρημένος Εὐσέβιος φανερῶς λέγων, ὅτι εἰσῄει εἰς τὸ ἱερὸν ὁ Ἰησοῦς μετὰ τῶν ἱερέων καὶ ἡγίαζε. Τοῦτο εὑρηκότες γράψαντα τὸν Ἰώσηπον ἄνδρα ἀρχαῖον ἐπιστεύσαμεν ὅτι ἱερεὺς ἦν ὁ Ἰησοῦς καὶ τὰ οὖν μετὰ πολὺν χρόνον γεγραμμένα σπουδῇ ἐθέμεθα γνῶναι εἰ ἄρα ἐστὶν ἐκ τῶν θείων γραφῶν τοιοῦτον λόγον εὑρεῖν βέβαιον σὺν τούτοις ἐν τοῖς θεοπνεύστοις λόγοις, καὶ ζητοῦντες εὕρομεν ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου γεγραμμένον ὅτι εἰσῆλθεν ὁ Ἰησοῦς εἰς τὴν συναγωγὴν τῶν ἰουδαίων καὶ ἐπεδόθη αὐτῷ βιβλίον

γνησίῳ φίλῳ φανερὰ πεποίηκα τῇ σῇ ἀγάπῃ ἵνα πιστώσω σε ὅτι οὐκ ἐξ ἀγνοίας παραιτοῦμαι τὸν χριστιανισμόν, ἀλλ' ἐκ κενῆς δόξης. Ταῦτα ἀκούσας παρὰ τοῦ ἰουδαίου ὁ χριστιανὸς καὶ ἀληθῆ εἶναι πιστεύσας [1]) τὰ λεγόμενα παρ' αὐτοῦ τῷ μὲν πιστῷ βασιλεῖ Ἰουστινιανῷ τὸν τοιοῦτον λόγον οὐκ ἐγνώρισεν ἵνα μὴ τῷ θείῳ ζήλῳ ὁ πιστὸς ἐκεῖνος καὶ μέγας βασιλεὺς κινούμενος ἔκχυσιν αἱμάτων παρασκευάσῃ γενέσθαι, καὶ ταῦτα μηδὲ τοῦ σπουδαζομένου κατορθωθέντος· πολλοῖς δὲ τῶν γνωρίμων καὶ φίλων τὸν λόγον τοῦτον ἐποίησε δῆλον, ὃν ἡμεῖς παρὰ τῶν ἀκουσάντων ὑπὸ τοῦ προεξονομασθέντος Φιλίππου τοῦ ἀργυροπράτου μεμαθηκότες φροντίδα οὐ μικρὰν ἐθέμεθα γνῶναι βουλόμενοι εἰ ἄρα ἀληθῶς τοὺς λόγους τούτους ὁ ἰουδαῖος εἴρηκε περὶ τῆς τοιαύτης ἀπογραφῆς. Εὕρομεν οὖν Ἰώσηπον τὸν συγγραφέα τῆς ἁλώσεως Ἱεροσολύμων, οὗ μνήμην πολλὴν Εὐσέβιος ὁ Παμφίλου [2]) ἐν τῇ Ἐκκλησιαστικῇ αὐτοῦ Ἱστορίᾳ ποιεῖται, φανερῶς λέγοντα ἐν τοῖς τῆς αἰχμαλωσίας αὐτοῦ ὑπομνήμασιν, ὅτι Ἰησοῦς ἐν τῷ ἱερῷ μετὰ τῶν ἱερέων ἡγίαζε. Τοῦτο οὖν εὑρόντες λέγοντα τὸν Ἰώσηπον, ἄνδρα ἀρχαῖον ὄντα καὶ οὐ με-

[1]) πιστούσας. [2]) ὁ Παμφίλ.

Ησαΐου τοῦ προφήτου λέγων· πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ ἕνεκεν ἔχρισέ με. καὶ τοῦτο εὑρηκότες ἐν τῷ Εὐαγγελίῳ ἐλογισάμεθα ὅτι εἰ μὴ εἶχεν τάξιν λειτουργικὴν παρὰ τοῖς ἰουδαίοις ὁ Ἰησοῦς, οὐκ ἂν ἐν τῇ συναγωγῇ ἐπεδόθη αὐτῷ βιβλίον ἀναγνῶναι εἰς ἀκοὰς τοῦ λαοῦ. οὔτε γὰρ παρ' ἡμῖν τοῖς χριστιανοῖς ἐν ἐκκλησίᾳ ἔξεστίν (τινα) ἀναγνῶναι βιβλίον τῶν θεοπνεύστων γραφῶν ἐπ' ἄμβωνος εἰ μὴ ἐπὶ κλήρῳ καταλέγεται. Καὶ τοῦτο εὑρίσκομεν ἀναγράψαντα τὸν Ἰώσηπον ἐκ τῶν ὑπομνημάτων, ἔγνωμεν δὲ καὶ ἐκ τοῦ εὐαγγελιστοῦ Λουκᾶ ῥηθησόμενον ὅτι Θεοδόσιος ὁ ἰουδαῖος τἀληθῆ διηγήματα εἶπε πρὸς τὸν προλεχθέντα Φίλιππον τὸν ἀργυροπράτην καὶ ὡς ἀληθεῖ φίλῳ ἐθάῤῥησεν τὸ παρὰ ἰουδαίων κεκρυμμένον μυστήριον τοῦ θεοῦ τοῦτο οἰκονομήσαντος ὃς καὶ ἐν τοῖς πατράσιν ἄνωθεν καὶ ἐξ ἀρχῆς λαλήσας εἵλκυσε τὸν προλεχθέντα Θεοδόσιον τὸν ἰουδαῖον εἰπεῖν τὰ προγεγραμμένα ἵνα δοξάζωμεν τὸν πατέρα καὶ τὸν υἱὸν καὶ τὸ ἅγιον πνεῦμα, τὴν μίαν θεότητα ᾗ πρέπει πᾶσα δόξα, τιμή, κράτος εἰς τοὺς αἰῶνας, ἀμήν.

τὰ πολὺν χρόνον τῶν ἀποστόλων γενόμενον, ἐζητήσαμεν εὑρεῖν καὶ ἐκ τῶν θεοπνεύστων γραφῶν τὸν τοιοῦτον λόγον βεβαιούμενον. Εὕρομεν οὖν ἐν τῷ κατὰ Λουκᾶν Εὐαγγελίῳ [1]) ὅτι εἰσῆλθεν ὁ Ἰησοῦς ἐν τῇ συναγωγῇ τῶν ἰουδαίων καὶ ἐδόθη αὐτῷ βιβλίον καὶ ἀνέγνω Ἡσαΐαν τὸν προφήτην λέγοντα· πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με. Ἀνελογισάμεθα δὲ ὅτι εἰ μὴ τάξιν τινὰ λειτουργικὴν παρὰ τοῖς ἰουδαίοις εἶχεν ὁ Χριστὸς Ἰησοῦς, οὐκ ἂν ἐν τῇ συναγωγῇ ἐδόθη αὐτῷ βιβλίον ἀναγνῶναι εἰς ἀκοὰς τοῦ λαοῦ. οὐδὲ γὰρ παρ' ἡμῖν τοῖς χριστιανοῖς ἐπ' ἐκκλησίας ἔξεστί τινα [2]) ἀναγνῶναι τῷ λαῷ βίβλους τῶν θεοπνεύστων γραφῶν εἰ μή τις ἐν κλήρῳ καταλέγηται. Καὶ ἐκ τῶν ὑπὸ Ἰωσήπου γραφέντων [3]) καὶ ἐκ τῶν ὑπὸ τοῦ εὐαγγελιστοῦ Λουκᾶ ἱστορηθέντων ἔγνωμεν ὅτι Θεοδόσιος [4]) ὁ ἰουδαῖος τὸ προλεχθὲν διήγημα εἰπὼν τῷ μνημονευθέντι Φιλίππῳ τῷ ἀργυροπράτῃ οὐκ ἐπλάσατο [5]) τοῦτο, ἀλλ' ἀληθῶς [6]) ὡς γνησίῳ φίλῳ τῷ Φιλίππῳ τὸ παρὰ ἰουδαίοις ἀποκεκρυμμένον μυστήριον ἐθάῤῥησεν.

[1]) ἁγίῳ εὐαγγ. [2]) τινάς. [3]) Ἐκ (omisso καὶ) τῶν ὑ. Ἰ. οὖν γραφ. [4]) ὁ Θεοδόσιος. [5]) οὐκ ἐψεύσατο. [6]) ἀλλὰ ἀληθῶς.

8. Повѣсть объ Афродитіанѣ и о событіяхъ въ Персидѣ.

Ἀντιβολὴ γεναμένη ἐν Περσίδι μεταξὺ ἑλλήνων, ἰουδαίων τε καὶ χριστιανῶν περὶ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν.

Βασιλεύοντος Ῥηνάτου τῆς Περσῶν χώρας γέγονεν φιλονεικία μεταξὺ χριστιανῶν, ἑλλήνων τε καὶ ἰουδαίων περὶ Διονυσάρου καὶ Φιλίππου τῶν ἱστοριογράφων, καὶ οἱ μὲν ἕλληνες Διονυσάρου προΐστάντο, οἱ δὲ χριστιανοὶ Φιλίππου. Καὶ πολλῶν κινηθέντων συνῆψεν ὁ βασιλεὺς πάντας τοὺς ἐπὶ τῶν χωρῶν [1]) ἐπισκόπους τὸν ἀριθμὸν ἑκατὸν γεναμένους καὶ ἀρχιμανδρίτας οὐκ ὀλίγους ἐν οἷς κἀμὲ προετρέψαντο ὑπαντῆσαι μόνον ὄντα ἐκ Ρωμαϊκῶν, οἱ γὰρ πάντες τῶν μερῶν ἐκείνων ἦσαν. Καὶ ἀθροισθέντων αὐτῶν καὶ ἡμῶν ὁμοῦ συνῆξεν ὁ βασιλεὺς τοὺς πρώτους τῶν ἰουδαίων καὶ λέγει αὐτοῖς· ἐπειδή τινες ἔφησαν τὰς τῶν ἑλλήνων γλώσσας μὴ εἰρηκέναι περὶ Χριστοῦ καί τινων ἀμφιβαλλόντων, δικασταὶ ἀμφοτέρων γενάμενοι τὴν ἀλήθειάν μοι εἴπατε, οὔτε γὰρ ἕλλησιν

[1]) Cod. χώρων.

Τὰ λεγόμενα Περσικά, ἀναγινωσκόμενα εἰς τὴν τράπεζαν τῇ τῆς Χριστοῦ γεννήσεως ἡμέρᾳ καὶ ἐπὶ τὴν αὔριον. Ἀναστασίου Θεουπόλεως ἐξήγησις περὶ τῶν ἐν Περσίδι πραχθέντων.

Βασιλεύοντος Ἀῤῥενάτου τῆς Περσικῆς χώρας καὶ δευτέρου ὄντος Ἀνασάργου τοῦ τῶν ὑπάτων τὰς ὑπατείας ὑπεξουσίως ἔχοντος καὶ τρίτου Διοκλέως τοῦ καὶ τὰς σατραπείας καὶ στρατηγείας χειρίζοντος, καὶ Ἀφροδιτιανοῦ τοῦ τὴν ἀρχιμαγείρου διέποντος ἀξίαν, γέγονεν φιλονεικία κατ᾽ αὐτὴν τὴν χώραν μεταξὺ ἑλλήνων καὶ χριστιανῶν περὶ Διονυσάρου καὶ Φιλίππου τῶν ἱστοριογράφων, καὶ οἱ μὲν ἕλληνες Διονυσάρου προιστάμενοι, οἱ δὲ χριστιανοὶ Φιλίππου. Καὶ πολλῶν κινούντων συνῆξεν ὁ βασιλεὺς πάντας τοὺς τῆς χώρας ἐπισκόπους ὑπὲρ ρ′ γινομένους καὶ ἀρχιμανδρίτας ἐν οἷς κἀμοὶ προετρέψαντο ὑπαντῆσαι μόνον ὄντα ἐκ Ρωμαίων, οἱ γὰρ πάντες τῶν μερῶν ἐκείνων ἦσαν. Καὶ συναθροισθέντες ἤνεγκεν ὁ βασιλεὺς τοὺς ῥεμβεῖς τῶν ἰουδαίων καὶ εἶπεν αὐτοῖς·

μονομερῶς πιστεύω, οὔτε χριστιανοῖς περὶ ἑαυτῶν ἀπολογουμένοις. πᾶσαν οὖν νομομαθείας δέλτον ἐνπόνως ἀναπτύξαντες καὶ τὴν ἔννοιαν ἅπασαν ἐκεῖ ἀποσχολίσαντες μήτε τούτων μήτ' ἐκείνων αἱρούμενοι τὰ φίλα ἐπὶ τὰς ἀηττήτους ἀγάγετε σκηπτουχίας εἰδότες ὡς εἰ ἄλλῃ ἐμποδισθῆτε τάξει πάντων ὑμῶν τὴν ἀπώλειαν αὐθίορον ποιήσω. Οἱ δὲ προσελθόντες εἶπον αὐτῷ· δέσποτα βασιλεῦ, χώραν ἀπολογίας δὸς ἡμῖν. ὁ δέδωκεν αὐτοῖς εἰπών· τὴν θρησκείαν ἣν σέβεσθε ἀμερῶς τοῖς ἄμφω κατανοήσατε. οἱ δὲ εἶπον· μὴ ἐν ὑπονοίᾳ γενηθῶμεν τοῦ σοῦ κράτους οὐκ ἄλλως [1]) λέξομεν (εἰ μὴ) ὧν προσήκει ἀκοῦσαι ἡ κραταιά σου βασιλεία. οὔτε γὰρ ἑλλήνων δυνάμεθα ἀκροᾶσθαι, πόῤῥω γὰρ τῆς ἡμῶν θρησκείας εἰσίν, οὔτε τοῖς φονίοις καὶ μιαροῖς χριστιανοῖς προσέχειν ὅλως τοῖς τυραννήσασιν πᾶν γένος ἀνθρώπων καὶ πάντα τὰ δίκαια τῆς θεϊκῆς μοναρχίας καταρπασάντων (=καθ—) ἀνθρώπῳ ἐνὶ πάντα προσενέγκαντες τὰ ὁμολογούμενα ὃν καλῶς συνειδότες οἱ πατέρες ἡμῶν ἀπώλεσαν, καὶ τὸν θανόντα ὡς ζῶντα ἔχουσιν καὶ ὃν οὐκ ἴδων

[1]) Cod. οὐ καλλῶς.

ἐπειδή τινες ἔφησαν τὰς ἑλλήνων γλωττείας εἰρηκέναι [1]) τι περὶ Χριστοῦ, καί τινες ἕτεροι ἀμφιβάλλουσιν, δικασταὶ ἀμφοτέρων γενόμενοι τὴν ἀκρίβειάν μοι εἴπατε, οὔτε γὰρ ἕλλησιν μονομερῶς πιστεύω, οὔτε χριστιανοῖς περὶ ἑαυτῶν ἀπολογουμένοις. πᾶν οὖν νομομαθὲς δελτίον [2]) ἐμπόνως ἀναπτύξαντες καὶ τὴν ἔννοιαν πᾶσαν ἐκεῖ ἀποσχολίσαντες μήτε τούτων μήτ' ἐκείνων αἱρούμενοι τὰ φίλα ἐπ' ἐμὲ ἀναγάγητε εἰδότες ὡς εἰ ἄλλῃ τινὶ ἐμποδισθείητε τάξει πάντας ὑμᾶς ἀναιρῶ. Εἶπον οὖν· οὐκ ἄλλο λέξομεν, βασιλεῦ, εἰ μὴ ἃ προσήκει ἀκοῦσαι ἡ οὐράνιός σου θειότης. ἀλλ' εἰ δοκεῖ ὑμῖν, ἄχραντοι δεσπόται, ἀμφοτέροις τοῖς μέρεσι κριτὴν δότε τὸν πάνφρονα καὶ ἡμῖν γνήσιον Ἀφροδιτιανόν. καὶ αὐτίκα ὁ βασιλεὺς ἐνέγκας [3]) αὐτὸν ἐκβαλών τε ἐκείνους εἶπεν αὐτῷ· οἱ συγκατήρξαντο [4]) τῆς κατὰ Φιλίππου τοῦ ἱερέως τῶν χριστιανῶν ἀμφισβητήσεως, εἰδὼς οὖν ἐγὼ ὅτι οὔτε τραπέζῃ τέρπει οὔτε οἴνῳ ἡδύνει, ἀλλὰ καὶ συνουσίας ἀποθεῖ καὶ δόξαν μισεῖ καὶ χρήματα ἀποσείει μόνῃ τῇ φιλοσοφίᾳ σχολάζων,

[1]) Cod. ἐοικέναι. [2]) Cod. βέλτιον. [3]) Cod. ὦ βασιλεῦ ἐνέγκης [4]) In primo codice: οἱ σύνεθνοί σου ἤρξαντο.

ὡς ὁρῶντες ἐπικαλοῦνται. ἀλλ' εἰ δοκεῖ ὑμῖν, δέσποτα, ἀμφοτέροις τοῖς μέρεσιν δότε τὸν πανφερῆ καὶ γνήσιον Ἀφροδιτιανόν. Καὶ αὐτίκα ὁ βασιλεὺς εἶπεν· μὰ τὸν Δίαν, θεόλεκτον φωνὴν ἐρεύξασθε σήμερον. καὶ ταχὺ τὸν Ἀφροδιτιανὸν ἐνέγκας ἐκβαλὼν δὲ ἐκείνους εἶπεν αὐτῷ· οἱ σύνεθνοί σου ἤρξαντο τῆς κατὰ Φιλίππου τοῦ ἀρχιερέως τῶν χριστιανῶν ἀμφισβητήσεως. ἰδὼν οὖν ἐγὼ ὅτι οὔτε τραπέζης τέρπει οὔτε οἴνῳ ἡδύνει, ἀλλὰ καὶ συνουσίας ἀποθεῖ [1]) καὶ δόξαν μισεῖ καὶ χρήματα ἀποσείει μόνῃ τῇ φιλοσοφίᾳ σχολάζων. ἀπάντησον οὖν μόνος τῷ τῶν ἱερέων χορῷ πᾶσαν ἀρέσκειαν τῇ ἀληθείᾳ δεικνὺς ὅπως καὶ ἐν τούτῳ τὸ τῆς ἡμετέρας βασιλείας ὑπεραρθήσεται κράτος. Οἱ δὲ ἰουδαῖοι δόλῳ τοῦτον προσεβάλοντο ἵνα τὸ τῶν χριστιανῶν ὄνομα καταπατήσῃ.

Οὗτος δὲ ὁ Ἀφροδιτιανὸς ἕλλην ἦν ᾧ πᾶν στόμα συνάραι λόγον οὐκ ἠδύνατο. ἦν δὲ ἡμῖν οὐκ ὀλίγος ἀγὼν ἐπικείμενος τὸ μὴ ἡττηθῆναι παρὰ τούτου· πᾶσαι γὰρ αἱ τρίχαι τῆς κεφαλῆς ἡμῶν ἔννοιαι ἐγίνοντο ἓν ψιλὸν αὐτοῦ ἐνθύμημα λύσαι μὴ δυνάμενοι. Πάντων

[1]) Cod. ἀποθῆσε.

ἀπαντῆσαι μόνον πεποίηκα τῶν ἀρχιερέων χορῷ πᾶσαν ἀρέσκειαν τῇ ἀληθείᾳ δεικνύντα, ὅπως καὶ ἐν τούτῳ τῆς ἡμετέρας βασιλείας ὑπεραρθήσεται τὸ κράτος. Οἱ δὲ ἰουδαῖοι δόλῳ τοῦτον προσεβάλοντο ἵνα τὸ τῶν χριστιανῶν ὄνομα καταπτύσωσιν.

Οὗτος δὲ ὁ Ἀφροδιτιανὸς ἕλλην ἦν, ᾧ πᾶν στόμα συνάραι λόγον οὐκ ἠδύνατο. ἦν δὲ ἡμῖν οὐκ ὀλίγος ἀγὼν ἐπικείμενος τὸ μὴ ἡττηθῆναι ὑπ' αὐτοῦ· πᾶσαι γὰρ αἱ τρίχες ἡμῶν ἐγένοντο ἔννοιαι, ἓν ψιλὸν [1]) αὐτοῦ ἐνθύμημα λύσαι οὐκ ἠδύνατο (sic). Πάντων οὖν πρὸ τοῦ συνεδρίου πτυξάντων ἀπὸ προσώπου αὐτοῦ καὶ εἰς φυγὴν ὄντων τὰς ἀλόγους αὐτῶν ἐνθυμήσεις ἐκλύων πρὸ τοῦ παρεῖναι αὐτὸν εἶπον τοῖς προσοῦσιν ἐπισκόποις· οὐκ οἴδατε ὅτι ἐνταῦθα ἡ ἄσοφος τὴν πάνσοφον ἐνίκησεν τέχνην; τοιαύτας ἑαυτοῖς ἐλπίδας διδόατε τὸ πάντως ἡττᾶσθαι ὑπ' αὐτοῦ. πᾶσα σοφία Χαλδαίων καὶ Βαβυλωνίων ἥττηται τῇ τοῦ ἁγίου μείρακος ἐκείνου Δανιὴλ θείᾳ ἐννοίᾳ, αὐτὸν μιμούμενοι εἴπωμεν· ἔστιν θεὸς ἐν οὐρανῷ ἀποκαλύπτων βαθέα καὶ ἀπόκρυφα. συνπαραλάβωμεν ἑαυτοῖς Καστιλέα πρεσβύτερον, τὸ

[1]) Cod. ψιλήν.

θῦν πρὸ τοῦ συνεδρίου πτυξάντων ἀπὸ προσώπου αὐτοῦ καὶ εἰς τὸ φυγεῖν ὄντων τὰς ἀλύτους αὐτοῦ μηχανὰς εἶπον τοῖς συνοῦσίν μοι ἐπισκόποις· ὅτι ἐνταῦθα ἡ ἄσοφος τὴν πολύσοφον ἐνίκησεν τέχνην, τοιαύτας ἐλπίδας ἑαυτοῖς διδόατε τὸ πάντως ἡττᾶσθαι ὑπ' αὐτοῦ. πᾶσα γὰρ σοφία Χαλδαίων καὶ Βαβυλωνίων ἥττατο τῇ τοῦ μείρακος ἐκείνου θείᾳ ἐννοίᾳ. αὐτὸν οὖν μιμούμενοι εἴπωμεν· ἔστι θεὸς ἐν οὐρανῷ ἀποκαλύπτων βαθεῖα καὶ ἀπόκρυφα. συμπαραλάβωμεν ἑαυτοῖς καὶ ἡμεῖς Καστιλέα καὶ τὸ πρεσβυτέριον τῶν ἱερῶν καὶ πάντως ἀήττητοι διαμείνωμεν. Καὶ ποιήσαντες νηστείας καὶ λιτανείας [1]) ἤλθομεν ἐπὶ τὸ αὐτὸ ἡμεῖς τε καὶ ἐκεῖνος ὁ τῇ δικαιοσύνῃ ἐγγηράσας, λέγω δὲ Καστέλλιος, καὶ κατασφραγισάμενοι ἅπαντες οἱ ἐπίσκοποι καὶ τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ κατέχοντες τῇ διανοίᾳ εἰσήλθομεν. καὶ δὴ παρῶν ὁ Ἀφροδιτιανὸς καὶ αὐτὸς γηράσας τὸ ὀγδοηκοστὸν ἄγων ἔτος καὶ καθίσαντος αὐτοῦ ἐπὶ θρόνου χρυσοῦ ἐπῆγε [2]) πάντων τὰ πρόσωπα ἐπὶ τὴν αὐτοῦ θέαν, ὁ δὲ ἐπιγνοὺς αὐτοὺς μηδαμῶς δύνασθαι προσρύεσθαι αὐτῷ λέ-

[1]) Cod. λιτανίους. [2]) Cod. ἐπήγη.

πρεσβεῖον τῶν ἱερέων, καὶ πάντως ἀήττητοι διαμείνωμεν. Καὶ ποιήσαντες νηστείαν καὶ λιτανείαν ἦλθον ἐπὶ τὸ αὐτὸ καὶ σὺν αὐτοῖς ὁ τῇ διακοσύνῃ ἐγγυρεύσας Καστιλεύς, καὶ κατασφραγισάμενοι οἱ ἐπίσκοποι τὸ ὄνομα τοῦ Κυρίου κατέχοντες τῇ διανοίᾳ ἐκαθέστησαν, καὶ δὴ παρὼν ὁ Ἀφροδιτιανὸς καὶ αὐτὸς γηράσας ὀγδοηκοστὸν ἄγων ἔτος. Καθίσαντος καὶ αὐτοῦ ἐπὶ θρόνου χρυσοῦ ἐκ λίθων τιμίων, πάντων τὰ πρόσωπα ἐπὶ τὴν γῆν ἐχόντων, ἔγνω αὐτοὺς ὁ Ἀφροδιτιανὸς μηδαμῶς δύνασθαι προσρύεσθαι αὐτῷ καὶ λέγει αὐτοῖς ἀπὸ θεοῦ κατανυγείς· Ἱερεῖς ἡσύχιοι, ἵνα τί ταράσσεσθε; οὐκ ἦλθον οὐδαμῶς λυπῆσαι ὑμᾶς, ἀλλὰ παρακαλέσαι. δύναται ἡ φιλονεικία ἀλύπως διαμεῖναι, θαρροῦντες [1]) τῇ ἀληθείᾳ προσέλθετε ὀρθῶς τῷ πράγματι καὶ ἕξετε νίκην. Καὶ ταῦτα ἀκούσαντες οἱ ἐπίσκοποι ἰσχυρῶς ἀνένηψαν. Εἰρηναῖος ἐπίσκοπος εἶπεν· πρὸς τίνα ἀμφιβάλλει τὸ θεόφοβόν σου νάμα, εἰς Διονύσαρον ἢ εἰς Φίλιππον; εἰ μὲν γὰρ εἰς Διονύσαρον διστάζεις, ὑμέτερός ἐστιν καὶ περὶ αὐτοῦ κρῖναι ὀφείλεις, εἰ δὲ εἰς Φίλιππον, δεῖ ἡμᾶς ἀπολογίαν

[1]) Cod. θαροῦντος.

γει αὐτοῖς ὡς ὑπὸ θεοῦ κατανυγείς· Ἱερεῖς ἡσύχιοι, ἵνα τί ταράσσεσθε; οὐκ ἦλθον λυπῆσαι ὑμᾶς, ἀλλὰ μᾶλλον παρακαλέσαι, δύναται γὰρ φιλονεικία ἀλύπως διαβῆναι. θαῤῥοῦντες οὖν τῇ ἀληθείᾳ προσέλθατε τῷ πράγματι καὶ ἕξετε τὴν νίκην. Καὶ ταῦτα ἀκούσαντες οἱ ἐπίσκοποι ἰσχυρῶς ἀνένηψαν. Ἥρινος ὁ ἐπίσκοπος Βασιρήνης εἶπεν· πρὸς τίνα ἀμφιβάλλει τὸ θεέφοβόν σου νεῦμα, εἰς Διονύσαρον ἢ εἰς Φίλιππον; καὶ εἰ μὲν εἰς Δινύσαρον διστάζεις ὑμέτερός ἐστιν, περὶ αὐτοῦ ὑμεῖς κρῖναι ὀφείλητε. εἰ δὲ εἰς Φίλιππον, δεῖ ἡμᾶς περὶ αὐτοῦ ἀπολογήσασθαι ὡς χριστιανοῖς. Ἀφροδιτιανὸς εἶπεν· καλῶς σοι ἱερεῦ, εἴπερ (sic) ὡς ἤρξω καὶ πληρώσῃς. ὁ δὲ αὐτὸς ἔφη· ἐπὶ στόματος μὲν φέρω τὰ παρὰ Φιλίππου λεχθέντα, ἀλλ' ἵνα μὴ δόξητέ με προσθήκας τινὰς ποιεῖσθαι αὐτὰ τὰ βιβλία ἐνέγκαντες ἀναγνῶτε τῷ κοινῷ. Ἡσίωδος ὁ ἐπίσκοπος εἶπε· καὶ εἰ παρενέγκω βιβλίον καὶ ἀντείπει τι [1]) αὐτῷ ὡς παραφθαρέντι, τί γίνεται; Ἀφροδιτιανὸς εἶπεν· ἐν γνώσει ἔχω εἴ τι παραλείπεται καὶ εἴ τι προστέθηται. καὶ ἠνέχθη ἡ περιαγωγικὴ αὐτοῦ ποιήσασθαι ὡς χριστιανούς [1]). Ἀφροδιτιανὸς εἶπεν· καλῶς ποιεῖς, ἱερεῦ, [2]) ὥσπερ ἤρξω καὶ ἀποτελέσῃς ὁ αὐτὸς ἐπὶ στόματος φέρων τὰ περὶ Φιλίππου. ἵνα δὲ μὴ δόξητέ μοι προσθήκας τινὰς ποιήσασθαι, αὐτὰ τὰ καλούμενα βιβλία ἐνέγκαντες ἀνάγνωτέ μοι. Ἡσίωδος ἐπίσκοπος εἶπε· καὶ εἰ παρενέγκω βιβλίον καὶ ἀντείπει τι αὐτῷ ὡς παραφθαρέντι τι; Ἀφροδιτιανὸς εἶπεν· ἐν γνώσει ἔχω εἴ τι παραλέλειπται καὶ εἴ τι προςτεθήσαται. Καὶ ἠνέχθη ἡ περιαγωγικὴ αὐτοῦ βίβλος ἐν ᾗ χρησμῳδίαι ἑλληνικαὶ ἔκειντο, καὶ προστάττει τῷ παρεστηκότι αὐτοῦ παιδὶ ἀναγνῶναι, ὁ δὲ προσχὼν τὸ βιβλίον ταχέως αὐτὸ ἐξεῖπεν. καὶ λέγει αὐτῷ· ἐκ τοῦ λόγου περὶ Κασσάνδρου ἀναγνῶθι. καὶ ἀνέγνω οὕτως. Κάσσανδρος τελευτᾷ καταλείψας ἀδελφὴν Δοριάδαν καλουμένην, θυγατέραν οὖσαν Πυλάδου τοῦ εἰς Ἑλλάδα ἀναιρεθέντος, ἥντινα ἐπόθησεν Ἄτταλος ὁ τῶν Λακεδαιμόνων βασιλεύς. καὶ εἰσελθὼν ἐπ' εὐνῆς τοῦ καθευδῆσαι μετά της ἔχουσα μάχαιραν ἔπηξεν ἐν καρδίᾳ αὐτοῦ καὶ τὴν βασιλείαν αὐτοῦ κατέσχεν. Καὶ τούτου γενομένου φόβον ἐκτή-

[1]) Cod. ἀντήπητέ.

[1]) Cod. χριστιανοῦ. [2]) Cod. ἱερεύς.

τοῦ βίβλος ἐν ᾗ χρησμῳδαις ἑλληνικαὶ ἐδείκνυντο καὶ προστάττει τῷ παρεστηκότι αὐτῷ παιδὶ ἀναγνῶναι, ὁ δὲ μὴ προσέχων τῷ βιβλίῳ ταχέως αὐτὸ ἐξεῖπεν. καὶ λέγει αὐτῷ· ἐκ τοῦ λόγου τοῦ περὶ Κασσάνδρου ἀναγνῶθι. καὶ ἀνέγνω οὕτως· Κάσσανδρος δὲ τελευτᾷ καταλείψας ἀδελφὴν Δωρίδα καλουμένην θυγατέραν οὖσαν Πυλάδου τοῦ εἰς Ἑλλάδα ἀναιρεθέντος, ἥντινα ἐπόθησεν Ἄτταλος ὁ τῶν Μακεδόνων βασιλεύς, καὶ εἰσελθόντων ἐπ' εὐνὴν ἔχουσα τὴν μάχαιραν ἔπηξεν αὐτὸν εἰς τὴν καρδίαν αὐτοῦ καὶ κατέσχεν αὐτὴ τῆς βασιλείας. Καὶ τούτου γενομένου φόβον ἔσχεν πολὺν ὁ ἀδελφὸς αὐτοῦ Φίλιππος καὶ τοὺς ἀρχαίους κατέλαβεν καὶ ἐκεῖ λαβὼν γυναῖκα ἀδελφὴν Καλλιώπου στρατηγοῦ αὐτῶν καλουμένην Ἀλισβίδαν, ἐζήτουν δὲ ἐκπορθῆσαι τὴν Δωρίδα καὶ τὸ ἔθνος αὐτῆς καὶ ἐφοβοῦντο, πάντα γὰρ τὰ κύκλῳ αὐτῆς ἔθνη ἐρασκόμενοι τοῦ κάλλους αὐτῆς συνυπούργουν αὐτῇ(ν) ὅπως τῷ τυχόντι αὐτῶν παραδῷ ἑαυτὴν εἰς γάμον. Πάντων δὲ φοβουμένων ἀπὸ προσώπου αὐτῆς, ἦν γὰρ πολλοῖς προσβάλλουσα, ἔδοξε τότε τοῖς ἀρχαίοις πέμψαι εἰς Δέλφους κἀκεῖ λαβεῖν χρησμὸν περὶ τούτου. ἀπελ-

σατο πολύν. Ὁ δ' ἀδελφ
τοῦ Φίλιππος τοὺς Ἀ
κατέλαβεν κἀκεῖ λαβὼν
κα Καλλιώπου ἀδελφή
στρατηγοῦ αὐτῶν, ὄνομα
βίδα, ἠξίει (=ἐξῄει?) πο
Δοριάδα καὶ τὸ ἔθνος
ἐφοβοῦντο πάντα τὰ κύκλ
τῆς ἔθνη ἀρεσκόμενα τοῦ
λους αὐτῆς συνυπούργου
τήν, καὶ γὰρ καὶ προλα
πολλοὺς ὀλέσασα πολλ
αὕτη (sic), οὐ γὰρ τετ
παρεδίδου ἑαυτὴν εἰς
Πάντων δὲ φοβουμένω
προσώπου αὐτῆς ἔδοξεν
τοῖς Ἀχαιοῖς πέ(μ)ψαι εἰ
φοὺς κἀκεῖ [1]) λαβεῖν χ
περὶ τούτου. Προσελθόν
ἐκεῖνοι πρὸς Εὐωπτίαν τ
ρέαν εἰς τὸ Κάσταλον ὕδω
των γνῶναι αὐτοὺς ἐφ'
ἦσαν. ἥτις γευσαμένη τ
γαίου ὕδατος εἶπεν οὕτω
λιππος ὁ λίαν τὰς πόλεις
που, Πόντου, Ἀσίας ὑπ
γύρου ἅπαντα κυκλεύοντ
νυπτον στενῇ τύψει. ὀψ
τίς φησιν ἐπὶ τὴν πολυ
ταύτην ἐλάσειε γῆν κα
σφάλματος γενήσεται σάρ
μάτοις δὲ θεότητος ὅρο
των παθῶν λύσει φθορ
τοῦτο φθόνος γενήσεται ὑ

1) Cod. κάκεῖν.

θόντες οὖν πρὸς Εὐωπτίαν τὴν ἱερείαν εἰς τὸ Κάσταλον ὕδωρ ἠρώτουν γνῶναι αὐτοὺς ἐφ᾽ ᾧ παρῆσαν. ἥτις γευσαμένη τοῦ πηγαίου ὕδατος ἀπεκρίνατο οὕτως· Φίλιππος ὀλυμπαποίμνεος πέλλεως (sic) ἰῶν πομποὺς ἄνακτας ὑπερτέρων γύρον ἅπαντα κυκλεύοντα ὀλένυπαν (sic) σθενὴ τύψει. Οἱ δὲ καταγελάσαντες καὶ καταρασάμενοι αὐτὴν εἶπαν· τρισκατάρατε, περὶ γυναικὸς ἠρωτήσαμεν, μὴ γὰρ περὶ ἀνδρὸς ἐκ Μακεδονίας ἤξαντος. Ἡ δὲ λέγει αὐτοῖς· ἔτι ἀήττητοι καιροὶ ἤρξαντο ἀνίστασθαι καὶ αὐτίκα γὰρ κἀκεῖνος καὶ ὁ μετ᾽ αὐτοῦ πάντας νικήσωσιν. καὶ ἀπέστησαν ἀτιμάσαντες τὴν προφήτην καὶ μετῆλθον εἰς τὸ τῆς Ἀθήνας ἱερόν. ἱστοῦ δὲ ὑφαινομένου ἱερατικοῦ καὶ πορφύρας ἐν αὐτῷ βαλλομένης αὐτομολήσαντες εἰσεπήδησαν ἔσω, ἡ δὲ ἱερεία Ξανθίππη ἀγανακτήσασα λέγει αὐτοῖς· κακῇ ὥρᾳ εἰσήλθετε ὧδε, προπετεῖς καὶ ἀνήκοοι. οἵτινες πάλιν ἀγανακτήσαντες ὕβρισαν καὶ αὐτὴν λέγοντες· ἀναξία πάσης τιμῆς καὶ ἀλλοτρία τοῦ ἱερατικοῦ ἤθους, ὑβρίζεις τὴν πορφύραν ἥνπερ οἱ θεοὶ τοῖς βασιλεῦσι ἐχαρίσαντο, δι᾽ ἧς τιμὴν καὶ δόξαν κέκτηνται οἱ φοροῦντες αὐτήν. παῦσαι τοίνυν ἀλλόκοτα λαστου λαοῦ καὶ πρὸς ὕψος κρεμασθήσεται ὡς θανάτου κατάδικος. καὶ ταῦτα πάντα ἑκὼν προσπείσεται φέρειν, θανεὶς δὲ εἰς ζωὴν αἰώνιον [1]). Οἱ δὲ καταγελάσαντες καὶ καταρασάμενοι αὐτὴν εἶπον· τρισκατάρατη εἴης. περὶ γυναικὸς ἐρωτήσαμεν, μὴ περὶ ἀνδρὸς ἐρωτήσαμεν (ὃς) ἐκ Μακεδωνίας ἤρξατο. Ἡ δὲ λέγει αὐτοῖς· ἀήττητοι καιροὶ ἀνίστασθαι ἤρξαντο κἀκεῖνος καὶ οἱ μετ᾽ αὐτοῦ ἄνδρες νικήσουσι· Οἱ δὲ ἀπέστησαν ἀτιμάσαντες τὴν προφήτην καὶ μετῆλθον εἰς τὸ τῆς Ἀθήνης ἱερόν. ἱστοῦ ὑφαινομένου ἱερατικοῦ καὶ πορφύρας ἐπισήμου ἑαυτῷ βαλλομένης αὐτομολήσαντες εἰσεπήδησαν ἔσω. ἡ δὲ ἱερεία Ξανθίππη ἀγανακτήσασα λέγει αὐτοῖς· κακῇ ὥρᾳ εἰσήλθετε ὧδε, προπετεῖς ἀνακόλουθοι. οἵτινες πάλιν ἀγανακτήσαντες ὕβρισαν καὶ ταύτην λέγοντες· ἀναξία πάσης τιμῆς, ἀλλοτρία τοῦ ἱερατικοῦ ἤθους, ὑβρίζεις τὴν πορφύραν ἥνπερ οἱ θεοὶ τοῖς βασιλεῦσιν ἐχαρίσαντο, δι᾽ ἧς τιμὴν καὶ δόξαν κέκτηνται οἱ φοροῦντες αὐτήν. παῦσαι ἀλλόκοτα λαλοῦσα καὶ κατάσθητι ἐκ τῆς ἄνευ οἰνομέθης σου, ὑπερή-

[1]) **Sequitur ὅρῶ quod ex margine in textum translatum esse videtur (ὅρα, ὡραῖον, ὡραιότατον, quae librariorum notae inveniuntur saepissime).**

λοῦσα καὶ κατάστηθι τῆς ἄνευ μέθης οἴνου, ὑπερήφανε καὶ ἀλάζων. Ἡ δὲ λέγει αὐτοῖς· ταῦτα οὐχ ἐμοί, ἀλλὰ τοῖς θεοῖς προσηγάγετε. πάλιν κληδόνα ἀσφαλῆ λαβόντες (πορεύεσθε), ἀνὴρ [1]) γάρ τις ἡβῶν εὐνῆς μιγάδος ἐνεργὲς ὂν κύημα πρυτάνει θεοῦ ἀηττήτου ἀήττητον ἔχων ῥοπήν. τὸν ἀτέρμωνα [2]) κόσμον ὡς ᾠὸν κυκλοῦσιν πάντας δῶρα χωρῆσαι ἀθέμιτα κατὰ τῶν θεῶν εἰπόντες. οἵτινες λέγουσιν· οὐκ ἄλλως χρησιμεύομεν ἑαυτοῖς εἰ μή γε πορευθῶμεν πρὸς Ἀπόλλωνα τὸν καθαρὸν Φοῖβον καὶ μέγαν. Καὶ ἐλθόντες ἐν τοῦ Ἀπόλλωνος ἱερῷ εἶπαν ἐνδεόμενοι· νικηταὶ καθαροὶ καὶ ἄρεστοι θεοί, ἵνα τί οὕτως ποιεῖτε τοῖς ἑαυτῶν δούλοις πόλεμον γυναίκειον νικᾶν αἰτοῦντες, πόλεμον πολέμου ἐμβάλλετε ἡμᾶς; μὴ οὕτως, ἀθάνατοι καὶ ἀληθινοὶ δεσπόται, οἱ τὰ μέγιστα τῆς ὕλης δωρησάμενοι ἡμῖν, ἀλλὰ δότε ἡμῖν (χρησμοὺς) δήλους, τί ἄρα συμβήσεται ἡμῖν. Καὶ ἐξαίφνης ἠνέχθη φωνὴ οὕτως λέγουσα στραφεὶς ὁ τρίπους τρίτην στροφὴν ὁ προφήτης πυθμένι· τριττᾶν (sic) γὰρ τούτων ἑόσφορός τις οὐρανοπεμπεὶς γῆς πεδίσματι παρινῆς (sic) ἔνδον

[1]) Cod. ἀνδρός. [2]) Cod. ἀρτέμωνα.

φανε καὶ ἀλαζών. Ἡ δὲ λέγει αὐτοῖς· ταῦτα οὐκ ἐμοί, ἀλλὰ τοῖς ἀνυβρίστοις προσηγάγετε θεοῖς, κληδόνα ἀσφαλῆ λαβόντες πορεύεσθε. ἀνὴρ γάρ τις ἡβῶν [1]) εὐνῇ μιγάδος ἐνεργὲς ὂν κύημα τρυτάνη θεοῦ ἀηττήτου ἀήττητον ἔχων ῥώμην, τὸν ἀτέρμωνα κόσμον ὡς ᾠὸν κυκλώσει πάντας δόρατι ἀλών. Οἱ δὲ ἐμφυσήσαντες αὐτὴν ἀνεχώρησαν ἀθέμιτα κατὰ τῶν θεῶν εἰπόντες. οἵτινες λέγουσιν. οὐκ ἄλλως χρησιμεύσωμεν ἑαυτοῖς εἰ μή γε πορευθῶμεν πρὸς Ἀπόλλωνα τὸν Φοίβου καὶ μέγα(ν). Καὶ ἐλθόντες ἐν τῷ Ἀπολλωνίῳ ἱερῷ εἶπον δεόμενοι· νικηταὶ καὶ ἄρεστοι θεοί, ἵνα τί οὕτως ποιεῖτε τοῖς ἑαυτῶν δούλοις πόλεμον γυναίκειον νικᾶν αἰτοῦντες, ἐπὶ πόλεμον πολέμου [2]) ἐμβάλλετε ἡμᾶς; μὴ οὕτως, ἀθάνατοι δεσπόται ἀληθινοί, οἱ τὰ μέγιστα τῆς ὕλης δωρήματα δωρησάμενοι ἡμῖν, ἀλλὰ δότε ἡμῖν χρησμοὺς δήλους, τί ἄρα ἀποβήσεται ἡμῖν. Καὶ ἐξαίφνης ἠνέχθη φωνὴ ἀοράτως καὶ στραφεὶς ὁ τρίπους τρίτην στροφήν φησιν ὁ προφήτης πυθμένι· τρίτη γὰρ τούτων ἑοςφόρος τις οὐρανοπεμπεὶς γῆς

[1]) Cod. ἥβων [2]) Leg. esse videtur πόλεμον ἐπὶ πολέμου.

ον οἰκεῖ νηδύι κόρης δέ-[1]) ἑαυτῷ διαπλάττων, ὄνομα ὐτῆς (Μαρία)[2]) δὶς ἑβδο-ντα ἕξ. ὃς τὰς κοιρανίδας τᾶν ἱερὸν ὑμῶν σέβας καθ-ἐπὶ τὴν ἄκραν τῆς παν-υ σοφίας μετάξει παντὸς ος τὸ γῆρας.

ιῦτα ἀκούσας Ἀφροδιτιανὸς ι· ὡς μεγάλα τινά ἐστε δι-ντες ἅπερ φησὶν τὰ καθ' λανθάνουσιν ὅτιπερ περὶ Μακεδόνος καὶ τοῦ Χριστοῦ ι εἴρηται. ἀλλ' ὁ μὲν Μα-ν ἀκαίρως ταῖς ἐπαρχίαις ὶς εὐκαίρως αὐτῶν ἐφέστη-ὁ δὲ Χριστὸς ἡττηθεὶς ἐνίκη-ῶ(ν) ἐπιβούλων καταλύσας πιχειρήματα. Οἱ δὲ ἐπίσκο-ῖπαν· οὐδὲν παρέλιπεν γνώ-ἡ ἔγκριτός σου φιλοσοφία. δὲ τῶν ὑπὸ Φιλίππου χρησ-ἐδίσταζον, ὅθεν εἴ τι ἀλη-; καὶ ὀφελείας ἐστὶν ἐχό-ι μετάδος ἡμῖν τοῖς προσφυ-ιν τῇ γαληνοτάτῃ σωτηρίᾳ. οδιτιανὸς εἶπεν· νομίζετέ με ῖν τὰς εἰρημένας περὶ Χρισ-ὁξας; ἀλλὰ διὰ τὸ μὴ εἶναι ν μίαν καὶ χεῖλος ἓν ἢ νάζειν τὸ περὶ αὐτοῦ μέρος τ' αὐτῶν μέρος πρὸς ἑαυτὸ ιαρεῖσθαι ἢ διστασιάζειν με-ιμένας καὶ αὐτοδόξας εἰσφέ-

[1]) Cod. δεσμάς. [2]) Cod. μυρία (ego saepsi).

πεδίσματι ἔνδον ὑλαίων οἰκεῖ νηδύι κόρης δέμας ἑαυτὸν ἀνα-πλάττων, οὔνομα δὲ αὐτῆς δὶς ἑβδομήκοντα ἕξ. ὃς τὰς κοιρα-νίας καὶ πᾶν ἱερώνυμον καθ-ελὼν σέβας ἐπὶ τὴν ἄκραν τῆς πανολβίου σοφίας μετάξει παν-τὸς ἐλέους τὸ κέρας.

Ἀφροδιτιανὸς εἶπεν· ὡς με-γάλα τινά ἐστε διδάξαντες ἅπερ φησὶν τοῖς καθ' ἡμᾶς λανθάνου-σι ὅτεπερ περὶ τοῦ Μακεδόνος καὶ τοῦ Χριστοῦ ἡμῶν εἴρηται. ἀλλ' ὁ μὲν Μακεδὼν ἀκαίρως ταῖς ἐπαρχίαις Περσῶν ἐπιβὰς εὐκαίρως αὐτῶν ἀφέστηκεν, ὁ δὲ Χριστὸς γεννηθεὶς ἐνίκησεν τῶν ἐπιβούλων τὰ ἐπιχειρήματα. Οἱ ἐπίσκοποι εἶπον· οὐδὲν παρ-έλειψεν γνώσεως ἡ σοὶ ἔγκριτος φιλοσοφία περὶ τῶν ὑπὸ Φιλίπ-που χρησμῶν ἐδίσταζεν, ὅθεν εἴ τι ἀληθείας καὶ ὀφελείας ἐστὶν ἐχόμενον μετάδος τοῖς προσφοιτῶσι τῇ γαληνότητι τῆς σωτηρίας. Ἀφροδιτιανὸς εἶπεν· νομίζετε ἀγνοεῖν με τὰς εἰρη-μένας περὶ Χριστοῦ δόξας; ἀλλὰ τὸ μὴ εἶναι φωνὴν μίαν καὶ χεῖλος ἓν ἢ πλεονάζειν τὸ περὶ αὐτοῦ μέρος ἢ καὶ αὐτὸ τὸ μέ-ρος περὶ ἑαυτὸ μὴ διαιρεῖσθαι ἢ διστασιάζειν μεμερι(σ)μένας καὶ αὐτοδόξας εἰσφέρει ἰουδαίων ἄλλως λεγόντων περὶ αὐτοῦ. καὶ γὰρ καὶ ταῖς αὐτῶν περίετυχον

ρειν ἰουδαίων ἄλλως λαλούντων περὶ αὐτοῦ. καὶ γὰρ καὶ ταῖς αὐτῶν περιέτυχον βίβλοις καὶ τὰς ὑμῶν ἔγνω· καὶ αἱ μὲν γραφαὶ εὐσύστατοι, οἱ δὲ μερίζοντες αὐτὰς ἀσύμφωνοι, διὰ τοῦτο ἄπιστα μενεῖ τὰ τῶν χριστιανῶν ὑπὸ ἰδίας ἀμφιβολίας καταπατούμενοι ὡς ἀσύντσκτοι καὶ ἄβουλοι ὄντες. Οἱ ἐπίσκοποι εἶπαν· καὶ ποῖον ἔθνος οὐ διαμάχεται ἑαυτῷ ἐκ πρώην καὶ δεύτερον; ἰουδαῖοι, ἕλληνες, Σαμαρεῖται ἀπειροθρήσκως ζῶντες καὶ οἱ τοῦ Βουδδᾶ παῖδες. καὶ γὰρ καὶ οἱ ἰουδαῖοι καὶ Σαμαρεῖται λέγουσιν μὲν Χριστὸν μήπω δὲ ἐλθόντα, ἕλληνες δὲ καὶ ἄκοντες τὰς περὶ αὐτοῦ δόξας ἐκήρυξαν. Ἀφροδιτιανὸς εἶπεν· ἀλλ' οὐχ ὑμεῖς ὀφείλετε διαβάλλεσθαι οἱ πᾶν ἔθνος ὑπεραναβῆναι δυνάμενοι, πλὴν ἐὰν ἀνέχεσθε λέγω ὑμῖν περὶ Χριστοῦ μυριοπλασίους χρήσεις, τὸ δὲ οὕτως ἀντιλέγεσθαι κατ' αὐτῶν ὑπὸ τῶν αὐτοῦ μερίζει μου τὸν νοῦν, καὶ οὐ μόνον τοῦτο, ἀλλ' ὅτι καὶ τὸ ἔθνος αὐτοῦ παντὶ ἔθνει ψεύδονται ἀλήθειαν μηδέποτε εἰπεῖν δυνάμενοι μηδὲ ἐπ' ἔννοιαν λαβόντες, ἀλλὰ καὶ ἀδικοῦσιν καὶ μυσαρὰς μίξεις ἀγαπῶσιν καὶ θυμώδεις καὶ ἄλλος ἄλλον σπεύδει ἀπολέσαι ἕκαστος ὡς δοκεῖ πιστεύων τῷ βουλήματι

γραφαῖς καὶ τὰς ὑμῶν ἔγνω· καὶ αἱ μὲν γραφαὶ ἀσύστατοι, οἱ δὲ χωρίζοντες αὐτὰς ἀσύμφωνοι, διὰ τοῦτο ἄπιστα μένει τὰ τῶν χριστιανῶν ὑπὸ ἰδίας ἀμφιβολίας καταπαυόμενα ὡς ἀσύστατοι καὶ ἄβουλοι ὄντες. Οἱ ἐπίσκοποι εἶπον· καὶ ποῖον ἔθνος οὐ διαβάλλεται ἑαυτῷ καὶ ἐκ πρώην καὶ δεύτερον; ἰουδαῖοι γὰρ μάχονται Σαμαρείταις, ἕλληνες ὡσαύτως ἀπειροθρήσκως ζῶντες. καὶ γὰρ ἰουδαῖοι καὶ Σαμαρεῖται λέγουσιν μὲν Χριστὸν μηδέπω διελθόντα, ἕλληνες δὲ καὶ ἄκοντες τὰς περὶ αὐτοῦ δόξας ἐκήρυξαν καθάπερ καὶ οἱ πρὶν προφῆται ἐκήρυξαν. Ἀφροδιτιανὸς εἶπε· ἀλλ' οὐχ ὑμεῖς ὀφείλετε διαβάλλεσθαι οἱ πᾶν ἔθνος ὑπεραναβεβηκέναι λεγόμενοι, πλὴν ἐὰν ἀνέχεσθε λέγω ὑμῖν περὶ Χριστοῦ μυριοπλασίους χρήσεις, τὸ δὲ οὕτως ἀντιλέγεσθαι τὰ κατ' αὐτοῦ ὑπὸ τῶν αὐτοῦ μερίζει μου τὸν νοῦν, καὶ οὐ μόνον τοῦτο, ἀλλ' ὅτι καὶ οἱ τοῦ ἔθνους αὐτοῦ παντὶ σθένει ψεύδονται ἀλήθειάν ποτε ἐν πενίᾳ μὴ λαμβάνοντες καὶ ἀδικοῦσιν καὶ μυσαρὰς μίξεις ἀγαπῶσι καὶ μυθάδεις εἰσὶν καὶ ἄλλος ἄλλον σπεύδει ἀπολέσαι [1]) ἕκαστος ὡς δοκεῖ πιστεύων τὸ

[1]) Cod. ἀπολέσει.

τῆς παραδόσεως προκρίνοντες, ὅπερ ταῦτα ἀνοίκεια τῆς ἀληθοῦς θρησκείας. Διὸ παρακαλῶ ὑπομνηματικῶς ἀκοῦσαί μου καὶ πιστεύω ὀφελῆσαι καὶ ὀφεληθῆναι· εἰ γὰρ ὀφελήσω ὑμᾶς ἐγὼ ὠφελήθην. ὅτι ἂς προσφέρετέ μοι εὐφημίας οὐκ ἀποδέχομαι, οὐδὲν γάρ εἰμι· πάντα γὰρ τὰ πρὸς χάριν μισῶ καὶ πᾶσαν ἀνθρωπίνην δόξαν παραιτοῦμαι, εἴ τι δὲ πρὸς ἀλήθειαν ὁρᾷ [1]) τοῦτο ἥδομαι [2]), καὶ εἴ τι πρὸς δικαιοσύνην τοῦτο χαίρω. Καὶ οὐ φιλοδοξῶν ταῦτα λέγω, μή μοι γὰρ γένοιτο πρὸς ἀρέσκειαν ἀνθρώπων πρᾶξαι τι, ἀλλ' εἴ τι τοῖς θεαρέστοις νόμοις δοκεῖ ταῦτα λαλεῖν καὶ ταῦτα πράττειν. πλήν, ἱερεῖς ἀγαθοί, οὐ γὰρ χριστιανῶν λέγω ὑμᾶς ἱερεῖς, ἀλλὰ θείας δυνάμεως λειτουργούς, προσέχετέ μου τοῖς λόγοις ὡς πρέπει τῇ ἱερότητι ὑμῶν.

Ἐκ Περσίδος ἐγνώσθη ἀπ' ἀρχῆς ὁ Χριστός, οὐδὲν γὰρ λανθάνει τοὺς ἐν αὐτῇ νομομαθεῖς ἅπαντας φιλοπονοῦντας. ὡς γὰρ ἐν ταῖς χρυσαῖς ἀρηλαρίαις κεῖνται ἐν τοῖς ἱεροῖς βιβλίοις λέξω ὅτι πρῶτον [3]) ἐνταῦθα τῶν ἱερῶν ἤκουσται ὄνομα Χριστοῦ. τὸ γὰρ ἱερὸν τῆς

[1]) Cod. ἐρᾷ. [2]) Cod. τούτου κίδομαι. [3]) Cod. πρώτους.

βούλημα τῆς παραδόσεως προκρίνοντες, ἅπερ ταῦτα ἀνοίκεια τῆς ἀληθοῦς θρησκείας. Διὸ παρακαλῶ ὑπομνη(μα)τικῶς ἀκοῦσαί μου καὶ πιστεύω ὀφελῆσω καὶ ὀφεληθῆναι· εἰ γὰρ ὀφελήσω ὑμᾶς ἐγὼ ὠφελήθην. ὅτι ἂς προσφέρετέ μοι εὐφημίας οὐ καταδέχομαι, οὐδὲν γάρ εἰσιν· πάντα γὰρ τὰ πρὸς χάριν μισῶ καὶ πᾶσαν ἀνθρωπίνην δόξαν παραιτοῦμαι, εἴ τι δὲ πρὸς ἀλήθειαν ὁρᾷ τοῦτο ἥδομαι καὶ εἴ τι πρὸς δικαιοσύνην ἐστὶν τοῦτο χαίρω. Καὶ οὐ φιλοδοξῶν ταῦτα λέγω, μή μοι γένοιτο πρὸς ἀρέσκειαν ἀνθρώπων πρᾶξαι τι, ἀλλ' εἴ τι τοῖς θεαρέστοις νόμοις δοκεῖ ταῦτα λέγειν, ταῦτα πράττειν. πλήν, ἱερεῖς ἀγαθοί, οὐ γὰρ χριστιανῶν λέγω ὑμᾶς ἱερεῖς, ἀλλὰ θείας δυνάμεως λειτουργούς, προσέχετέ μοι τοῖς λόγοις ὡς πρέπει τῇ ἱερότητι ὑμῶν.

Ἐκ Περσίδος ἐγνώσθη Χριστὸς ἀπ' ἀρχῆς, οὐδὲν γὰρ λανθάνει τοὺς ἐν αὐτῇ νομομαθεῖς ἅπαντα φιλοπονότας. ὡς γὰρ ἐν ταῖς χρυσαῖς ἀρηλαρίαις κεκόλλαπται καὶ κεῖνται ἐν τοῖς ἱεροῖς βασιλείοις λέξω ὅτι πρῶτον ἐκ τῶν ἐνταῦθα ἱερῶν ἠκούσθη ὄνομα Χριστοῦ. τὸ γὰρ ἱερὸν τῆς Ἥρας ὅ ἐστιν ἐπέκεινα τῶν βασιλικῶν μελάθρων

Ηρας [1]) ὅ ἐστιν [2]) ἐπέκεινα [3]) τῶν βασιλικῶν μελάθρων ὅπερ Κύρος ὁ βασιλεὺς πάσης εὐσεβείας γνώστης κατεσκεύασεν καὶ ἀνέθηκεν ἐν αὐτῷ θεῶν ἀνδριάντας χρυσοῦς καὶ ἀργυροῦς καὶ ἐκόσμησεν (αὐτοὺς) λίθοις πολυτελέσι καὶ ἵνα μὴ τὰ τῆς κοσμήσεως λέγων διασύρω. Κατ' ἐκείνας τὰς ἡμέρας ὡς αἱ γεγραμμέναι πτύχαι διδάσκουσιν εἰσελθόντος τοῦ βασιλέως ἐν τῷ ἱερῷ λύσιν ὀνειράτων δέξασθαι ἔφη αὐτῷ ὁ ἱερεὺς Προϋπίππιος· συγχαίρω σοι, δέσποτα, ὅτι ἡ Ἥρα [4]) ἐν γαστρὶ ἔλαβεν. ὁ δὲ βασιλεὺς ὑπομειδιάσας λέγει αὐτῷ· ἡ θανοῦσα ἐν γαστρὶ ἔχει; ὁ δὲ ἱερεὺς ἔφη· ναί, ἡ θανοῦσα ἀνέζησεν καὶ ζωὴν γεννᾷ. ὁ δὲ βασιλεὺς ἔφη· τί τοῦτο; σαφήνισόν μοι. ὁ δὲ ἱερεὺς εἶπεν· ἀληθῶς, δέσποτα, καιρίως ἔφθασας τὰ ἐνταῦθα· πᾶσαν γὰρ τὴν νύκτα ταύτην ἔμειναν τὰ ἀγάλματα χορεύοντα τά τε ἀνδρικὰ καὶ τὰ γυναικεῖα λέγοντα ἀλλῆλα· δεῦτε συγχαρῶμεν τῇ Ἥρᾳ. καὶ λέγουσί μοι· προφῆτα, ὕπαγε, σύγχαιρε τῇ Ἥρᾳ ὅτι ἐφιλήθη. ἐγὼ δὲ εἶπον· τίς εἶχεν φιληθῆναι εἰ μὴ οὖσα; ἀντιλέγουσιν ἐκεῖνα· ἀνέζησεν

[1]) Cod. τοῦ γὰρ ἱεροῦ τῆς ἱερᾶς. [2]) Cod. ὅς ἐστιν. [3]) Cod. ἐπέκειντα. [4]) Cod. ἱερά.

ὅπερ Κύρος ὁ βασιλεὺς ὁ πάσης εὐσεβείας γνωστὸς κατεσκεύασεν καὶ ἀνέθηκεν (ἐν) ἑαυτῷ θεῶν ἀνδριάντας χρυσοῦς καὶ ἀργυροῦς καὶ ἐκόσμησεν αὐτοὺς λίθοις πολυτελέσι ἵνα μὴ τὰς τῆς κοσμήσεως διασύρω τὸν λόγον. Κατ' ἐκείνας δὲ τὰς ἡμέρας ὡς αἱ γεγραμμέναι (π)τύχαι διδάσκουσιν [1]) εἰσελθόντος τοῦ βασιλέως ἐν τῷ ἱερῷ λύσιν ὀνειρατείων δέξασθαι ἔφη αὐτῷ ὁ ἱερεὺς Προύπεπτος· συγχαίρω σοι, δέσποτα, ἡ Ἥρα ἐν γαστρὶ ἔλαβεν. ὁ δὲ βασιλεὺς μειδιάσας λέγει αὐτῷ· ἡ θανοῦσα ἐν γαστρὶ ἔχει; ὃς ἔφη· ναί, ἡ θανοῦσα ἀνέζησεν καὶ ζωὴν γεννᾷ. καὶ ὁ βασιλεύς· τί τοῦτο; σαφήνισόν μοι. ὁ δὲ ἔφη· ἀληθῶς, δέσποτα, καιρίως [2]) ἔφθασας τὰ ἐνταῦθα· πᾶσαν γὰρ τὴν νύκταν ταύτην τὰ ἀγάλματα ἔμειναν χορεύοντα τά τε ἀνδρικὰ τά τε γυναικεῖα λέγοντα ἀλλήλοις· δεῦτε συγχαιρῶμεν τῇ Ἥρᾳ. καὶ λέγουσί μοι· προφῆτα, ὕπαγε, σύγχαιρε τῇ Ἥρᾳ ὅτι ἐφιλήθη. ἐγὼ δὲ εἶπον· τίς εἶχεν φιληθῆναι εἰ μὴ οὖσα; αὐτίκα λέγουσί μοι· ἀνέζησε καὶ οὐκέτι λέγεται Ἥρα, ἀλλ' Οὐρανία, μέγας γὰρ Ἥλιος ἐφίλησεν αὐτήν.

[1]) Cod. διδάσκουσαι. [2]) Cod. καὶ κυρίως.

καὶ οὐκέτι λέγεται Ἥρα, ἀλλ' Οὐρανία, μέγας γὰρ Ἥλιος ἐφίλησεν αὐτήν. αἱ δὲ θελεῖαι πρὸς τοὺς ἄνδρας ἔλεγον δῆθεν τὸ πρᾶγμα εὐτελίζουσαι· πηγὴ ἦν ἡ φιληθεῖσα, μὴ γὰρ Ἥρα (τέκτονα ἐμνηστεύσατο). Καὶ λέγουσιν οἱ ἄνδρες· ὅτι μὲν πηγὴ δικαίως εἴρηται ἀποδεχόμεθα, Μαρία [1]) δὲ αὐτῆς τοὔνομα ἥτις ἐν μήτρᾳ ὡς ἐν πελάγει μυριάγωνον [2]) ὁλκάδα φέρει. εἰ δὲ καὶ πηγὴ αὕτη οὕτω νοείσθω· πηγὴ γὰρ ὕδατος καὶ πηγὴ πνεύματος ἀενναίζει ἕνα μόνον ἰχθὺν ἔχουσα τῷ τῆς θεότητος ἀγκίστρῳ λαμβανόμενον τὸν πάντα κόσμον ὡς ἐν θαλάσσῃ διαπινόμενον καὶ τῇ ἰδίᾳ σαρκὶ τρέφων. καλῶς ἔφητε τέκτονα ἔχειν ἐκείνην, οὗτος γὰρ ὁ γεννώμενος τέκτων ὁ τοῦ τεκτονάρχου παῖς τὸν τρισύστατον τῶν οὐρανῶν ὄροφον ἐτεκτόνησεν πανσόφοις τέχναις τὴν τρικάτοικον ταύτην στεγότητα λόγῳ πήξας. Εμειναν οὖν τὰ ἀγάλματα φιλονεικοῦντα περὶ Ἥρας καὶ ὁμοφώνως εἶπαν· πληρουμένης τῆς ἡμέρας τὸ ἀσφαλὲς ἅπαντες καὶ ἅπασαι γνωσόμεθα. νῦν οὖν, δέσποτα, παράμεινον τὸ λοιπὸν τῆς ἡμέρας, πάντως γὰρ ἕξει τὸ πρᾶγμα τελείαν δήλωσιν, τὸ γὰρ ἀνα-

[1]) Cod. μυρία. [2]) Cod. μυριάγωγον.

αἱ δὲ θηλεῖαι πρὸς τοὺς ἄνδρας ἔλεγον δῆθεν τὸ πρᾶγμα εὐτελίζουσαι· πηγή ἐστιν ἡ φιληθεῖσα, μὴ γὰρ Ἥρα τέκτονα ἐμνηστεύσατο. Καὶ λέγουσιν οἱ ἄνδρες· ὅτι μὲν πηγὴ δικαίως εἴρηται ἀπ(οδ)εχόμεθα, Μαρία δὲ αὐτῆς τοὔνομα ἥτις ἐν μήτρᾳ (ὡς) ἐν πελάγει μυριάγωνον ὁλκάδα φέρει. εἰ δὲ καὶ πηγὴ αὕτη οὕτω νοείσθω· πηγὴ γὰρ ὕδατος πηγὴν πνεύματος ἀενναίζει ἕναν μόνον ἰχθὺν ἔχουσα τῷ τῆς θεότητος ἀγκίστρῳ περιλαμβανόμενον ὡς ἐν θαλάσσῃ διαγενόμενον ἰδίᾳ σαρκὶ τρέφοντα. καλῶς ἔφη τέκτονα [1]) ἐμνηστεύσατο· τέκτονα γὰρ ἐκείνη ἔχει, ἀλλ' οὐκ ἐκ λέχους ὃν τίκτει τέκτονα. οὗτος γὰρ ὁ γεννώμενος τέκτων ὁ τοῦ τεκτονάρχου παῖς τὸν τρισυπόστατον οὐρανοῦ ὄροφον ἐτεκτόνησεν πανσόφοις τέχναις τὴν τρικάτοικον ταύτην στεγότητα λόγῳ πήξας. Ἔμειναν οὖν τὰ ἀγάλματα φιλονεικοῦντα περὶ Ἥρας καὶ πηγῆς καὶ ὁμοφώνως εἶπον· πληρουμένης τῆς ἡμέρας τὸ σαφὲς ἅπαντες καὶ ἅπασαι γνωσόμεθα. νῦν οὖν, δέσποτα, παράμεινον τὸ λοιπὸν τῆς ἡμέρας, πάντως γὰρ ἕξει τὸ πρᾶγμα τελείαν δήλωσιν. Μείναντος δὲ τοῦ βασι-

[1]) Cod. τέκνον.

κύψαν οὐκ ἔστι τοῦτο τυχών. Μείναντος δὲ τοῦ βασιλέως ἐκεῖ καὶ θεωροῦντος τὰ ἀγάλματα αὐτομάτως κινυρίστριαι [1]) ἤρξαντο κρούειν ταῖς κινύραις καὶ αἱ μοῦσαι ᾄδειν καὶ ὅσα ἦν ἔνδον τετράποδα καὶ πετεινὰ ἀργυρᾶ καὶ χρυσᾶ ἕκαστον τὴν ἰδίαν ἀπετέλει φωνήν. Τοῦ δὲ βασιλέως ἀκούσαντος καὶ φριχιάσαντος καὶ ὅλου φόβου πλησθέντος ἤμελλεν ἀναχωρεῖν, οὐκ ἔφερε γὰρ τοῦ αὐτοματισμοῦ τὸν τάραχον, λέγει αὐτῷ ὁ ἱερεύς· ἀνάμεινον, βασιλεῦ, παρέστη γὰρ τελεία ἀποκάλυψις ἣν θεὸς θεῶν σαφηνίσαι ἡμῖν παρεστήσατο. Τούτων δὲ οὕτως λεχθέντων διηνοῖχτο ὁ ὄροφος καὶ κατῆλθεν ἀστὴρ λαμπρὸς καὶ ἔστη ἐπάνω τῆς στήλης τῆς πηγῆς καὶ φωνὴ ἠκούσθη τοιαύτη· δέσποινα πηγή, ὁ μέγας Ἥλιος ἀπέστειλέ με μηνύσαι σοι ἅμα δὲ καὶ διακονῆσαί σοι τὰ πρὸς τόκον ἀμίαντον γάμον ποιούμενος πρός σε πατὴρ τοῦ πρώτου, πάντων ταγμάτων γινομένη νύμφη τριονύμου νομοθεσίας οὖσα. καλεῖται δὲ τὸ ἄσπορον βρέφος ἀρχὴ καὶ τέλος· ἀρχὴ μὲν σωτηρίας, τέλος δὲ ἀπωλείας. Καὶ ταύτης τῆς φωνῆς δοθείσης ἅπαντα τὰ ἀγάλματα

[1]) Cod. κινύραι.

λέως ἐκεῖ καὶ θεωροῦντος τὰ ἀγάλματα αὐτομάτως αἱ κινυρίστριαι ἤρξαντο κρούειν [1]) τὰς κινύρας καὶ αἱ μοῦσαι ᾄδειν [2]) καὶ ὅσα ἦν ἔνδον τετράποδα καὶ πετεινὰ ἀργυρᾶ καὶ χρυσᾶ ἕκαστον ἀπετέλει τὴν ἰδίαν φωνήν. Τοῦ δὲ βασιλέως φριχιάσαντος καὶ ὅλως φόβου πλησθέντος καὶ μέλλοντος ἀναχωρεῖν, οὐκ ἔφερε γὰρ τοῦ αὐτοματισμοῦ τὸν τάραχον, λέγει αὐτῷ ὁ ἱερεύς· ἀνάμεινον, βασιλεῦ, παρέστη γὰρ τελεία ἀποκάλυψις ἣν θεὸς θεῶν σαφηνίσαι ἡμῖν ἡρετίσατο. Τούτων δὲ οὕτως λεχθέντων διηνοίχθη ὁ ὄροφος καὶ κατῆλθεν ἀστὴρ λαμπρὸς καὶ ἔστη ἐπάνω τῆς πηγῆς καὶ φωνὴ ἠκούσθη τοιαύτη· δέσποινα [3]) πηγή, ὁ μέγας Ἥλιος ἀπέστειλέ με μηνύσαι σοι ἅμα δὲ καὶ διακονῆσαι τὰ πρὸς τόκον ἀμίαντον, τόκον ποιουμένης (sic) πρός σε, ὦ μῆτερ τοῦ πρώτου, πάντων τῶν ταγμάτων γινομένη νύμφη τριονύμου μονοθείας οὖσα. καλεῖ(ται) δὲ τὸ ἄσπορον βρέφος ἀρχὴ καὶ τέλος· ἀρχὴ μὲν σωτηρίας, τέλος δὲ ἀπωλείας. Καὶ ταύτης τῆς φωνῆς δοθείσης ἅπαντα τὰ ἀγάλματα ἔπεσον ἐπὶ πρόσωπον

[1]) Cod. κροῦσιν. [2]) Cod. ἄδυνα. [3]) Cod. δέσποτα.

ἔπεσαν ἐπὶ πρόσωπον μόνης τῆς πηγῆς ἱσταμένης ἐν ᾗ [1]) ηὕρηται παγὲν διάδημα βασιλικὸν ἔχον ἐπάνω αὐτοῦ ἐξ ἄνθρακος καὶ σμαράγδου λιθοκόλλητον ἀστέρα, ὑπεράνω δὲ αὐτῆς ἵστατο ὁ ἀστήρ. Ταχὺ δὲ προστάττει ὁ βασιλεὺς ἐνεχθῆναι πάντας τοὺς σοφούς. τῶν δὲ κηρύκων ταῖς σάλπιγξιν ἐπισπευδόντων πάντας ἅπαντες ὁμοθυμαδὸν παρεγένοντο, ὡς δὲ ἴδον τὸν ἀστέρα ἐπάνω τῆς πηγῆς καὶ τὸ διάδημα ἅμα τῷ ἄστρῳ καὶ τῷ λίθῳ τά τε ἀγάλματα ἐπ' ἐδάφους κείμενα εἶπαν· βασιλεῦ, ῥίζα ἔνθεος καὶ βασιλικὴ ἀνέκυψεν οὐρανίου καὶ ἐπιγείου βασιλέως χαρακτῆρα φέρουσα, ἡ γὰρ πηγὴ Μαρίας [2]) τῆς Βηθλεεμίτιδός ἐστιν θυγάτηρ, τὸ δὲ διάδημα βασιλικὸς τύπος, ὁ δὲ ἀστὴρ οὐρανίου βασιλέως ἐστὶν μήνυμα ἐπὶ γῆς θεραπευόμενον. ἐξ Ἰούδα ἀνέστη βασιλεία ἥτις πάντα τῶν Ἰουδαίων ἐξάρει τὰ μνημόσυνα, τὸ δὲ τοὺς θεοὺς ἐδαφισθῆναι τέλος τῆς τιμῆς αὐτῶν ἔφθασεν, ὁ γὰρ ἐλθὼν πρεσβυτέρας [3]) ἀξίας ὢν πῶς τοὺς νεάζοντας ἐν αὐταῖς ἐάσει; νῦν οὖν, βασιλεῦ, πέμψον εἰς Ἱεροσόλυμα, εὑρήσεις γὰρ τὸν υἱὸν τοῦ παντοκράτορος σωμα-

[1]) Cod. ἐνί. [2]) Cod. Καρίας. [3]) Cod. πρεσβύτερος.

μόνης τῆς πηγῆς ἱσταμένης ἐν ᾗ εὕρη τὸ παγὲν διάδημα βασιλικὸν ἔχον ἐπάνω αὐτοῦ ἐξ ἄνθρακος καὶ σμαράγδου λιθοκόλλητον ἀστέρα, ὑπεράνω δὲ αὐτῆς ἵστατο ὁ ἀστήρ. Ταῦτα θεασάμενος ὁ βασιλεὺς ἐνεχθῆναι τοὺς σοφοὺς σημειολύτας ὅσοι ἦσαν ὑπὸ γῆν βασιλείας αὐτοῦ προσέταξεν εὐθέως. τῶν δὲ κηρύκων ταῖς σάλπιγξιν ἐπισπευδόντων παρεγένοντο πάντες εἰς τὸ ἱερόν, ὡς δὲ ἴδον τὸν ἀστέρα ἐπάνω τῆς πηγῆς καὶ τὸ διάδημα τῶν ἀστέρων λίθων τά τε ἀγάλματα ἐπ' ἐδάφους κείμενα εἶπον· βασιλεῦ, ῥίζα ἔνθεος καὶ βασιλικὴ ἀνέκυψεν οὐρανίου καὶ ἐπιγείου βασιλέως χαρακτῆρα φέρουσα, ἡ γὰρ πηγὴ Μαρίας τῆς Βηθλεεμίτιδός ἐστιν θυγάτηρ, τὸ δὲ διάδημα βασιλικὸς τύπος, ὁ δὲ ἀστὴρ οὐρανίου ἐστὶν μήνυμα ἐπὶ γῆς τερατευόμενον. ἐξ Ἰούδα ἀνέστη βασιλεία ἥτις πάντων τῶν Ἰουδαίων ἐξαίρει μνημόσυνον, τὸ δὲ τοὺς θεοὺς ἐδαφισθῆναι τέλος τῆς τιμῆς αὐτῶν ἔφθασεν, ὁ γὰρ ἐλθὼν πρεσβυτέρας ἀξίας ὢν τοὺς νεάζοντας ἐν αὐτῇ σείσει. νῦν οὖν, βασιλεῦ, πέμψον εἰς Ἱεροσόλυμα, εὑρήσεις γὰρ τὸν υἱὸν τοῦ παντοκράτορος σωματικῶς ἀγκάλας γυναικείας [1])

[1]) Accus. dativi loco.

τικῶς σωματικαῖς γυναικείαις ἀγκάλαις βασταζόμενον. Ἔμεινεν δὲ ὁ ἀστὴρ ἐπάνω τῆς πηγῆς τῆς κεκλιμένης Οὐρανίας ἄχρις ἂν ἐξῆλθον οἱ μάγοι καὶ τότε μετ' ἐκείνων ἐπορεύθη. ἑσπέρας δὲ βαθείας ἐφάνη ἐν τῷ αὐτῷ ἱερῷ Διόνυσος [1]) μετὰ τῶν σατύρων λέγων τοῖς ἀναθήμασι· πηγὴ οὐκέτι μία ἐξ ἡμῶν, ἀλλ' ὑπὲρ ἡμᾶς χρηματίζει· ὑπὲρ ἡμᾶς γὰρ δοξασθήσει γεννῶσα ἄνθρωπον θείας τύχης [2]) τὸ σύλλημα. ἱερεῦ Προϋπίππιε, τί καθέζῃ ἐνταῦθα πράττων οὐδέν; πράξις τις ἔφθασεν ἔγγραφος καθ' ἡμῶν καὶ μέλλομεν ὑπ' ἐμπράκτου προσώπου ἐλέγχεσθαι ὡς ψευδεῖς· ἃ ἐφαντάσαμεν ἐφαντάσαμεν, ἃ ἤρξαμεν ἤρξαμεν, οὐκέτι χρησμοὺς διδόαμεν. ἤρθη ἀφ' ἡμῶν ἡ τιμή, ἄδοξοι καὶ ἀγέραστοι γεγόναμεν, εἷς μόνος ἐκ πάντων τὴν ἰδίαν ἀναλαβὼν τιμήν. οὐκέτι Πέρσαι γῆς καὶ ἀέρος φόρους τελοῦσιν, ὁ γὰρ στήσας αὐτὰ πάρεστιν πρακτικοὺς φόρους τῷ πέμψαντι προσκομίζων καὶ τὴν εἰκόνα τῇ εἰκόνι συντιθεὶς καὶ τὸ ἀνόμοιον ἐφ' ὁμοίῳ συ(ν)διδούς. οὐρανὸς συγχαίρει, ἡ δὲ γῆ καυχᾶται οὐράνιον δεχομένη καύχημα· ἃ

[1]) Cod. add. οὐ quod omisi. [2]) Cod. τύχεως.

βασταζόμενον. Ἔμεινεν δὲ ὁ ἀστὴρ ἐπάνω τῆς πηγῆς τῆς κεκλιμένης Οὐρανίας ἄχρις ἂν ἐξῆλθον οἱ μάγοι καὶ τότε μετ' αὐτῶν ἐπορεύθη. ἑσπέρας δὲ καταλαβούσης βαθείας ἐφάνη ἐν τῷ αὐτῷ ἱερῷ Διόνυσος μετὰ τῶν σατύρων λέγων τοῖς ἀναθήμασιν· ἡ πηγὴ οὐκ ἔστι μία ἐξ ἡμῶν, ἀλλὰ ὑπὲρ ἡμᾶς χρηματίζει· ὑπὲρ ἡμᾶς τινα γεννᾷ ἄνθρωπον θείας ὄντα τύχης σύλλημα [1]). ἱερεῦ Προύπιπτε, τί καθέζῃ ἐνταῦθα πράττων; πράξις τις ἔγγραφος ἔφθασεν καθ' ἡμῶν καὶ μέλλομεν ὑπὸ ἐμπράκτου προσώπου ἐλέγχεσθαι ὡς ψευδεῖς· ἃ ἐφαντάσαμεν ἐφαντάσαμεν, ἃ ἤρξαμεν ἤρξαμεν, οὐκέτι χρησμοὺς δίδωμεν. ἤρθη ἀφ' ἡμῶν ἡ τιμή, ἄδοξοι καὶ ἀγέρα(σ)τοι γεγόναμεν, εἷς μόνος ἐκ πάντων τὴν ἰδίαν ἔχει ἀναλαβὼν τιμήν. εἶπον Μηθροβάδῃ· οὐκέτι Πέρσαι γῆς καὶ ἀέρος φόρους ἀπαιτοῦσιν, ὁ γὰρ κτίσας αὐτὰ πάρεστιν πρακτικοὺς φόρους τῷ πέμψαντι προσκομίζειν, ὁ τὴν παλαιὰν εἰκόνα ἀνακτίζων καὶ τῇ εἰκόνι τὴν εἰκόναν συντιθεὶς καὶ τὸ ἀνόμοιον ἐφ' ὁμοίῳ συνδιδούς· οὐρανὸς τῇ γῇ συγχαίρει, ἡ δὲ γῆ καυχᾶται οὐράνιον δεχομένη καύχημα· ἃ

[1]) Cod. σόλυμα.

οὐ γέγονεν ἄνω γέγονεν κάτω, ὃν ἡ εὐδαιμονῶσα τάξις οὐκ εἶδεν ἡ δυσμενῶσα θεωρεῖ. ἐκείνοις φῶς ἠπείλει, τούτοις δὲ δρόσος παρέστη τῆς καριᾶς [1]) · ἡ εὐτυχία πηγὴν κατὰ τὴν Βηθλεὲμ τεκεῖν πεποίηκεν. Τίς ἡ τῆς πηγῆς χάρις οὐρανοπόθητον γενέσθαι καὶ χάριν χάριτος συλλαβεῖν; Ἰουδαία ἤνθησεν, αὐτίκα δὲ μαραίνεται, τοῖς ἐθνικοῖς καὶ ἀλλογενέσι σωτηρία ἦλθε, τοῖς ταλαιποροῦσιν ἀνάψυξις πλεονάζει. ἀξίως αἱ γυναῖκες χορεύουσαι λέγουσιν· Κυρία πηγὴ ναματοφόρε, ἡ οὐρανίου φωστῆρος γεναμένη μήτηρ, ἡ ἀπὸ καύσωνος τὸν κόσμον δροσίζουσα νεφέλη! μνημόνευε τῶν σῶν ἱκετίδων, φίλη δέσποινα. Ὁ οὖν βασιλεὺς μηδαμῶς ἀναμείνας, ἀλλὰ παρευθὺ πέμψας μετεκαλέσατο τοὺς ὑπὸ τὴν βασιλείαν αὐτοῦ μάγους καὶ ἀπέστειλεν αὐτοὺς εἰς Ἱεροσόλυμα μετὰ δώρων τὴν ἅπασαν ἀκρίβειαν καταμαθεῖν τοῦ ἀστέρος αὐτοὺς ὁδηγοῦντος. ὡς δὲ ὑπέστρεψαν διηγήσαντο τοῖς τότε πάλιν ἅπερ καὶ αὐτὰ χρυσοῖς πετάλοις ἀνεγράφη οὕτως· Φθάσαντες γὰρ τὰ Ἱεροσόλυμα τὸ μὲν σημεῖον ἅμα τῇ παρουσίᾳ [2]) τοῦτο,

[1]) τ. καρ. lectio incerta. [2]) Quaedam exciderunt.

οὐ γέγονεν ἄνω κάτω γέγονεν, ὃν ἡ εὐδαιμονοῦσα τάξις οὐκ εἶδεν ἡ δυσδαιμονοῦσα θεωρεῖ. τίς τῆς πηγῆς ἡ χάρις οὐρανοπόθητον γενέσθαι καὶ χάριν χάριτος συλλαβεῖν; ἡ Ἰουδαία ἤνθησεν, αὐτίκα δὲ μαραίνεται, τοῖς ἐθνικοῖς καὶ ἀλλογενέσι σωτηρία ἦλθε, τοῖς ταλαιποροῦσιν ἀνάψυξις πλεονάζει, ἀξίως αἱ γυναῖκες χορεύουσιν λέγουσαι· Κυρία πηγὴ [1]) ναματοφόρε, οὐρανίου φωστῆρος γενομένη μήτηρ, ἡ ἀπὸ καύματος δροσίζουσα τὸν κόσμον νεφέλη! μνημόνευε τῶν σῶν ἱκετίδων, φίλη Οὐρανία. Ὁ δὲ βασιλεὺς μηδαμῶς χρόνον τινὰ ἀναμείνας τοὺς [2]) ὑπὸ τὴν βασιλείαν αὐτοῦ ἔπεμψεν μάγους μετὰ δώρων τοῦ ἀστέρος αὐτοῖς (=αὐτοὺς) ὁδηγήσαντος. ὡς δὲ ὑπέστρεψαν διηγήσα(ν)το τοῖς τότε πάντα ἅπερ καὶ αὐτὰ χρυσοῖς πετάλοις ἀνεγράφη οὕτως· Φθάσαντες γὰρ τὰ Ἱεροσόλυμα τὸ μὲν σημεῖον τοῦ ἀστέρος ἅμα τῇ παρουσίᾳ ἡμῶν πάντας ἐκίνησε· τί τοῦτο, φησίν, Περσῶν σοφοὺς παρεῖσαι μετὰ ἀστεροφανείας; καὶ ἠρώτων ἡμᾶς οἱ πρῶτοι τῶν Ἰουδαίων· τί τὸ ἐσόμενον καὶ δι' ὃ πάρεστε; [3]) Καὶ εἴπομεν

[1]) Cod. πηγῆς. [2]) Cod. τῶν. [3]) Cod. πάρεστι.

φησίν, Περσῶν σοφοὺς φανῆναι μετὰ ἀστροφανείας; καὶ ἠρώτουν ἡμᾶς οἱ πρῶτοι τῶν Ἰουδαίων· τί τὸ ἐσόμενον καὶ δι' ὃ πάρεστε; καὶ εἴπαμεν αὐτοῖς· ὃν λέγετε Μεσσίαν ἐτέχθη. οἱ δὲ ἐθορυβοῦντο καὶ ἀντισθῆναι ἡμῖν οὐκ ἐτόλμουν, οἱ δὲ πάλιν εἶπαν ἡμῖν· τὴν οὐράνιον δίκην εἴπατε ἡμῖν τί ἔγνωτε. ἡμεῖς δε εἴπαμεν αὐτοῖς· ἀπιστίαν νοσεῖτε καὶ οὔτε χωρὶς ὅρκου οὔτε μεθ' ὅρκου πιστεύετε, ἀλλὰ τῷ ἀβούλῳ ἑαυτῶν σκοπῷ ἐξακολουθεῖτε, ὁ γὰρ Χριστὸς ὁ τοῦ ὑψίστου παῖς ἐγεννήθη καταλύων τὸν νόμον ὑμῶν καὶ τὰς συναγωγὰς καὶ διὰ τοῦτο ὑπὸ μανίας ἀρίστης κατατοξευόμενοι οὐχ ἡδέως ἀκούετε τὸ ὄνομα τοῦτο ὅπερ ἐπέστη αἰφνίδιον καθ' ὑμᾶς. οἱ δὲ καθ' ἑαυτοὺς βουλευσάμενοι παρεκάλεσαν ἡμᾶς δεξαμένους δῶρα σιωπῆσαι τὸ τοιοῦτον πρᾶγμα ἐκ ταύτης τῆς χώρας ἵνα μὴ ἀποστασία εἰς ἡμᾶς γένηται. ἡμεῖς δὲ εἴπαμεν· δῶρα ἡμεῖς πρὸς τιμὴν αὐτοῦ ἐνέγκαμεν πρὸς τὸ κηρύξαι ἅπερ γέγονεν μεγαλεῖα ἐν τῇ χώρᾳ ὑμῶν ἐν τῷ γεννᾶσθαι αὐτόν, καὶ (ὑμεῖς) λέγετε λαβεῖν τὰ ὑμέτερα δῶρα τὰ τῆς ὑπουρανίου θεότητος δημοσιευθέντα κρύψαι καὶ τοῦ ἰδίου βασιλέως ἡμῶν τὰ ἐντάλματα καταλιπεῖν. ἢ οὐχ

αὐτοῖς· ὃν λέγετε Μεσσίαν ἐτέχθη. οἱ ἐθορυβοῦντο καὶ ἀντισθῆναι ἡμῖν οὐκ ἐτόλμουν, εἶπον δὲ ἡμῖν· τὴν οὐράνιον δίκην εἴπατε ἡμῖν τί ἔγνωτε, καὶ εἴπομεν αὐτοῖς· ἀπιστίαν νοσεῖτε καὶ οὔτε χωρὶς ὅρκου οὔτε μεθ' ὅρκου πιστεύετε, ἀλλὰ τῷ ἀβούλῳ ἑαυτῶν ἐξακολουθεῖτε (σκοπῷ), ὁ γὰρ Χριστὸς ὁ τοῦ Ὑψίστου παῖς ἐγεννήθη καταλύσων τὸν νόμον ὑμῶν καὶ τὰς συναγωγὰς καὶ διὰ τοῦτο ὑπὸ μανίας ἀρίστης κατατοξευθέντες οὐχ ἡδέως ἀκούετε τὸ ὄνομα τοῦτο ὅπερ [2]) αἰφνίδιον ἐπέστη καθ' ὑμῶν. οἱ δὲ καθ' ἑαυτῶν βουλευσάμενοι παρεκάλεσαν ἡμᾶς δεξαμένους δωρεὰς πεῖσαι ἐκ ταύτης τῆς χώρας τὸ τοιοῦτον κεφάλαιον ἀφανίσαι ἵνα μὴ ἀποστασία εἰς αὐτοὺς γένηται. ἡμεῖς δὲ εἴπομεν· δῶρα ἡμεῖς πρὸς τιμὴν αὐτοῦ ἠνέγκαμεν πρὸς τὸ κηρύξαι ἅπερ γέγονεν ἐν τῇ χώρᾳ ὑμῶν μεγαλεῖα ἐν τῷ γεννᾶσθαι αὐτόν, καὶ (ὑμεῖς) λέγετε λαβόντας ἡμᾶς δῶρα τὰ ὑπουρανίου θεότητος δημοσιευθέντα κρύψαι καὶ τὰ τοῦ ἰδίου βασιλέως ἐντάλματα παρελθεῖν. ὅτι οὐκ ἔστε [1]) ὅσην Ἀσσυρίων ἐδέξασθε πεῖραν; οἱ

---

[1]) Cod. ἄπερ. [2]) Correxit librarius ex ἐστιν.

ἤσθετε ὅσην Ἀσσυρίων ἐδέξασθε πεῖραν; οἱ δὲ φοβηθέντες καὶ πάμπολλα παρακαλέσαντες ἡμᾶς ἀπέλυσαν. Τοῦ δὲ βασιλεύοντος τῆς Ἰουδαίας μεταστειλαμένου ἡμᾶς καὶ λαλήσαντος ἡμῖν τίνα οἴδετε καὶ ἐπερωτήσαντος κατὰ ἀκρίβειαν εἴπαμεν αὐτῷ, ἅπερ ἀκούσας ἐθολώθη ὅλος καὶ ἀπέστημεν ἀπ' αὐτοῦ μὴ προςσχόντες αὐτῷ εἰ μὴ ἑνὶ εὐτελεῖ. ἤλθαμεν δὲ ἔνθα ἀπέστημεν καὶ ἴδομεν τὴν γεννήσασαν καὶ τὸν γεννηθέντα τοῦ ἀστέρος δεικνύοντος τὸ δεσποτικὸν βρέφος. εἴπαμεν δὲ αὐτῇ τῇ μητρί· τίς καλεῖ(ς) σε, περίφημε μῆτερ; ἥτις λέγει· Μαρία, δεσπόται. Πόθεν ὁρμωμένη; ἡ δὲ λέγει· ἐκ ταύτης, φησί, τῆς Βηθλεο(μι)τῶν χώρας. Οὐκ ἔσχες ἄνδρα; ἡ δὲ ἔφη· μεμνήστευμαι μόνον πρὸς γαμιαῖον σύμβουλον, μεριζομένης δέ μου τῆς διανοίας οὐκ ἠβουλόμην γὰρ ὡς εἰς τοῦτο ἐλθεῖν. πάνυ δὲ ὀλιγωρούσης μου σαββάτου διαφαί(ν)οντος καὶ ἡλίου εὐθὺς ἀνατείλαντος ἐπέστη μοι ἄγγελος εὐαγγελιζόμενός μοι τόκον τινὰ καὶ θορυβηθεῖσα ἀνέκραξα· μηδαμῶς μοι τοῦτο, κύριε, ἄνδρα γὰρ οὐκ ἔχω. καὶ ἐπίστωσέν με βουλήσει θεοῦ τὸν τόκον τοῦτον ἔχειν. Ἡμεῖς δὲ εἴπαμεν αὐτῇ· μήτηρ μητέρων, ἅπαντες οἱ θεοὶ τῶν

δὲ φοβηθέντες καὶ πάνπολλα παρακαλέσαντες ἀπέλυσαν ἡμᾶς. Τοῦ δὲ βασιλεύοντος τῆς Ἰουδαίας μεταστειλαμένου ἡμᾶς καὶ λαλήσαντος ἡμᾶς τινα καὶ ἐρωτήσαντος ἅτινα εἴπομεν αὐτῷ εἰς ἅπερ καὶ ἐθολώθη [1]) ὅλος. ἀπέστημεν ἀπ' αὐτοῦ μὴ προςέχοντες αὐτῷ εἰ μὴ ἑνὶ εὐτελεῖ. ἤλθομεν δὲ εἰς ὃ ἀπεστάλημεν καὶ ἴδομεν τὴν γεννήσασαν καὶ τὸ γεννηθὲν τοῦ ἀστέρος δεικνύντος ἡμῖν τὸ δεσποτικὸν σημεῖνον. εἴπομεν δὲ τῇ μητρί· τί καλῇ, περίφημε μῆτερ; ἡ (δὲ) λέγει· Μαρία, δεσπόται· καὶ εἴπομεν αὐτῇ· πόθεν ὁρμωμένη; ἡ ἔφη· ἐκ ταύτης, φησί, τῆς Βηθλεεμιτῶν χώρας. Καὶ ἡμεῖς· οὐκ ἔσχες ἄνδρα; ἥ φησι· μεμνήστευμαι μόνον πρὸ γαμιαίων γενομένων συμβόλων, μεριζομένης δέ μου τῆς διανοίας οὐκ ἠβουλόμην δὲ εἰς τοῦτο ὅλως ἐλθεῖν. πάνυ ὀλιγωρούσης μου σαββάτου διαφαύσαντος καὶ ἡλίου εὐθὺς ἀνατείλαντος ἐπέστη μοι ἄγγελος εὐαγγελιζόμενός μοι τόκον τινὰ ἐξαίφνης καὶ θορυβηθεῖσα ἀνέκραξα· μηδαμῶς μοι τοῦτο, κύριε, ἄνδρα γὰρ οὐκ ἔχω. καὶ ἐπιστώσατό μοι βουλήσει θεοῦ τὸν τόκον τοῦτον ἔχειν. Ἡμεῖς δὲ εἴπομεν αὐτῇ·

[1]) Cod. ἐθολώθην.

Περσῶν ἐμακάρισάν σε, τὸ καύχημά σου μέγα, ὑπερῆρας γὰρ πάσας τὰς ἐνδόξους γυναῖκας (καὶ) πασῶν βασιλίδων βασιλικωτέρα ἐφάνης. Τὸ δὲ παιδίον ἐπὶ τῆς γῆς ἐκάθητο δεύτερον ὡς ἔλεγεν αὕτη παρὰ μικρὸν ἔτος ἄγων τῆς τεκούσης χαρακτῆρα ἔχων· ἦν γὰρ αὕτη μικρὸν τῷ μήκει ἀνανεύουσα, τὸ δὲ σῶμα τρυφερώτερον σιτόχρωας τριχώματι καλλίστῳ τὴν δεχέτην δεδεμένην. ἔχοντες δὲ μεθ' ἑαυτῶν εὐφυῆ παῖδα ζωγράφον ἀμφοτέρων τὴν ὁμοίωσιν τῇ χώρᾳ ἡμῶν ἀπηγάγομεν καὶ ἀνετέθη ἐν τῷ ἱερῷ ἐν ᾧ ἐχρηματίσθη γράφων οὕτως· ἐν τῷ διοπετεῖ ἱερῷ Διηλίῳ θεῷ μεγάλῳ βασιλεῖ Ἰησοῦ τὸ Περσικὸν κράτος ἀνέθηκεν. Ἄραντες δὲ τὸ παιδίον καὶ ἕκαστος ἡμῶν ἐπ' ἀγκάλαις βαστάσαντες ἀσπασάμενοί τε αὐτὸν καὶ προςκυνήσαντες δεδώκαμεν αὐτῷ χρυσὸν καὶ λίβανον καὶ σμύρναν εἰπόντες αὐτῷ· σοὶ τὰ σὰ φιλοτιμοῦμέν σε, οὐρανοδύναμε Ἰησοῦ. οὐκ ἄλλως ἐδιοικοῦντο τὰ ἀδιοίκητα εἰ μὴ παρῇς, οὐκ ἑτέρως ἐμίσγετο τὰ ἄνω τοῖς κάτω εἰ μὴ αὐτὸς κατέβης, οὐ τοσοῦτον ἀνύεται διακονεῖν δοῦλον ἀποστείλει τις ὡς ὅσον τὸ ἑαυτὸν παραγενέσθαι οὐδὲ βασιλεὺς πέμπων ἐπὶ πόλεμον σατράπας

μήτηρ μητέρων, ἅπαντες οἱ θεοὶ Περσῶν ἐμακάρισάν σε, τὸ καύχημά σου μέγα, ὑπερῆρας γὰρ πάσας τὰς ἐνδόξους γυναῖκας καὶ πασῶν βασιλίδων βασιλικωτέρα ἐφάνης. Τὸ δὲ παιδίον ἐπὶ γῆς ἐκάθητο δεύτερον ὡς ἔλεγεν αὐτὴ παρὰ μικρὸν χρόνον ἄγων μερικόν τι χαρακτῆρα τῆς τεκούσης ἔχων· ἦν γὰρ αὕτη μικρὸν τῷ μήκει ἀνανεύουσα, τὸ δὲ σῶμα τρυφερὸν ἔχουσα σιτοχρουσάπως τριχώματι τὴν κεφαλὴν δεδεμένη. ἔχοντες δὲ μεθ' ἑαυτῶν εὐφυῆ παῖδα ζωγράφον ἀμφοτέρων τὴν ὁμοίωσιν τῇ χώρᾳ ἀπηγάγομεν καὶ ἀνετέθη ἐν τῷ ἱερῷ ἐν ᾧ ἐχρηματίσθη γράφων οὕτως· ἐν τῷ διοπετεῖ ἱερῷ Ἡλίῳ θεῷ μεγάλῳ βασιλεῖ Ἰησοῦ τὸ Περσικὸν κράτος ἀνέθηκεν. Ἄραντες δὲ τὸ παιδίον καὶ ἕκαστος ἐν ἀγκάλαις ἡμῶν βαστάσαντες δεδώκαμεν αὐτῷ χρυσούς, λίβανον καὶ σμύρναν εἰπόντες· σοῦ τὰ σὰ φιλοτιμοῦμέν σε, οὐρανοδύναμε Ἰησοῦ. οὐκ ἄλλως διοικοῦντο τὰ ἀδιοίκητα εἰ μὴ παρῇς, οὐχ ἑτέρως ἐμίγνυτο τὰ ἄνω τοῖς κάτω εἰ μὴ αὐτὸς ἐκατέβης, οὐ τοσοῦτον ἀνύεται διακονία εἴ γε δοῦλον ἀποστείλει τις ὅσον τὸ δι' ἑαυτοῦ παραγενέσθαι οὐδὲ βασιλεὺς πέμπων ἐπὶ πόλεμον σατράπας ὡς ὅσον τὸ ἑαυτοῦ ἐν-

ὡς ὅσον τὸ ἑαυτὸν παραγενέσθαι. ἔπρεπεν τοῦτο τῇ σοφῇ σου μεθόδῳ τὸ οὕτως μετοδεῦσαι τοὺς ἀντάρτας. Τὸ δὲ παιδίον ἐγέλασε καὶ ἐσκίρτη τῇ κολακείᾳ καὶ τοῖς λόγοις ἡμῶν, καὶ συνταξάμενοι τῇ μητρὶ καὶ αὐτὴ ἡμᾶς τιμήσασα καὶ ἡμεῖς αὐτὴν δοξάσαντες ὡς ἐδιήλθομεν ἐν ᾧ τόπῳ κατελύομεν. ἑσπέρας δὲ γενομένης ἐπέστη ἡμῖν τις φοβερὸς ἄγγελος καὶ ἐκπλαγεὶς εἶπεν· τὸ τάχος ἐξέλθατε μή τινα ἐπιβουλὴν ὑποστῆτε. ἡμεῖς δὲ μετὰ δειλίας εἴπαμεν αὐτῷ· καὶ τίς ὁ ἐπιβουλεύων τηλικαύτῃ πρεσβείᾳ, θεῖε στρατηγέ; ὁ δὲ εἶπεν· Ἡρώδης, ἀλλὰ πάραυτα ἀναστάντες πορεύθητε [1]) ἐν εἰρήνῃ διασωζόμενοι. ἡμεῖς δὲ ταχύναντες καὶ τοῖς εὐθηνοῖς ἵπποις ἐπιβάντες ἐπήραμεν ἐν σπουδῇ πάσῃ [2]) ἐκεῖθεν καὶ πάντα ἀνηγγείλαμεν ἃ ἴδομεν ἐν Ἱερουσαλήμ. Ἰδοὺ οὖν τοσαῦτα περὶ Χριστοῦ ἐλέξαμεν ὑμῖν καὶ ἴδομεν Χριστὸν σωτῆρα ἡμῶν γενόμενον, ἀλλ' ὑμεῖς τοῖς τρόποις ἀντιτάσσεσθε αὐτῷ πᾶσαν ὥραν τὸν σκυλμὸν αὐτοῦ διαβάλλοντες· τὸ γὰρ λαλεῖν ἀνάξια καὶ πράττειν ἀναξιώτερα μίσους ἐστὶν σημεῖον.

Καὶ ταῦτα μὲν τῶν θεοφόρων

[1]) Cod. πορευθῆτε. [2]) Cod. πᾶσιν.

δημῆσαι. Τὸ δὲ παιδίον ἐσκίρτα τῇ κολακείᾳ καὶ τοῖς λόγοις ἡμῶν, καὶ συνταξάμενοι τῇ μητρὶ καὶ αὐτὴ ἡμᾶς τιμήσασα καὶ ἡμεῖς αὐτὴν δοξάσαντες ὡς ἤδη ἤλθαμεν ἐν τῷ τόπῳ ἐν ᾧ κατελύσαμεν. καὶ ἑσπέρας γινομένης ἐπέστη ἡμῖν τις φοβερὸς ἄγγελος καὶ ἔλεγεν ἡμῖν· τὸ τάχος ἐξέλθατε μή τινα ἐπιβουλὴν ἐπιστῆτε. ἡμεῖς δὲ εἴπομεν· καὶ τίς ὁ ἐπιβουλεύων τῇ τηλικαύτῃ πρεσβείᾳ, θεοῦ ἀρχιστράτηγε; ὁ δὲ εἶπεν· Ἡρώδης, ἀλλὰ πάραυτα ἀναστάντες πορεύθητε ἐν εἰρήνῃ διασωζόμενοι. ἡμεῖς δὲ ταχύναντες καὶ τοῖς ἀσυνήθεσιν [1]) ἵπποις ἐπιβάντες ἀπήραμεν ἐκεῖθεν πάσῃ σπουδῇ καὶ πάντα ἀπηγγείλαμεν ἃ ἴδομεν ἐν Ἱερουσαλήμ. Ἰδοὺ οὖν περὶ Χριστοῦ τοσαῦτα ἐλέξαμεν ὑμῖν καὶ ἴδομεν Χριστὸν σωτῆρα ἡμῶν γενόμενον, ἀλλ' ὑμεῖς τοῖς τρόποις ἀντιτάσσεσθε αὐτῷ πᾶσαν ὥραν τὸν σκυλμὸν αὐτὸν διαβάλλοντες· τὸ γὰρ λαλεῖν ἀνάξια καὶ πράττειν ἀναξιώτερα μίσους ἐστὶν σημεῖον.

Καὶ ταῦτα μὲν τῶν θεοφόρων μάγων τὰ φοβερὰ διηγήματα, τὰ δὲ ἡμέτερα (ταῦτα)· ἐγὼ τιμῶ ἥλιον τὸν πᾶσι χρειώδεις φωτοβολὰς ἀποστίλβοντα, ἀέρα

[1]) Cod. ἀσυνέσιν.

μάγων τὰ φοβερὰ διηγήματα, τὰ δὲ ἡμέτερα ταῦτα· ἐγὼ τιμῶ ἥλιον τὸν πάσῃ τῇ κτίσει χρειώδεις τοῦ [1]) φωτὸς τὰς βολὰς ἀποστίλβοντα [2]), ἀέρα ὡσαύτως θαυμάζω τὸν τὰ σώματα εὐτόνως κύκλῳ περιστύφοντα καὶ τὴν γῆν θατέραις εὐφυΐαις καλλοπίζοντα, πῦρ τὸ ἀνυπόσχετον [3]) ᾧ πᾶσα φύσις σωμάτων δεδούλωται, τὸ πάσης ὕλης δοκιμώτερον ὕδωρ, ἡ ζωὴ τῶν βρωτῶν, οὗ μὴ παρόντος οὐ ζήσει πᾶσα σάρξ. καὶ ταῦτα τιμῶν τὸν χαρισάμενον αὐτὰ τιμῶ ὅστις τοῦ παντὸς αἴτιος καθέστηκεν· ἐκεῖνος ὑπὸ μόνων τῶν ἀχράντων ἀρχῶν ὧν αἱ εὐχαριστεῖαι ἄπαυστοι καὶ ἀμέριστοι προσκυνεῖσθαι ὤφειλεν, ὧν ἑτέρα σχολία οὐ κυριεύει ποτέ, ὧν ἡ παράστασις ἀκλινὴς καὶ ἡ θεραπεία φυσική, οἱ γὰρ ἄνθρωποι μάταιοι καὶ τῶν ἰδίων ἡδονῶν δοῦλοι γενόμενοι.

Καὶ τούτων λεχθέντων παρὰ Ἀφροδιτιανοῦ πᾶσα ἡ σύνοδος ἐσιώπησε μὴ ἔχουσα τί ἀποκρίνεσθαι, τοῦτο δὲ μόνον εἶπον· δόξα σοι, Χριστέ, οὗ πᾶν στόμα τὰς χάριτας ἐξομολογεῖται. Ἀφροδιτιανὸς εἶπεν· γέγοναν χριστιανοί (τινες) τῷ πράγματι, γέγοναν δὲ καὶ ἕλληνες ἄκραν

[1]) Cod. χρειώδητον. [2]) Cod. ἀποστίλβοντος. [3]) Cod. ἀναπόχετον.

ὡσαύτως ἐθαύμασα τὸν τὰ σώματα εὐτόνως κύκλῳ περιστύφοντα καὶ τὴν θατέραις συμφυΐαις καλλοπίζοντα, πῦρ τὸ ἀνυπόσχετον ᾧ πᾶσα σωμάτων φύσις δεδούλωται, τὸ πάσης (ὕλης) δοκιμώτερον δοκίμιον ὕδωρ, ἡ ζωὴ τῶν βρωτῶν, οὗ μὴ παρόντος οὐ ζήσεται πᾶσα σάρξ. καὶ ταῦτα τιμῶν τὸν χαρισάμενον αὐτὰ (τιμῶ) ὅστι(ς) τοῦ παντὸς αἴτιος καθέστηκεν· ἐκεῖνος γὰρ ὑπὸ μόνων τῶν ἀχράντων ἀρχῶν ὧ(ν) εὐχαριστεῖαι ἄπαυστοι καὶ ἀμέριστοι προσκυνεῖσθαι ὤφειλεν, ὧ(ν) ἑτέρα ἀσχολία οὐ κυριεύσει ποτέ, ὧν ἡ παράστασις ἀκλινὴς καὶ ἡ θεραπεία φυσική, οἱ γὰρ ἄνθρωποι μάταιοι καὶ τῶν ἰδίων ἡδονῶν δοῦλοι γενόμενοι.

Καὶ τούτων λεχθέντων παρὰ τοῦ Ἀφροδιτιανοῦ πᾶσα ἡ σύνοδος ἐσιώπησε μηδὲν ἔχουσα ἀποκρίνεσθαι, μόνον δὲ εἶπον· δόξα σοι, Χριστέ, ᾧ πᾶν στόμα τὰς χάριτας ἐξομολογεῖται. Ἀφροδιτιανὸς εἶπε· γεγόνασιν χριστιανοί τινες τῷ πράγματι, γεγόνασι καὶ ἕλληνες ἄκραν ἀσκήσαντες ἀρετήν. α΄. Κύρος γὰρ ὁ βασιλεὺς σωματοφύλακας δύο εἶχεν λίαν εὐώπους ἔνθα ἐκάθευδεν ὀξύνων μὲν [1]) τὴν ἐπι-

[1]) Cod ὀξύνωμεν.

ἀσκήσαντες ἀρετήν. Κύρος ὁ βασιλεὺς σωματοφύλακας [1]) λίαν εὐόπτους εἶχεν ἔνθα ἐκάθευδεν ὀξύνων μὲν τὴν ἐπιθυμίαν κολάζων δὲ ἑαυτὸν τοῖς ἀγῶσι πᾶσαν δόξαν τῆς οὐρανίου δυνάμεως μόνης ἀξίαν ἔλεγεν εἶναι. τοσοῦτον δὲ ἦν φιλάνθρωπος ὡς μήτε πτωχὸν μήτε αἰχμάλωτον εἶναι ἐν τῇ Περσῶν [2]) χώρᾳ διὰ τὸ πάντας εὐεργετεῖσθαι ὑπ' αὐτοῦ. Κονκενκράτης δὲ ὁ ὄντως φιλόσοφος ἓν καὶ μόνον ἱμάτιον τραχὺν ἐκέκτητο· ἐπεὶ τὴν περὶ τὴν Μασγαβαλῶν (σκοπιὰν) οἰκῶν ὑπὸ χίονος καὶ ψύχους δεινῶς καταδαμαζόμενος καὶ ἔλεγεν αὐτῷ Νεόκλητος ὁ σοφός· ἀπόλλῃ, ὦ σοφέ, ὑπὸ καυμάτων καὶ ψύχους θνήσκων. καὶ ἔλεγεν· εἰ θνήσκω τοῖς ἐνθάδε, πάντως τῇ μελλούσῃ ἐλπίδι ζήσω. ποίᾳ ταύτῃ, φησίν; ὁ δὲ ἔφη· ἀληθῶς ἑτέραν τινὰ ζωὴν στοχάζομαι καὶ ταύτην ἐμαυτῷ παρατίθημι, οὐ γὰρ ἀθετήσει θεοῦ προνοία τοὺς τὴν ἡμέραν κοπιάσαντας ἐν τῇ ἑσπέρᾳ, ἀλλὰ καὶ μισθοῦ καὶ ἀναπαύσεως ἀξιώσει, ὁρῶ [3]) γὰρ καθ' ἑκάστην τὸν οὐρανὸν καὶ τὰ δοκοῦντα τῆς γῆς χρηστὰ εἶναι μειούμενα καὶ ἀπο(ρ)ρέον-

[1]) Cod. σωματοφυλακήσας. [2]) Cod. Περσέων. [3]) Cod. ὁρῶν.

θυμίαν κολάζων δὲ τοῖς ἀγῶσιν πᾶσαν δόξαν τῆς οὐρανίου δυνάμεως μόνης ἀξίαν ἔλεγεν εἶναι. τοσοῦτον δὲ ἦν φιλάνθρωπος ὡς μήτε πτωχὸν μήτε ἔσχατον αἰχμάλωτον εἶναι ἐν τῇ τῶν Περσῶν χώρᾳ διὰ τὸ πάντας εὐεργετεῖσθαι ὑπ' αὐτοῦ. β'. Κονοοκράτος δὲ ὁ ὄντως φιλόσοφος ἓν καὶ μόνον τραχὺ ἱμάτιον ἐκέκτητο· ἐπεὶ τὴν Μασγαβάλων σκοπιὰν οἰκῶν ὑπὸ χίονος καὶ ψύχους δεινῶς καταδαμαζόμενος καὶ ἔλεγεν αὐτῷ Νεοκτίσιος ὁ σοφός· ἀπόλλῃ, ὦ φιλόσοφε, ὑπὸ καυμάτων καὶ ψύχους θνήσκων. καὶ ἔλεγεν· εἰ θνήσκω ἐνθάδε, πάντως τῇ μελλούσῃ ἐλπίδι ζήσω. καὶ ἔλεγεν αὐτῷ· ποίᾳ ταύτῃ μελλούσῃ; ὁ δέ· ἀληθῶς ἑτέραν τινὰ ζωὴν στοχάζομαι καὶ ταύτην ἐμαυτῷ παρατίθημι, οὐ γὰρ ἀθετήσει θεοῦ προνοία τοὺς τὴν ἡμέραν κοπιάσαντας μὴ ἐν τῇ ἑσπέρᾳ καὶ μισθοῦ καὶ ἀναπαύσεως ἀξιώσῃ, ὁρῶ δὲ καθ' ἑκάστην τὸν οὐρανὸν καὶ τὰ δοκοῦντα τῆς γῆς χρηστὰ εἶναι μειούμενα καὶ ἀποῤῥέοντα [1]). ταῦτα δὲ γίνονται ἐκ παροξυσμῶν ἡμετέρων προδηλούντων ὡς πάντα τὰ ἐνταῦθα ἀπόλλυνται, οἱ δὲ κεκτημένοι τὰς ἄνωθεν ἀρετὰς οὐ θνήσκου-

[1]) Cod. ἀπορέοντα.

τα. ταῦτα δὲ γίνεται ἐκ παροξυσμῶν ἡμετέρων προδηλούντων ὡς ταῦτα τὰ ἐνταῦθα ἀπόλλυνται, οἱ δὲ κεκτημένοι τὰς ἄνω ἀρετὰς οὐ θνήσκουσι καθὼς ὑπ' αὐτῶν ἀειμνήστως λαλοῦνταί τε καὶ ἀμειβοῦνται. Οὗτος ἀκρόδρυα μόνον ἤσθιεν καὶ ὕδωρ μικρὸν ἅπαξ τῆς ἡμέρας ἔπινεν μηδὲν ἕτερον τοῦ κατὰ τὸν κόσμον γνῶναι θέλων, καθ' ἑκάστην (τὸν θάνατον) μελετῶν καὶ ἀρκεῖσθαι τοῖς τοῦ κόσμου. Διχωριανὸς δὲ ὁ τοσαῦτα περὶ θεοῦ ἐκθέμενος ὃς ἔλεγε τούτοις τρέφεσθαι καὶ οὐχὶ τοῖς τὸ σῶμα βλάπτουσιν, ἐνενηκοστὸν ἔτος (ἄγων) καὶ σώματος καὶ φρονήματος ἀποσώσασθαι καὶ θνήσκων εἶπεν· δόξα σοι, δικαία δίκη, ἥτις με περὶ τὰ τίμια μετέστησας. Καὶ ἄλλοι πολλοί εἰσιν οὕσπερ οἱ φιλογράμματοι οἶδαν καὶ χριστιανοὺς ὄντας καὶ φιλοσόφους ἀληθεῖς. καταπαύσωμεν δὲ σήμερον καὶ αὔριον τὰ λοιπὰ ζητοῦμεν εἰ θέλει τὸ τῆς ὑμετέρας ἱερωσύνης κλέος ὅτι οὐρανίῳ ἐπιτροπῇ κελευσθεὶς φθάσαι ὑμᾶς τὰ ἐνταῦθα ἑτέρων πάλιν ζητημάτων αἰτούμενοι λύσιν.

Πάντων δὲ ἀναχωρησάντων διέβαλόν τινες ἀρχιμανδρῖται τῷ βασιλεῖ τὸν Ἀφροδιτιανὸν ὡς χριστιανοῖς ῥέμψαντα καὶ

σι καθὼς ὑπ' αὐτῶν ἀειμνήστως λαλοῦνταί τε καὶ ἀμείβονται Οὗτος ἀκρόδρυα μόνον ἤσθιε καὶ ὕδωρ μικρὸν ἅπαξ τῆς ἡμέρας ἔπινεν μηδὲν ἕτερον τῶν ἐν τῷ κόσμῳ γνῶναι θέλων, καθ' ἑκάστην τὸν θάνατον μελετῶν. καὶ περὶ τούτων ἀρκεῖ. γ'. Διχυριανὸς δὲ ὁ τοσαῦτα περὶ θεοῦ ἐκθέμενος ἔλεγε τούτοις δὲ τρέφεσθαι καὶ οὐχὶ τοῖς τὸ σῶμα βλάπτουσιν, ἐνενηκοστὸν δὲ ἔτος ἄγων καὶ σώματος καὶ φρονήματος ἀπάθειαν ἀποσώζων εἶπεν· δόξα σοι, δικαία δίκη, ἥτις με περὶ τὰ τίμια κατέστησας. Καὶ ἄλλοι πολλοί εἰσιν οὕσπερ οἱ φιλογράμματοι εἶδον καὶ χριστιανοὺς καὶ οὕτως φιλοσόφους ἀληθεῖς. καταπαύσωμεν δὲ σήμερον τὸν λόγον καὶ αὔριον τὰ λοιπὰ ζητήσωμεν, εἰ θελητὸν τῇ οὐρανίῳ ἐπιτροπῇ φθάσαι ἡμᾶς τὰ ἐνταῦθα, ἑτέρων πάλιν ζητημάτων αἰτούμενοι λύσιν. τῷ δὲ θεῷ ἡμῶν δόξα εἰς τοὺς αἰῶνας, ἀμήν.

Τὰ ἐπίλοιπα Περσικά.

(Окончаніе).

Πάντων δὲ ἀναχωρησάντων διέβαλόν τινες ἀρχιμανδρῖται τῷ βασιλεῖ τὸν Ἀφροδιτιανὸν ὡς τοῖς χριστιανοῖς ῥέ(μ)ψαντα καὶ κατὰ πάντα αὐτοῖς συνηγορή-

κατὰ πάντα αὐτοῖς συνηγορήσαντα καὶ τῆς ἀληθοῦς τῶν ἑλλήνων θρησκείας μηδαμῶς λόγον ποιησάμενον, ἀλλὰ καὶ τοὐναντίον καταπράξαντα ἑλλήνων περὶ μόνου Χριστοῦ τὴν γυμνασίαν ποιησάμενος. ὁ δὲ βασιλεὺς θυμωθεὶς κατ' αὐτῶν εἶπεν αὐτοῖς· χριστιανοὶ γενόμενοι καὶ ἐπιστάται μοναστηρίων, τί θέλετε ὑμεῖς τὰ τῶν ἑλλήνων ἀνάστατοι ὄντες καὶ οὐ μοναχοί; Καὶ πάραυτα εἰσῆλθεν ὁ Ἀφροδιτιανὸς καὶ εἶπε τῷ βασιλεῖ πάντα τὰ πραχθέντα. καὶ λέγει αὐτῷ ὁ βασιλεύς· μὰ τὴν ἡμετέραν ἔκθεον τύχην, οὐδαμῶς ἀμφιβάλλω περί σε, οἶδα γὰρ τὸ ἄδολόν σου καὶ ἀληθὲς καὶ εἴθε εἶχεν ἡ βασιλεία (μου) ἄλλον ἕνα κατά σε, πλὴν καλῶς ποιεῖς καὶ χριστιανοῖς καὶ ἕλλησιν τὰ ἀληθῆ γνωρίζων, ὅθεν λαβὼν τοὺς συκοφάντας τούτους εὐθὺς τραχηλοκόπησον. Καὶ λαβὼν αὐτοὺς ὁ Ἀφροδιτιανὸς εἰς τὸν οἶκον αὐτοῦ πάσης θεραπείας ἠξίωσε μηδαμῶς αὐτοὺς κακοποιήσας καὶ τοὺς χριστιανοὺς τῆς κατ' αὐτῶν ἐπιβουλῆς ἀπέστησεν. τῇ δὲ ἐπαύριον προσῆλθε τῷ βασιλεῖ Ὁρικάτος τις πρῶτος ὑπάρχων τῶν ἐπαοίδων λέγων αὐτῷ· δέσποτα πάσης τῆς ὑφηλίου, δόξασόν με ἵνα προκαθ-

σαντα καὶ τῆς ἀληθοῦς τῶν ἑλλήνων θρησκείας μηδαμῶς λόγον ποιησάμενον, ἀλλὰ καὶ τοὐναντίον καταπράξαντα ἑλλήνων περὶ μόνου Χριστοῦ τὴν γυμνασίαν ποιησάμενος. ὁ δὲ βασιλεὺς θυμωθεὶς κατ' αὐτῶν καὶ τῶν χριστιανῶν εἶπεν αὐτοῖς· χριστιανοὶ λεγόμενοι καὶ ἐπιστάται [1]) μοναστηρίων, τί θέλετε ὑμῖν τὰ ἑλλήνων ἀναστατεύοντες καὶ οὐχ ὡς μοναχοὶ ἡσύχιοί ἐστε; Καὶ πάραυτα [2]) εἰσῆλθεν ὁ Ἀφροδιτιανὸς καὶ εἶπε τῷ βασιλεῖ πάντα. καὶ λέγει αὐτῷ ὁ βασιλεύς· μὰ τὴν ἡμετέραν ἔνθεον τύχην, οὐδαμῶς ἀμφιβάλλω περί σε, οἶδα γὰρ τὸ ἄδολόν σου καὶ ἀληθὲς καὶ εἴθε εἶχεν ἡ βασιλεία μου ἄλλον ἕνα κατά σε, πλὴν καλῶς ποιεῖς καὶ χριστιανοῖς καὶ ἕλλησιν τὸ ἀληθὲς γνωρίζων, ὅθεν λαβὼν τοὺς συκοφάντας τούτους εὐθὺς αὐτοὺς τραχηλοκόπησον. Καὶ λαβὼν αὐτοὺς ὁ Ἀφροδιτιανὸς ἐν τῷ οἴκῳ αὐτοῦ πάσης θεραπείας ἠξίωσε μηδαμῶς αὐτοὺς κακοποιήσας καὶ τοὺς χριστιανοὺς τῆς κατ' αὐτῶν ἐπιβουλῆς ἀπέστησεν. τῇ δὲ ἐπιούσῃ προσῆλθεν τῷ βασιλεῖ Ὁρικάτος ὁ πρῶτος τῶν ἐπαοιδῶν λέγων αὐτῷ· δέσποτα πάσης τῆς ὑφ-

[1]) Cod. ἐπίστανται. [2]) Cod. πάραντα.

ίσω ἐν τῷ συλλόγῳ τούτῳ ἔχοντά τινα διαπράττεσθαι ἀνδρεῖα. ὁ δὲ βασιλεὺς λέγει· σὺ ἐπάνω τοῦ θαυμασίου Ἀφροδιτιανοῦ ὑπάγεις; Ὁρικάτος εἶπεν· ἐὰν μὴ δείξω ἐκεῖ σθένος ὃ οὐδεὶς ἔδειξεν σημείοις μεγάλοις πείσας αὐτούς, σταυρῷ με παράδος. ὁ δὲ βασιλεὺς οὐκ ἤθελον λυπῆσαι τὸν Ἀφροδιτιανὸν καὶ ἐξεῖπεν αὐτῷ τὸ ὅλον. Ἀφροδιτιανὸς εἶπεν· ἃ μέλλει ποιεῖν οὐκ ἰσχύει [1]) μέσον ἐκείνων καὶ ἀστοχεῖ, ὡς δὲ δοκεῖ τῷ κράτει σου ποιησάτω. καὶ πάλιν Ὁρικάτος ἅμα ἑτέροις ὤχλει τῷ βασιλεῖ ἀσφάλειαν δοὺς τῆς αἰτήσεως [2]) αὐτοῦ τὸ πάντως εὐλόγως χριστιανοὺς λύσαι. ὁ δὲ βασιλεὺς λέγει αὐτῷ· ὕπαγε σήμερον ἐν τῷ βουλευτηρίῳ ἢ πείθων ἢ πειθόμενος καὶ εἰ εὖ διαβήσει τὸ πρᾶγμα δίχα πάσης ἀνάγκης πείσας τιμῶν [3]) ἀξιοῦσαι, εἰ δὲ τἀναντία ἀστοχήσεις, ἀπὸ κτίσεως καὶ ζωῆς ὑστερισθήσῃ. πέμπεται οὖν πρὸς τὴν σύνοδον μετὰ ἐπιστολῆς περιεχούσης οὕτως. Βασιλεὺς μέγας πάσης δόξης ἀνώτερος ἐθνῶν καὶ νήσων καὶ φυλῶν κύριος τοῖς τῶν χριστιανῶν ἱερεῦσιν ἐπὶ τὸ αὐτὸ συνελθοῦσιν χαίρειν, χαίρω δὲ καὶ αὐτός. Ἀπεστείλαμεν ὑμῖν

[1]) Cod. ἰσχύουσιν. [2]) Cod. κτήσεως.
[3]) Cod. τειλῶν.

ηλίου, δόξασόν με ἵνα προκαθίσωμαι ἐν τῷ συλλόγῳ τούτῳ τρία τινὰ διαπράττεσθαι ἀνδρεῖα. ὁ δὲ βασιλεὺς λέγει· σὺ ἐπάνω τοῦ θαυμασίου Ἀφροδιτιανοῦ ὑπάγεις; Ὁρικάτος εἶπεν· ἐὰν μὴ δείξω [1]) ἐκεῖ σθένος ὃ οὐδεὶς ἔδειξεν σημείοις μεγάλοις πείσας αὐτούς, σταυρῷ με παράδος. ὁ δὲ βασιλεὺς οὐκ ἤθελεν λυπῆσαι τὸν Ἀφροδιτιανὸν καὶ ἐξεῖπεν αὐτῷ τὰ πάντα. Ἀφροδιτιανὸς λέγει· ἃ μέλλει ποιεῖν οὐκ ἰσχύει μέσον ἐκείνων καὶ ἀστοχήσει, ὡς δὲ δοκεῖ τῷ βασιλεῖ ποιησάτω. καὶ πάλιν ἅμα ἄλλοις ὤχλει τῷ βασιλεῖ ἀσφάλειαν δοὺς τῆς αἰτήσεως αὐτοῦ τοὺς πάντας εὐλόγως τοὺς χριστιανοὺς καταλύσαι. λέγει αὐτῷ ὁ βασιλεύς· ὕπαγε σήμερον ἐν τῷ βουλευτηρίῳ ἢ πείθων ἢ πειθόμενος καὶ ἐὰν εὖ διαβήσει τὸ πρᾶγμα δίχα πάσης ἀνάγκης πείσας τιμῶν ἀξιοῦσαι, εἰ δὲ τἀναντία ἀστοχήσεις, ἀπὸ κτίσεως καὶ ζωῆς γενήσῃ. καὶ πέμπεται πρὸς τὴν σύνοδον μετ' ἐπιστολῆς περιεχούσης ταῦτα. Ἐπιστολή. Βασιλεὺς μέγας πάσης δόξης ἀνώτερος ἐθνῶν καὶ φυλῶν καὶ νήσων κύριος τοῖς τῶν χριστιανῶν ἱερεῦσιν ἐπὶ τὸ αὐτὸ συνελθοῦσιν χαίρειν, χαίρω

[1]) Cod. δέξω.

Ὁρικάτον τὸν πρῶτον τῶν μάγων τῶν ἐν τῇ βασιλείᾳ μου οὐδαμῶς ὑμᾶς ἀναγκάζοντα, ἀλλὰ πείθειν ἢ πείθεσθαι, εἰ δὲ παρ' ἄλλως (sic) χρήσετε, γνώσετε οἷα ἰσχύει κράτος βασιλείας. τὸν δὲ ἡμέτερον σύνθρονον Ἀφροδιτιανὸν μετὰ τὴν τοῦ εἰρημένου Ὁρικάτου διάγνωσιν ἀποστέλλομεν [1]) πρὸς ὑμᾶς πᾶν ἐλλείψεως ὑστέρημα ἀναπληροῦντα. Καὶ δὴ παρῆν ὁ αὐτὸς Ὁρικάτος μετὰ ἑτέρων λευκοστόλων καθιμάτιον [2]) φορῶν τρίγωνον, τριῶν φησιν ἀξιῶν εἶδος. ὃν ἰδὼν ὁ ἅγιος Καστιλεὺς προφητικῷ ὄμματι προορῶν εἶπεν· αὐτὸς πάρεστιν ἑαυτὸν καταλύσαι. Καθισάντων δὲ πάντων εἶπεν Ὁρικάτος τῇ συνόδῳ· ἠκούσαμεν ὅτι πρὸ ταύτης τὸ πρακτικὸν τοῦ λόγου προετιμήσατε, τί οὖν βούλεται ἡ ὑμῶν σύνεσις λέγειν ἢ πράττειν; Πάντες δὲ ἐσιώπησαν ἀηδῶς αὐτὸν ἔχοντες, ὁ δὲ εἶπεν αὐτοῖς· εἰ σιωπᾶτε, ἀνάγκη ἐμὲ εἰπεῖν, ὥστε κατὰ τὴν ἡμετέραν γραφὴν δοῦναι ἡμῖν σημεῖον ἢ τέρας ἢ ἐγὼ δώσω ὑμῖν. Οἱ ἐπίσκοποι εἶπαν ἅμα τῷ ἁγιωτάτῳ Καστελλίῳ· προσήκει σε τὸν προβαλλόμενον καὶ καταρξάμενον πρῶτον ποιῆσαι, ἡμεῖς γὰρ οὐκ ἐσ-

[1]) Cod. ἀποστελλόμενον. [2]) Cod. καθεμάτιον.

δὲ καὶ αὐτός. Ἀπεστείλαμεν ὑμῖν Ὁρικάτον τὸν προστάτην τῶν ἐπαοιδῶν [1]) τῆς βασιλείας οὐδαμῶς ὑμᾶς ἀναγκάζοντα, ἀλλὰ πείθειν ἢ πείθεσθαι θέλοντα, εἰ δὲ περ' ἑτέρῳ χωρήσετε, γνώσετε οἷα ἰσχύει κράτος βασιλείας. τὸν δὲ ἡμέτερον σύνθρονον Ἀφροδιτιανὸν μετὰ τὴν προειρημένου διάγνωσιν ἀποστέλλω πρὸς ὑμᾶς πᾶν ἐλλείψεως ὑστέρημα ἀναπληροῦντα. ἀβδανάτραν τε χρῶ κατελοίπερ τὴν ἐράττοι, ἅπερ εἰσὶν ταῦτα· ἡ οὐρανοφυὴς ἐξουσία διαλαλῆσαι κατηξίωσε τοῖς βρωτοῖς. Παρῆν τοίνυν αὐτὸς Ὁρικάτος μετὰ ἑτέρων λευκοστόλων ἱμάτιον φορῶν τρίχινον, τριῶν φησιν ἀξιῶν εἶδος. ὃν ἰδὼν Καστιλεὺς προφητικῷ ὄμματι προορῶν εἶπεν· οὗτος πάρεστιν ἑαυτὸν καταλύσων. Καθισάντων δὲ πάντων εἶπεν αὐτὸς Ὁρικάτος τῇ συνόδῳ· ἠκούσαμεν τῇ πρὸ ταύτης ἡμέρᾳ ὅτι τὸ πρακτικὸν τοῦ λογικοῦ προετιμήσατε, τί οὖν βούλεται ἡ ὑμῶν σύνεσις λέγειν ἢ πράττειν; Πάντες δὲ ἐσιώπησαν ἀηδῶς αὐτὸν ἔχοντες, ὃς εἶπεν αὐτοῖς· εἰ σιωπᾶτε, ἀνάγκη μοι εἰπεῖν τοῦτο, ὥστε κατὰ τὴν ἡμετέραν γραφὴν ἵνα δότε ἡμῖν σημεῖον ἢ

[1]) Cod. ἐπαιδῶν.

μὲν ἄξιοι [1]) ἐπὶ παράδοξα ἐλθεῖν, ἀλλ' αὐτὸς ὡς μέτρον [2]) ὧν τοιοῦτον δεῖξόν σου τὴν δύναμιν, ἵνα ἴδωμεν εἰ μάλιστα ἐκ θείας τυγχάνει χορηγίας (τὰ σὰ τεράστια). ὁ δὲ εἶπεν πάραυτα ποιεῖν, καὶ λαβὼν πηλὸν ἔπλασεν ἱέρακα καὶ ἀνεπέτασεν εὐθύς. προσχὼν δὲ αὐτῷ ὁ ἅγιος σὺν τοῖς ἐπισκόποις πάραυτα ἔπεσεν καὶ ἐγένετο πηλὸς καὶ συνετρίβη. Ὁρικάτος δὲ εἶπεν· πέντε μοι λύσεις χαρίσασθε δι' ὧν ποιήσω ὅτι θεῶν εἰμι τέκνον, πάντα γάρ μου ὑπακούει ὡς δυνατῷ. ἡ σύνοδος εἶπεν· ἔχε οὕτως παρὰ σεαυτῷ. Ὁρικάτος εἶπεν· εἰσὶν ὧδε Ἰνδοί, Αἰθίωπες ἐπὶ πραγματείαν εὐκαιρήσαντες οὕσπερ λόγῳ τάχιον λευκανῶ. Οἱ δὲ ἐπίσκοποι ἅμα τῷ ἁγίῳ εἶπαν· εἴ τι οἶδας συμβαλλόμενόν σοι ποίησον. καὶ ἐνέγκας τοὺς Ἰνδοὺς εἶπεν· δύναμαι ὑμᾶς λευκάναι καὶ (σὺν) δώροις πολλοῖς ἀποστεῖλαι εἰς τὰ ἴδια. οἱ δὲ ἠγάπησαν τοῦτο. ἐνέγκας δὲ λεκάνην ἀργυρᾶν καὶ βαλὼν ἐν αὐτῇ πηγαῖον ὕδωρ ἐπεκαλεῖτο ἅσπερ ἐπίστατο ἐνεργείας. ὡς δὲ ἐπλήρωσεν τὴν ἐπαοιδίαν κατέχεεν ἀμφοτέρους καὶ πάραυτα ὅλον τὸ σῶμα αὐτῶν ἐφλυκτιδώθη καὶ αἱ βοαὶ αὐτῶν ἀνήρχοντο εἰς τὸν οὐρα-

[1]) Cod. ἀξίας. [2]) Cod. μετρῶν.

τέρας, ἢ ἐγὼ δώσω ὑμῖν. οἱ ἐπίσκοποι εἶπον ἅμα τῷ ἁγίῳ Καστιλέῳ· προσήκει σε τὸν προλαβόντα ἡμῖν καὶ προτείναντα πρῶτον ποιῆσαι αὐτόν. οἱ αὐτοὶ πάλιν εἶπον· ἡμεῖς οὐκ ἐσμὲν ἄξιοι ἐπὶ παράδοξα ἐλθεῖν, ἀλλ' αὐτὸς ὡς μέτρον ὧν τοιοῦτον δεῖξόν σου τὴν δύναμιν, ἵνα ἴδωμεν εἰ μάλιστα ἐκ θείας τυγχάνει χορηγίας τὰ σὰ τεράστια. ὁ δὲ εἶπεν πάραυτα ποιεῖν, καὶ λαβὼν πηλὸν ἔπλασεν ἱέρακα καὶ ἀνεπέτασεν εὐθύς. προσχὼν αὐτὸν ὁ ἅγιος Καστιλεὺς ἅμα τοῖς ἐπισκόποις πάραυτα ἔπεσεν γενόμενος (πηλὸς) καὶ συνετρίβη. Ὁρικάτος εἶπεν· πέντε μοι λύσεις χαρίσετε δι' ὧν ποιήσω ὅτι θεῶν εἰμι τέκνον καὶ πάντα μου ὑπακούει ὡς δυνατῷ. ἡ σύνοδος εἶπεν σχεῖ(ν). Εἶπεν Ὁρικάτος· εἰσὶν ὧδε Ἰνδοί, Αἰθίωπες ἐπὶ πραγματείαν ἐλθόντες καὶ τούτους ὁμοῦ τάχιον λευκανῶ. Οἱ ἐπίσκοποι εἶπον ἅμα τῷ ἁγίῳ Καστιλέῳ· ὅ τι οἶδας συμβαλλόμενόν σοι [1]) ποίησον. καὶ ἐνέγκας τοὺς Ἰνδοὺς εἶπεν· δύναμαι ὑμᾶς λευκάναι καὶ σὺν δώροις πολλοῖς ἀποστεῖλαι εἰς τὰ ἴδια. οἱ δὲ ἠγάπησάν τοῦτον. ἐνέγκας δὲ λεκάνην [2]) ἀργυρᾶν καὶ βαλὼν ἐν

[1]) Cod. μοί. [2]) Cod. λευκάνην.

νὸν ἐγκαιομένων ὑπὸ τῶν φλυκτίδων, καὶ αὐτὸς ἠπείλει αἷς ἐπικαλεῖτο δυνάμεσι τρύζων τοὺς ὀδόντας καὶ θυμοναχῶν κατ' αὐτῶν. Ἡ δὲ σύνοδος ἅμα τῷ ἁγίῳ εἶπον τοῖς Ἰνδοῖς· ἰδοὺ τοῦ σατανᾶ τὰ χαρίσματα οὐδὲν ὑμᾶς ὠφέλησαν, ἀλλὰ πιστεύσατε εἰς τὸν θεὸν καὶ αὐτὸς δι' ὕδατος καὶ πνεύματος ἰᾶται ὑμᾶς. οἱ δὲ εἶπον· πιστεύομεν εἰς ὃν σέβεσθε θεὸν ὅτι καὶ πνευματικῶς καὶ σωματικῶς ἀνακτήσεται ὑμᾶς. καὶ πάραυτα ἀφορκίσαντες αὐτούς, ἦν γὰρ τὸ πάθος χαχλάζον, κατήγαγον εἰς τὴν κολυμβήθραν λέγοντες· νῦν γνώσεσθε τὴν δύναμιν τοῦ Χριστοῦ, καὶ ἐβάπτισαν αὐτούς. ὡς δὲ ἀνῆλθον ἀπὸ τοῦ ὕδατος ηὑρέθη τὸ σῶμα αὐτῶν ὁλόκληρον ἐκ πάσης αἰτίας. εἶπαν δὲ Ὁρικάτῳ· σὺ δι' ὕδατος ἔπληξας ἡμᾶς, ὁ δὲ θεὸς δι' ὕδατος ἰάσατο ἡμᾶς, πορευόμεθα οὖν ἀπαγγέλλοντες ταῦτα τῷ βασιλεῖ ἡμῶν τὰ ὑπερθαυμάσια τοῦ Κυρίου καὶ τὰς εὐεργεσίας τῶν στρατευομένων αὐτῷ. Ὁ δὲ Ὁρικάτος ἔμενεν ἀνεντρεπτῶν καὶ λέγων· ἔτι τρία τεράστια ἔχω ἐργάσασθαι, πάντως εἰς ἓν ἐὰν ἐπιτύχω ἐνίκησα. Καὶ πάλιν οἱ ἐπίσκοποι εἶπαν· τῷ χρίματί σου ὃ βούλῃ ποίει. ὁ δὲ εἶπεν· Φίλιππον τὸν πρεσ-

αὐτῇ πηγαῖον ὕδωρ ἐπεκαλέσατο ἅσπερ ἐπίστατο ἐνεργείας, ὡς δὲ ἐποίησεν τὴν ἐπαοιδὴν πληρώσας κατέχεεν ἀμφοτέρους καὶ πάραυτα ὅλον τὸ σῶμα αὐτῶν ἐφλυκτιδώθη καὶ αἱ βοαὶ αὐτῶν ἀνήρχοντο εἰς τὸν οὐρανὸν ἐγκαιόμενοι ἀπὸ τῶν φλυκτίδων, καὶ αὐτὸς ἠπείλει αἷς ἐπικαλεῖτο δυνάμεσιν τρύζων κατ' αὐτῶν καὶ θυμούμενος. Ἡ σύνοδος ἅμα τῷ ἁγίῳ εἶπον Αἰθίωψιν· ἰδοὺ τοῦ σατανᾶ τὰ χαρίσματα οὐδὲν ὑμᾶς ὠφέλησεν, ἀλλὰ πιστεύσατε ἐπὶ τὸν θεὸν καὶ αὐτὸς δι' ὕδατος καὶ πνεύματος ἰᾶται ὑμᾶς. οἱ δὲ εἶπον· πιστεύομεν εἰς ὃν σέβεσθε θεὸν ὅστις καὶ σωματικῶς καὶ ψυχικῶς ἀνακτᾶται ὑμᾶς. καὶ πάραυτα ἀφορκίσαντες ἑαυτούς, ἦν γὰρ πάθος χαχλάζον, κατήγαγον εἰς τὴν κολυμβήθραν λέγοντες· νῦν γνώσεσθε τὴν δύναμιν τοῦ θεοῦ καὶ σωτῆρος Χριστοῦ, καὶ ἐβάπτισαν αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ὡς δὴ ἀνῆλθον ἐκ τοῦ ὕδατος εὑρέθη τὰ σώματα αὐτῶν ὁλόκληρα ἐκ πάσης αἰτίας καὶ λευκά. [1]). Εἶπον δὲ τῷ Ὁρικάτῳ· σὺ δι' ὕδατος ἔπληξας ἡμᾶς, ὁ δὲ θεὸς δι' ὕδατος ἰάσατο ἡμᾶς. πορευσόμεθα

---

[1]) Cod. λευκοί.

βύτερον περὶ οὗ ἡ ἀμφιβολία ἐστὶν ἐξ ἅδου φέρω λέγοντα μὴ εἶναι αὐτοῦ τὴν ἱστορίαν. Οἱ ἐπίσκοποι εἶπαν· καὶ εἴπαμεν καὶ πάλιν σοι λέγομεν· τῷ κινδύνῳ σου ὃ θέλεις ποίησον. Ἐνέγκας δὲ ἄρουλλαν πεπληρωμένην ἀνθράκων πρῶτον μὲν μόσχους ἀπετίθει, εἶτα δὲ καὶ βυσσία ἔῤῥιπεν εἰς τὸ πῦρ ὥστε πολλοὺς ὑπαναχωρεῖν διὰ τὸ μὴ ἀδικηθῆναι. αὐτὸς δὲ ῥάβδους καρυίνας βαστάζων πάλιν ἐπεκαλεῖτο τὰς συνήθεις τῶν δαιμόνων ὀνομασίας. ἡ δὲ σύνοδος μεγάλως αὐτοῦ κατεγέλα, ἐγίνωσκον γὰρ αὐτὸν ὑφ' ἑαυτὸν μέλλοντα ἀνατρέπεσθαι. Καὶ δὴ παρελθούσης διορίας ἐμποδιζομένης αὐτοῦ τῆς κατασκευῆς (καὶ) ἐκβιαζομένης τῆς ἐνεργείας ἔκδηλον ἑαυτὴν ποιῆσαι εἰσῆλθεν δὲ μέσον ἡμῶν ὡς μοναχός τις ᾧ εἶπον οἱ ἐπίσκοποι ἅμα τῷ ἁγίῳ Καστιλλέῳ· ποῦ γέγονας μοναχός; καὶ καταισχυνθεὶς ἐστράφη εἰς γυναῖκα πενθοῦσαν. καὶ πάντες οἱ ἐπίσκοποι ὁμοθυμαδὸν εἶπον αὐτῇ· τίνα πενθεῖς; ἡ λέγει· τὸν ἐνέγκαντά με ὧδε. ὁ δὲ ἅγιος Καστιλεὺς λέγει αὐτῇ· εἰπὲ ἐπὶ πάντων τίς εἶ, ἵνα μὴ δόξῃ ὁ ἐνέγκας σε μεγαλαυχεῖν ὡς γενναῖόν τι κατασκευάσας. ἡ δὲ εἶπεν· ἄγγελός εἰμι καὶ καταισχυνθεὶς ἀπὸ

λέγοντες τῷ βασιλεῖ ἡμῶν τὰ θαυμάσια καὶ τὰς εὐεργεσίας τῶν στρατευομένων αὐτῷ. ὁ δὲ Ὁρικάτος ἐνέμενε λέγων· ὅτι τρία ἔχων ἐργάσασθαι [1]) καὶ ἂν εἰς ἕνα ἐπιτύχω ἐνίκησα. καὶ πάλιν εἶπον οἱ ἐπίσκοποι· τῷ κρίματί σου ὃ βούλῃ ποίησον. ὁ δὲ ἔφη· Φίλιππον τὸν πρεσβύτερον περὶ οὗ ἡ ἀμφιβολία ἐστὶν ἐξ ἅδου φέρω μέσον λέγοντα μὴ εἶναι αὐτοῦ τὴν ἱστορίαν. οἱ ἐπίσκοποι εἶπον· καὶ πάλιν σοι λέγομεν· τῷ κινδύνῳ σου ὃ θέλεις ποίει. Ἐνέγκας δὲ ἄρουραν πεπληρωμένην ἀνθράκων πρῶτον μὲν μόσχους ἐπετίθη [2]), εἶτα καὶ βυσσία ἔῤῥιπτεν εἰς τὸ πῦρ ὥστε πολλοὺς ὑποχωρεῖν εἰς τὸ μὴ ἀδικηθῆναι. αὐτὸς ῥάβδους καρυίνας βαστάζων πάλιν ἐπικαλεῖτο τὰς συνήθεις τῶν δαιμόνων ὀνομασίας, ἡ δὲ σύνοδος μεγάλως αὐτοῦ κατεγέλα, ἐγίνωσκε γὰρ αὐτὸν ὑφ' ἑαυτοῦ μέλλειν ἀνατρέπεσθαι. Καὶ δὴ διορίας παρελθούσης ἐμποδιζομένης αὐτοῦ τῆς κατασκευῆς καὶ ἐκβιαζομένης τῆς ἐνεργείας ἔκδηλον ἑαυτὴν ποιῆσαι εἰσῆλθεν [3]) εἰς μέσον ἡμῶν ὡς μοναχός τις ὄντινι εἶπον οἱ ἐπίσκοποι σὺν τῷ ἁγίῳ Καστιλέῳ·

[1]) Cod. ἠργάσασθαι. [2]) Cod. ἐπετέθη. [3]) Cod. εἰσῆλθεν.

προσώπου ὑμῶν διὰ τὴν φιλονεικίαν. Τούτου τοῦ μὴ δυναμένου μόνου σημεῖα ποιῆσαι ἡ σύνοδος ἅμα τῷ ἁγίῳ Καστιλέῳ εἶπεν· ἰδοὺ τρίτη ἀγωγῇ ἀστοχεῖς καὶ ἐμμένεις τῇ ἀστοχείᾳ, ὅθεν λοιπὸν ἡττηθεὶς δὸς χώραν τοῖς ἀνθρώποις τοῦ θεοῦ ἵνα μὴ ὑπ' αὐτῶν ἀναλωθῇς. ὁ δὲ εἶπεν· τρεῖς ἥττημαι, τὰ δὲ λοιπὰ πιστεύω νικᾶν. Τότε λέγουσιν (οἱ ἐπίσκοποι) τῷ δαίμονι· δαίμονα σεαυτὸν ὁμολογεῖς ἢ ἄνθρωπον; ὅστις λέγει· δαίμων εἰμὶ παραγενάμενος ἀπατῆσαι εἰ προχωρεῖ μοι. καὶ ἐμφυσήσαντες κατ' αὐτὸν ἀφανῆ ἐποίησαν, (αὐτὸς) δὲ τοῦ βρύχειν τοὺς ὀδόντας βλασφημῶν τε καὶ φεύων οὐκ ἐπαύσατο. Ορικάτος δὲ ἰδὼν τὰ γινόμενα ἤρξατο πάλιν λέγειν· χάμινον καύσας ὑψηλὴν εἰσέρχομαι μέσον τοῦ πυρὸς καὶ ἐξέρχομαι. ἡ σύνοδος εἶπεν· τὸ τελευταῖόν σου σημεῖον ποίησον καὶ δοξασθήσεται ὁ θεός, πάντως γὰρ ἐξερχομένου σου ἐκεῖ οὐ μὴ ἐξέλθῃς. Εἶτα πάλιν λέγει Ὁρικάτος· γυνὴ τέθνηκεν πρὸ τῶν πυλῶν, ἐν ᾧ οὖν ὀνόματι ἀναστῇ ἡ τεθνεῶσα οὗτός ἐστιν θεός. χαίροντες οὖν οἱ πάντες ἔστερξαν τῷ ῥήματι. Καὶ δὴ χρισάμενος [1]) Ὁρικάτος τῇ τῶν θεῶν

[1]) Cod. ἀρξάμενος.

ποῦ γέγονας μοναχός; ὃς καταισχυνθεὶς μετεστράφη καὶ μετεμορφώθη εἰς γυναῖκα πενθοῦσαν. καὶ ὁμοθυμαδὸν εἶπον αὐτῷ οἱ ἐπίσκοποι· τίνα πενθεῖς; ἡ λέγει· τὸν ἐνέγκαντά με ὧδε. ὁ δὲ ἅγιος λέγει αὐτῇ· εἰπὲ ἐπὶ πάντων τίς εἶ, ἵνα μὴ δόξῃ ὁ ἐνέγκας σε μεγαλαυχεῖν ὡς γενναῖόν τι κατασκευάσας. ἡ δὲ εἶπεν· ἄγγελός εἰμι καὶ αἰσχυνθεὶς ἀπὸ προσώπου ὑμῶν διεστάλην διὰ τὴν φιλονεικίαν. Τούτου τοῦ μὴ δυναμένου σημεῖα ποιεῖν ἡ σύνοδος ἅμα Καστιλέῳ εἶπον τῷ Ὁρικάτῳ· ἰδοὺ τρίτῃ ἀγωγῇ ἀστοχήσας καὶ ἐμμένεις τῇ ἀστοχείᾳ, λοιπὸν ἡττήθης. δὸς χώραν τοῖς ἀνθρώποις τοῦ θεοῦ ἵνα μὴ ὑπ' αὐτῶν ἀναλωθῇς. ὁ δὲ εἶπεν· τρία ἥττημαι, τὰ δὲ λοιπὰ νικᾶν πιστεύω. Τότε λέγουσιν οἱ ἐπίσκοποι τῷ δαίμονι· δαίμονα σεαυτὸν ὁμολογεῖς ἢ ἄνθρωπον; ὁ δὲ λέγει· δαίμονα, παρεγενόμην δὲ ἀπατῆσαι [1]) εἰ ἠδυνάμην. Καὶ ἐμφυσήσαντες αὐτὸν ἀφανῆ ἐποίησαν, αὐτὸς δὲ βρύχειν καὶ βλασφημεῖν οὐκ ἐπαύετο. Ὁρικάτος λέγει· χάμινον [2]) καύσας ὑψηλὴν εἰσέρχομαι μέσον τοῦ πυρὸς καὶ ἐξέρχομαι. ἡ σύνοδος εἶπεν· ἐν τῷ τελευταίῳ σου ση-

[1]) Cod. ἀπαιτῆσαι. [2]) Cod. κάμηλον.

εὐωδίᾳ ἤρξατο λοιπὸν αἰγείοις αἵμασιν ῥαντίζειν τὴν τεθνεῶσαν καὶ μετὰ ταῦτα βοοθυτίαν ἐργαζόμενος ἔλεγεν μετὰ ἀπειλῆς ῥινοκτυπῶν [1]) αὐτὴν καὶ λέγων τῷ παρεστηκότι αὐτῷ παρέδρῳ· ὀκτὼ ψυχὰς δώσω σοι καὶ μίαν ψυχὴν χάρισαί μοι τὴν τοῦ Ναζωραίου ὅτι ἀπέκαμον ἀπό σου. Καὶ ἦλθεν αὐτῷ φωνὴ τοιάδε· ἀντιδίκους ἔχεις εἰς πάντας σε νικῶντας, οἱ γὰρ ἄγγελοι τοῦ Ἰησοῦ μετὰ ῥομφαίων ἵστανται καθ' ἡμῶν σὺν τοῖς ἑπομένοις. Περιστενωθεὶς δὲ ὅλος μάλιστα διὰ τὸ θριαμβευθῆναι αὐτὸν λέγει τοῖς ἐπισκόποις· ἐν τούτῳ πιστεύω ὑμῖν ἵνα ὅπερ ἐγὼ ἠδόξησα ὑμεῖς ἐκτελέσητε. ῥίψαντες ἑαυτοὺς χαμαὶ ὁ ἐπίσκοποι σὺν τῷ ἁγίῳ ἐδεήθησαν τοῦ θεοῦ ἐν πόνῳ καὶ ταπεινώσει καὶ στάντες ἐπὶ τὸ σῶμα ὁμοθυμαδὸν μίαν ἦραν φωνὴν λέγοντες· Κύριε, μὴ νικησάτω ἡ ἀσέβεια τὴν εὐσέβειαν, ἀλλὰ δόξασόν σου τὸ ὄνομα ἐν μέσῳ τῶν ἀπίστων τῶν προσεχόντων ματαίοις. καὶ τελεσάντων τὴν εὐχὴν ἀνεκάθισεν ἡ γυνὴ καὶ ἔστη ἐπὶ πόδας ὀρθή. Ὁ δὲ Ὁρικάτος λέγει· μὰ τὴν Ἥραν, μεγάλη δύναμις αὕτη, πλὴν τοῦ πέμπτου με σημείου πείσει ἡ

[1]) Cod. ῥινοκτύπτων.

μείῳ τοῦτο ποίησον, πάντως γὰρ εἰσερχόμενος ἐκεῖ οὐ μὴ ἐξέλθῃς. πάλιν ὁ Ὁρικάτος· γυνὴ τέθνηκεν πρὸ τῶν πυλῶν, ἐν ᾧ ἂν ὀνόματι ἀναστῇ οὗτος θεός. καὶ χαίροντες ἔστερξαν πάντες. Πάλιν τῇ τῶν θυμιαμάτων χρισάμενος εὐωδίᾳ ἐν αἵμασι αἰγείοις ἤρξαντο ῥαντίζειν τὴν νεκρὰν καὶ πάλιν βοοθυσίαν ἤρξατο λέγων μετὰ ἀπειλῆς ῥινοκτυπῶν (αὐτὴν καὶ λέγων) παρεδρεύοντι αὐτῷ· ὀκτὼ ψυχὰς δώσω σοι καὶ μίαν χάρισαί μοι τὴν ψυχὴν τοῦ Ναζωραίου ὅτι ἀπέκαμον ἀπό σου. Καὶ ἦλθεν φωνή. ἀντιδίκους ἔχεις εἰς πάντας σε νικῶντας, λοιπὸν δὸς χώραν ἥττης, οἱ γὰρ ἄγγελοι τοῦ Ἰησοῦ μετὰ ῥομφαίων ἵστανται καθ' ἡμῶν σὺν τοῖς ἑπομένοις αὐτοῖς ἁγίοις. Ὁ δὲ ὄρνεις ἅμα τοῖς ρʹ βουσὶν ἔσφαξεν μηδὲν χρησιμεύων. περιστενωθεὶς δ' ὅλος μάλιστα [1]) καὶ διὰ τὸ θριαμβευθῆναι αὐτὸν λέγει τοῖς ἐπισκόποις· ἐν τούτῳ τῷ μέρει πιστεύω ὑμῖν ἵνα ὅπερ ἐγὼ ἠδόξησα ὑμεῖς αὐτὸ ἐκτελέσετε. Καὶ ῥίψαντες ἑαυτοὺς οἱ ἐπίσκοποι ἐδεήθησαν τοῦ θεοῦ ἐν ταπεινώσει καὶ πάντες ἐπὶ τὴν νεκρὰν γυναῖκαν μίαν φωνὴν ἦραν λέγοντες· Κύριε Ἰησοῦ Χριστέ, υἱὲ

[1]) Cod. μάγιστα.

τελείωσις. ἐγκαήτω οὖν ἡ κάμινος καὶ ἕκαστος ἐν ᾧ σέβετε θεῷ εἰσελθάτω ἐν αὐτῇ καὶ τότε φανήσεται τίς ἐστιν θεός, πλὴν ὃν θέλω ἐξ ὑμῶν εἰσελθάτω εἰς τὸ πῦρ. καὶ ἐκλεξάμενος Σεκαθαρτιανὸν τὸν ἐπίσκοπον Ὁμοβύ(ῤ)ῥου προτρέπεται τοῦ εἰσελθεῖν εἰς τὸ πῦρ. αὐτὸς δὲ ὁ Σεκαθαρτιανὸς ἀποδυσάμενος τὰ ἱμάτια αὐτοῦ καὶ ἐνδυσάμενος τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰσῆλθεν εἰς τὴν κάμινον καὶ ἵστατο μέσον ὁμιλῶν τοῖς παρεστηκόσιν. οἱ δὲ ἐπίσκοποι εἶπον τῷ Σεκαθαρτιανῷ· δεῦρο ἔξω, ὁμολογητά, ὅπως καὶ οὗτος πληρώσῃ τὴν ἐπαγγελίαν. καὶ ἐξῆλθεν μήτε καπνοῦ ὅλως μετασχών. Ζητῶν οὖν καὶ Ὁρικάτος μὴ ἀδοξῆσαι σὺν τοῖς ἱματίοις εἰσελθὼν ὅλος ἐφλογίσθη καὶ ἐπισπασάμενοι αὐτὸν εἵλκυσαν ἔξω ἡμίπνουν. οἱ δὲ ἐπίσκοποι εὐξάμενοι ἐπ' αὐτὸν ἰάσαντο αὐτόν. Ἰδόντες οὖν οἱ ἅμα αὐτῷ τὰ γινόμενα εἶπον· αὐτῇ τῇ δυνάμει πᾶσα θεῶν δύναμις οὐκ ἰσοῦται. Μαθὼν δὲ ταῦτα ὁ βασιλεὺς κατὰ μὲν πάσης τῆς οὐσίας Ὁρικάτου ἐχώρησεν, παρέδωκεν δὲ αὐτὸν τῷ Ἀφροδιτιανῷ ὥστε σταυρωθῆναι. ὁ δὲ λαβὼν αὐτὸν καὶ ἐν τῷ οἴκῳ αὐτοῦ ἀναγαγὼν προσήκοντος ἐθεράπευσεν, μεθ' ἡμέρας τοῦ θεοῦ, μὴ νικησάτω ἡ ἀσέβεια τὴν εὐσέβειαν, ἀλλὰ δόξασόν σου τὸ ὄνομα, θεέ, ἐν μέσῳ τῶν ἀπίστων τούτων τῶν προσεχόντων ματαίοις [1]). καὶ τελεσάντων τὴν εὐχὴν ἀνεκάθισεν ἡ γυνὴ καὶ ἔστη ἐπὶ πόδας ὀρθῶς. Ὁ δὲ Ὁρικάτος λέγει· μὰ τὴν Ἡραν καὶ τὴν μεγάλην δύναμιν αὐτῆς, εἰ μὴ [2]) τοῦ πέμπτου σημείου πείσει με ἡ τελειώτης, οὐ πείθομαι. καήτω κάμινος καὶ ἕκαστος ἐν ᾧ σέβει θεῷ εἰσελθέτω ἐκεῖ καὶ τότε τοῦ ἀληθινοῦ θεοῦ φανήσεται ἡ ἀλήθεια, πλὴν ὃν [3]) θέλω ἐξ ὑμῶν ἐξελέξομαι εἰσελθεῖν εἰς τὸ πῦρ. καὶ ἐξελέξατο Σαχθραντιανὸν τὸν ἐπίσκοπον Ὁμοβύῤῥου. ἐκεῖνος ἀποδυσάμενος τὰ ἱμάτια καὶ ἐνδυσάμενος τὸ ὄνομα Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰσῆλθεν εἰς τὴν κάμινον καὶ ἵστατο μέσον ὁμιλῶν τοῖς παρεστῶσι, οἱ δὲ ἐπίσκοποι εἶπον αὐτῷ· δεῦρο ἔξω, (ὁ)μολογητά, ὅπως καὶ οὗτος πληρώσῃ τὴν ἰδίαν ἐπιθυμίαν καὶ ἐπαγγελίαν. καὶ ἐξῆλθεν μηδὲ καπνοῦ ὅλως μετασχών. Ζητῶν οὖν καὶ Ὁρικάτος μὴ ἀδοξῆσαι σὺν τοῖς ἱματίοις εἰσελθὼν καὶ κατεκυρίευσεν αὐτοῦ τὸ πῦρ καὶ ὅλος κατεφλέχθη, οἱ δὲ ἐπίσκο-

---

[1]) Cod. ματαίως. [2]) Cod. ἐμ. (ε superscr.) [3]) Cod. οὗ.

δέ τινας ἔπεισεν τὸν βασιλέα ὁ Ἀφροδιτιανὸς δέξασθαι αὐτόν. Εἶπεν δὲ ὁ βασιλεύς· οὐδένα τῶν ἀνθρώπων ἴδον βοηθοῦντα τοῖς ἐχθροῖς αὐτοῦ εἰ μή σε. ὁ δὲ εἶπεν· βοηθεῖν ἐμάθομεν, δέσποτα, παρὰ τοῦ πᾶσιν βοηθοῦντος, τοὺς γὰρ ἐχθροὺς εὐεργετῶν τῆς ἔχθρας οὐκ ἂν ἔτι χρησιμεύσῃ ἡ βία, ἀλλ' ἔσται φίλη εἰρήνη ἐπὶ πᾶσιν χορεύουσα. Ἰδόντες οὖν οἱ τῶν ἰουδαίων νομομαθεῖς τοὺς χριστιανοὺς νικήσαντας ἐζήλωσαν ζῆλον πιποι ἐπισπασάμενοι [1]) ἔξω ἡμίπνουν ὄντα καὶ εὐξάμενοι ἐποίησαν αὐτὸν ὑγιῆ. ἰδόντες δὲ οἱ ἅμα αὐτῷ τὰ γινόμενα εἶπον· ταύτῃ τῇ δυνάμει οὐκ ἰσοῦται πᾶσα θεῶν δύναμις. Μαθὼν δὲ ταῦτα ὁ βασιλεὺς κατὰ πάσης τῆς οὐσίας αὐτοῦ ἐχώρησε παραδοὺς αὐτὸν Ἀφροδιτιανὸν τοῦ σταυρῶσαι. ὁ δὲ λαβὼν καὶ ἐν τῷ οἴκῳ αὐτοῦ ἀγαγὼν προσήκοντός τε [2]) θεραπεύσας μεθ' ἡμέραν.... [3])

κρὸν καὶ εἰσῆλθον πρὸς τὸν βασιλέα λέγοντες· δέσποτα, οὐράνιε ἥλιε, δύνανται οἱ ἱερεῖς ἐὰν θέλουσιν λύσαι τὰ ἀμφίβολα ἡμῶν. κέλευσον οὖν διαγνωσθῆναι αὐτοῖς τὰ καθ' ἡμᾶς ἅμα τῷ θείῳ Ἀφροδιτιανῷ, δυνάμεθα γὰρ ἕνα θεὸν σέβοντες ὥσπερ καὶ αὐτοὶ ἰδεῖν καὶ περὶ τοῦ προκειμένου εἰ ἤδη ἐφανερώθη ὁ Χριστός. Ὁ οὖν βασιλεὺς εἶπεν· περὶ Χριστοῦ ἀπαραιτήτως ἀκούσατε ὅτι τοῖς πρὸ ὑμῶν ὡράθη καὶ οὐράνιος ἀστὴρ ἐδημοσίευσεν αὐτοῦ τὴν γέννησιν καὶ δῶρα αὐτῷ προσήγαγον οἱ ἐνταῦθα μάγοι καὶ τὴν εἰκόνα τῆς μητρὸς καὶ τοῦ παιδίου ἔχομεν ἐν τῷ ἱερῷ τοῦ διοπειτοῦς (Ἡλίου) κειμένην. περὶ οὖν τοῦ ἐν ὁμονοίᾳ γενέσθαι τοῦτο καὶ εὔχομαι τὸ ἀμφοτέρους ἐν μιᾷ θρησκείᾳ γενέσθαι, οὐκ οἶδα δὲ εἰ ἡ φιλαρχεία ὑμῶν ἐάσει ὑμᾶς συμβιβασθῆναι· καὶ γὰρ ἐξ ἀρχῆς αὕτη ὑμᾶς κατέβαλεν τυραννικῶς προσελθοῦσα. Οἱ δὲ εἶπον· δεόμεθά σου, βασιλεῦ, κατὰ πρόσωπον αὐτῶν γενόμενοι πεισθῆναι θέλομεν συναιροῦντες λόγους πρὸς αὐτοὺς οὖσπερ ἀκροώμενος ὁ Ἀφροδιτιανὸς πάσης ἀφορμῆς ταχεῖαν λύσιν προνοήσει. Ὁ δὲ βασιλεὺς καλέσας τὸν Ἀφροδιτιανὸν εἶπεν αὐτῷ· χάρισαί σου τῇ προλήψει καὶ κρίνων μεταξὺ ἰουδαίων τε καὶ χριστιανῶν, διὰ γὰρ τὸ ἀψευδές σου πάντες διαιροῦνταί σε κριτήν. γράψας τοῖς ἐπισκόποις ἐπιστολὴν περιέχουσαν ταῦτα· Βασιλεὺς βασιλέων,

[1]) Cod. ἐπιστάμενοι. [2]) Cod. πρὸς οἰκών τ $\overset{\epsilon}{\tau}$. [3]) Folium excidit.

θεῶν τὴν μεγαλειότητα ἔχων, τοῖς ἱερεῦσιν τῶν χριστιανῶν χαίρειν. οἱ τῶν ἰουδαίων πρῶτοι Ἰακὼβ καὶ Φα(ῤ)ῥὰς ᾐτήσαντό με πεῖσαι τὸν ὑμῶν χορὸν διαλεχθῆναι αὐτοῖς καὶ πληροφορεθῆναι περὶ Χριστοῦ εἴ γε παρεγένετο. μὴ οὖν ὡς ἀλλοέθνεσιν προσέλθητε αὐτοῖς, ἀλλ' ὡς μέλη ὑμῶν δέξασθε ἵνα γένωνται μέλη τῶν μελῶν ὑμῶν· τούτου γὰρ γενομένου ἡ ἐνδιάστατος κακοθελεία ἀσθενήσει, ἡ δὲ νίκη καὶ εὐσεβὴς μονοτροπία δοξολογίαν δεχομένη τὴν προσέπουσαν χαρὰν καὶ εἰρήνην τοῖς καιροῖς ἡμῶν βραβεύσει. Παρεγένοντο δὲ εἰς τὸ συνέδριον οἱ προονομασθέντες ἰουδαῖοι Ἰακὼβ καὶ Φαῤῥὰς ἅμα τῷ ἀδόλῳ Ἀφροδιτιανῷ καὶ καθισάντων πάντων εἶπεν ὁ Ἀφροδιτιανός· ἄνδρες ἀγαπητοί, μὴ ὡς ἐχθροὶ πρὸς ἑαυτοὺς διαγενόμενοι ἐπὶ φιλονεικίᾳ ἔλθωμεν, ἀλλὰ ἐν τῇ ἀληθινῇ προαιρέσει τὰ ἀληθῆ δεξώμεθα λόγια, διὸ παρακαλῶ ἀλύπως πρὸς ἑαυτοὺς συνπεριενεχθῆναι. Καὶ δὴ ἐπιτρέπει τοῖς ἰουδαίοις εἰς τὸ εἰπεῖν ἀδόλως καὶ ἀπλάστως πᾶν ὃ κεῖται (ἐν) ταῖς νομοθεσίαις αὐτῶν εἰρηκὼς αὐτοῖς μὴ λανθάνειν αὐτὸν προστιθέντες ἢ ἀφαιροῦντες. Εἴπατε οὖν, τίνος ἕνεκεν συνεληλύθατε; Ἀπεκρίθησαν οἱ περὶ Ἰακὼβ καὶ εἶπον· περὶ τοῦ ἐν Βηθλεὲμ τικτομένου Χριστοῦ ἡμῶν ὁ λόγος εἴ γε ἐλήλυθεν. Ἀφροδιτιανὸς εἶπεν· ὑμεῖς δὲ πῶς ἔχετε περὶ αὐτοῦ; οἱ δὲ εἶπον· ὅτι μέλλει γεννᾶσθαι. Ἀφροδιτιανὸς εἶπεν· καὶ πότε λέγετε γεννώμενον; οἱ ἰουδαῖοι ἀπεκρίθησαν· περὶ τὰ τελευταῖα τῶν χρόνων. καὶ τί ἐστὶ [1]) ἵνα ποιήσῃ ἐξαφανιζομένων τῶν χρόνων; Οἱ ἰουδαῖοι εἶπον· ἃ ἔφη ἡ ἔνθεός σου φρόνησις τὰ ἐξαφανιζόμενα ἀνακτίζων. Ἀφροδιτιανὸς εἶπεν· ἃ προστάξει αὐτοῦ ἀφανίζεται ταῦτα πάλιν ἀνακτίζει; ἀσύστατον τὸ διήγημα· οὐδαμοῦ γὰρ εἴρηται ὡς μετὰ τὴν τοῦ κόσμου λύσιν ἑτέρα τις κατασκευὴ ἀνίσταται. τοῦτο δὲ ὁ προφήτης ὑμῶν πειθέτω λέγων· πέμψω ὑμῖν Ἡλίαν τὸν Θεσβήτην πρὶν ἐλθεῖν τὴν ἡμέραν Κυρίου τὴν μεγάλην, μὴ ἐλθὼν πατάξω τὴν γῆν ἄρδην. εἰ μὲν οὗτός ἐστιν Ηλίας ὃν προσδοκᾶτε Χριστόν, οὐ μὴ ἀνακτίσει ἐρχόμενος, ἀλλ' ἅπαξ γνῶναι θέλομεν τὸ πῶς οὐ λέγεται Χριστός, ἀλλὰ Ἡλίας; καὶ εἰ ἐκ Βηθλεὲμ γεννᾶται καθὼς οἱ πατέρες ὑμῶν ἐσαφήνισαν τὸν προφήτην ὁ ἤδη ἐκ Θε(σ)βῶν γεννηθεὶς [2]), ὁ γὰρ εἰπών· πέμ-

[1]) Cod. ἔτι. [2]) Quaedam sunt praetermissa.

ψω ὑμῖν Ἡλίαν τὸν Θεσβήτην ἕτερός ἐστιν παρὰ τὸν πεμπόμενον, καὶ ὅτι εἶπεν· πατάξω τὴν γῆν ἄρδην, δι' ἐκεῖνον πρῶτον διαμαρτύρεται καὶ τότε ἐξαιρεῖ ἅπαν τὸ συνεστηκὸς τοῦτο. τί οὖν; τὸν Χριστὸν γεννᾶσθαί φαμεν τότε ἢ πρὸ τούτου; καὶ εἰ τότε, τίνι ἄρα ἀρέσει ἢ χρησιμεύσει; Οἱ ἰουδαῖοι εἶπον· ἄλλος ἐστὶν ὁ Χριστὸς καὶ ἄλλος Ἡλίας, ὁ γὰρ ἡμέτερος προφήτης Δανιὴλ λίθον αὐτὸν ἐθεώρησεν τῷ βασιλεῖ τῶν Βαβυλωνίων καὶ ἐγένετο εἰς ὄρος μέγα. Ἀφροδιτιανὸς εἶπεν· εὐχερῶς ἑαυτοὺς καταβάλλετε μὴ συνιέντες ἑαυτῶν τὸ πρόβλημα, ἡ γὰρ γραφὴ αὕτη ἐκ Βαβυλωνίων εἰς πέρας ἤχθη καὶ οἶδα αὐτὴν ἀσφαλῶς, λέγει γὰρ οὕτως· καὶ ἐν ταῖς ἡμέραις τῶν βασιλέων ἐκείνων ἀναστήσει ὁ θεὸς τοῦ οὐρανοῦ βασιλείαν ἥτις εἰς τὸν αἰῶνα οὐ διαφθαρήσεται καὶ αὐτή, φησίν, ἀναστήσεται εἰς τοὺς αἰῶνας. καὶ ὅτι ἴδεν ὁ βασιλεὺς ὅτι ἐξ ὄρους ἐτμήθη λίθος ἄνευ χειρῶν καὶ συνέτριψεν τὴν εἰκόνα τοῦ βασιλέως Ναβουχοδονόσωρ καὶ ὁ λίθος ὁ συντρίψας τὴν εἰκόνα ἐγένετο εἰς ὄρος μέγα καὶ ἐπλήρωσεν πᾶσαν τὴν γῆν. μετὰ οὖν τὰ τέσσαρα ἐκεῖνα βασίλεια ἤγειρεν ὁ θεὸς τοῦ οὐρανοῦ βασιλείαν ἣν ἐπηγγείλατο ἀδιάφθορον καὶ ἀδιάδοχον ἥτις ἐστὶν ὁ λίθος ὁ γενόμενος εἰς ὄρος μέγα καὶ πληρώσας πᾶσαν τὴν γῆν. καθ' ἑαυτῶν οὖν προέθεσθε τοῦτο. Οἱ ἰουδαῖοι εἶπον· ποῖα τέσσαρα βασίλεια; Ἀφροδιτιανὸς εἶπεν· τὰ ἔνδοξα καὶ ἐπίσημα ἃ κατόπιν αὐτὰ διεδέξαντο· Βαβυλώνιοι,

Πέρσαι, Μῆδοι καὶ τὸ τέταρτον ληστρικὸν καὶ δυσεπιχείρητον τὸ Μακεδονικόν. ταῦτα τὰ τρία δυνατὰ καὶ τοῦτο ὡς θρασὺ συνηρίθμητο τοῖς τρισίν, μετὰ γὰρ ταύτας τὰς βασιλείας αὕτη ἀνεφύη. Ἀποκριθέντες δὲ οἱ ἰουδαῖοι εἶπον· ἡμεῖς τὴν σιδηρὰν βασιλείαν τὴν Αὐγούστου καὶ τῆς καθεξῆς λέγομεν· Ἀφροδιτιανὸς εἶπεν· τίνα ἐλέπτυνεν ἢ ἐδάμασεν ἡ Αὐγούστου καὶ τῶν λοιπῶν βασιλεία οἵτινες καὶ ἥττησαν καὶ ἡττήθησαν; τὸ γὰρ λεπτὸν

Πέρσαι καὶ τὸ τέταρτον τὸ ληστρικὸν καὶ δυσεπιχείρητον τὸ Μακεδονικόν. ταῦτα τρία δυνατὰ καὶ τοῦτο ὡς θρασὺ συνηρίθμηται τοῖς τρισίν, μετὰ γὰρ ταύτας τὰς βασιλείας αὕτη ἀνεφύη. Οἱ ἰουδαῖοι· ἡμεῖς τὴν σιδηρὰν βασιλείαν τοῦ Αὐγούστου λέγομεν. Ἀφροδιτιανὸς εἶπεν· τίνα ἐλέπτυνε ἢ ἐδάμασεν ἡ Αὐγούστου καὶ τῶν λοιπῶν βασιλεία οἵτινες καὶ ἥττησαν καὶ ἡττήσαντο; τὸ γὰρ λεπτύνον καὶ

ἀήττητον καὶ ἀδάμαστον μένει, πῶς οὖν δαμάζουσιν οὗτοί τινας, ὅπου γε καὶ αὐτοὶ καὶ πάντες τῇ βασιλείᾳ ταύτῃ φόρους διδοῦσιν; τὸ δὲ ἐν ταῖς ἡμέραις τῶν βασιλέων ἐκείνων ἀναστήσει ὁ θεὸς τοῦ οὐρανοῦ βασιλείαν τὴν μεταξὺ αὐτῶν ἀναδειχθεῖσαν (λάμβανε). εἰ οὖν πιστεύετε εἶναι Χριστὸν ἀπεντεῦθν ζητεῖτε, μετέπειτα γὰρ οὐχ εὑρήσετε. ὡς γὰρ οἱ παρ' ὑμῶν τὴν παροῦσαν προσδοκίαν κρατοῦντες τῆς εὐκαιρίας αὐτῆς ἐξέπεσαν, οὕτω καὶ ὑμῖν ἔσται. τὸ γὰρ ἐν τῷ προφήτῃ ὑμῶν λεχθέν· λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας, οὐχ ὡς μέλλοντα, ἀλλ' ὡς ἤδη γενόμενον νοήσατε. τί γὰρ μόνα τὰ προφητικὰ τῶν ἑβραίων ἀναπτύξω καὶ μὴ καὶ τὰ ἡμέτερα; Ὀφιανὸς γὰρ ὁ Περιτέλλαιος εἶπεν ἐν νόμοις αὐτοῦ· βαβαί! πῶς ἐκοσμήσθη Κασπία πύλη λίθον ὀρεινὸν λαβοῦσα ὅνπερ οὐ χεὶρ ἐλατόμησεν, ἀλλὰ χάρις ἐφεῦρεν πᾶσαν τὴν πύλην δι' αὐτοῦ περισφίγξας· οὐ μόνον γὰρ ἐστήριξεν αὐτήν, ἀλλὰ καὶ κεκλεισμένην ἤνοιξεν, ὁδὸς καὶ θύρα γενόμενος ὁ λίθος [1] ἐπὶ σεπτὴν [2] ἄγει θύραν καὶ

[1] Cod. add. θύρα quod omisi. [2] Cod. σεκτήν.

ἀήττητον καὶ ἀδάμαστόν ἐστιν, πῶς οὖν δαμάζουσιν οὗτοί τινας, ὅπου γε καὶ αὐτοὶ πάντες τῇ βασιλείᾳ ταύτῃ φόρους καὶ δῶρα δίδωσιν; τὸ δὲ ἐν ταῖς ἡμέραις τῶν βασιλέων ἐκείνων ἀναστήσει ὁ θεὸς τοῦ οὐρανοῦ βασιλείαν τὴν μεταξὺ αὐτῶν ἀναδειχθεῖσαν λάμβανε. εἰ οὖν πιστεύετε εἶναι Χριστὸν ἀπεντεῦθεν ζητεῖτε, μητέπειτα γὰρ οὐχ εὑρίσκετε. ὡς γὰρ οἱ πατέρες ὑμῶν τὴν παρελθοῦσαν προσδοκίαν κρατοῦντες τῆς εὐκαιρίας ταύτης ἐξέπεσαν, οὕτως καὶ ὑμεῖς ἔστε· τὸ γὰρ ἐν τῷ προφήτῃ [1] ὑμῶν λεχθέν· λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες οὗτος ἐγενήθη [2] εἰς κεφαλὴν γωνίας, οὐχ ὡς μέλλων, ἀλλ' ὡς ἤδη γενόμενον νοήσατε. τί γὰρ μόνα τὰ προφητικὰ τῶν ἑβραίων ἀναπτύσομεν (καὶ μὴ) καὶ τὰ ἡμέτερα; Ὀφιανὸς ὁ Τερτηλέως ἐν νόμοις αὐτοῦ οὕτως λέγει· βαβαί! πῶς ἐκοσμήθη Κασπίη πύλη λίθον ὀρεινὸν λαβοῦσα ὅνπερ οὐ χεῖρες ἐλατόμησαν, ἀλλ' ἡ χάρις ἐφεῦρε, πᾶσαν δὲ τὴν πύλην δι' αὐτοῦ περισφίγξασα οὐ μόνον ἐστήριξεν αὐτήν, ἀλλὰ καὶ κεκλεισμένην ἤνοιξεν. ὁδὸς καὶ θύρα γενόμενος ὁ λίθος ἐπὶ σεπτὴν ἄγει θύραν καὶ ὁδὸς ἐφ'

[1] Coq. φωτί. [2] Cod. ἐγεννήθην.

.ὁδὸς ἐπ' ὁδὸν εἰλικρινῆ ἕλκει πάντων τῶν ὁρώντων αὐτὴν βοώντων· μεγάλη τῶν θεῶν ἡ δυναστεία τοῦ θέλειν τὸ πρακτικὸν ἑτοιμότερον ἐχόντων. Ἠλιβάτος ὁ ἀπείρους νόμους ἐγγραψάμενος λέγων εἰς Εὐκλαιὰ ἐν τοῖς ἐπὶ τέλει φάσκων οὕτως ἔφησε· νεφέλη φοβερὰ ἐπ' ὄρους καθίσασα λίθον ἕνα τῇ γῇ ἠκόντισεν καὶ πάντα τὰ θεμέλια τῆς γῆς ἐστήριξεν. καὶ πῶς λίθος εἷς τὴν σύμπασαν (γῆν) περικρατήσει; ὅτι καὶ εἷς θεὸς τὰ πάντα ἔκτισεν. Καὶ Τραχηλάφιος κατὰ ψευδονύμων λέγων ἐπικρατεῖ καὶ στερεᾷ ταῦτα· τίς ἐπλάνησεν τοὺς Διονύσῳ πεποιθότας λέγειν περὶ αὐτοῦ ὅτι ἀεὶ ἄναρχος [1]) ὢν ἐξ ἀνυβρίστου παρθένου ἐτέχθη ἀλλοτρίαν ἀξίαν περιθέντες αὐτῷ; ὁ γὰρ ἄναρχος ὁ τῆς ἀνάρχου οὐσίας ὢν ἐπικαίρου οὐσίας δράττεται, οὐχ ὕβριν αὐτὴν δεχόμενος· ἣν γὰρ ἔπλασεν λαμβάνων οὐκ ἂν αὐτὴν ἡγήσεται ὕβριν. ἐκεῖ [2]) παρθενοσάρκα χορηγεῖ τῷ μὲν σώματι ἀμιγής, τῇ δὲ γλώσσῃ ἀψευδής, ἔνδον οἰκοῦσαν ἔχουσαν πάσης χάριτος ἐνέργειαν. θαυμάζω τοὺς ῥευστοὺς τῶν ἀρετῶν δραττομένους. τοῦτο εἰδότες τοὺς μὲν

[1]) Cod. ὅτι ἀειρχος. [2]) Cod. add. παρθένος quod omisi.

ὁδὸν εἰλικρινῆ ἥκει πάντων τῶν ὁρώντων αὐτὴν βοώντων· μεγάλη τῶν θεῶν δυναστεία τοῦ θέλειν τὸ πρακτικὸν ἑτοιμότερον ἐχόντων· Ἠλιβάτος δὲ ὁ ἀπείρους νόμους ἐγγραψάμενος εἰς Εὐκλαιὰ ἐν τοῖς [1]) ἐπὶ τέλει φάσκων· νεφέλη φοβερὰ ἐπ' ὄρους καθίσασα λίθον ἕνα τῇ γῇ ἐκόντισε καὶ πάντα τὰ θεμέλια τῆς γῆς ἐστρήιξε. καὶ πῶς λίθος εἷς τὴν σύμπασαν γῆν περικρατήσει; ὅτι καὶ εἷς μόνος ὁ θεὸς πάντας ἔκτισεν. Καὶ Τραφιλάχιος δὲ κατὰ ψευδονύμων λέγων ἐπικρατεῖ καὶ στερεοῖ ταῦτα· τίς ἐπλάνησεν τοὺς Διονύσῳ πεποιθότας λέγειν περὶ αὐτοῦ ὅτι ἀεὶ ἄναρχος ὢν ἐξ ἀνυβρίστου παρθένου ἐτέχθη ἀλλοτρίαν ἀξίαν περιθέντες αὐτῷ; ὁ γὰρ ἄναρχος τῆς ἀνάρχου οὐσίας γεγονὼς ἐπικήρου οὐσίας δράττεται, οὐχ ὕβριν αὐτὴν δεχόμενος· ἣν γὰρ ἔπλασεν λαμβάνων οὐκ ἂν αὐτὴν ἡγήσαιτο ὕβριν. ἐκεῖ παρθένου σάρκα χορηγεῖ τῷ μὲν σώματι ἀμιγής, τῇ δὲ γλώσσῃ ἀψευδής, ἔνδον οἰκοῦσαν πάσης χάριτος ἐνέργειαν. θαυμάζω τοὺς ῥευστοὺς τῶν ἀρεύστων δραττομένους [2]). τοῦτο εἰδότες τοὺς μὲν ἐκθειασθέντες [3]) διὰ νόμων ἔκδοσιν, τοὺς δὲ διὰ γενναιοζω-

[1]) Cod. ταῖς. [2]) Cod. δριαττομένους. [3]) Cod. θείας ἐκθέντες.

ἐκθειασθέντας διὰ νόμων ἔκδοσιν, τοὺς δὲ διὰ γενοζωίαν καὶ ἄλλους καθαρῶς διαπρέψαντας ὧν χάριν τιμᾶν προσήκει. τὸ δὲ ἐπὶ τὰς οὐρανίας ἐλαύνειν τιμὰς πάσης τόλμης ἐπέκεινα καὶ πάσης βλασφημίας ἀνώτερον. Οἱ ἰουδαῖοι εἶπον· ταῦτα ἡμεῖς, δέσποτα, οὐ γινώσκομεν οὔτε ἐν γνώσει ἔχομεν. Ἀφροδιτιανὸς εἶπεν· τοῖς προφήταις ὑμῶν οὐ συμφωνεῖτε, τοὺς νόμους παραγράφεσθε. ἐκδῶτε οὖν ὑμῖν ἁπλῶς τοὺς νόμους τῶν γυναικῶν ὑμῶν εἰ ἄρα κἂν ἐκείνοις πεισθήσεσθε. Οἱ ἰουδαῖοι εἶπον· ἡ συνήθεια νόμος ἡμῖν καθέστηκεν καὶ οὐ δυνάμεθα πατρῷα ἀνατρέψαι ἔθη. Ἀφροδιτιανὸς εἶπεν· κἀγὼ οἶδα ὅτι ἔθη ἴδία κρατοῦντες τὴν ἀληθῆ θρησκείαν οὐ προσδέχεσθε, τὴν γὰρ ἰδίαν δόξαν ἀσφαλιζόμενοι τῇ τοῦ θεοῦ ὑμῶν δόξῃ οὐχ ὑποτάσσεσθε. Οἱ ἰουδαῖοι εἶπον· τί οὖν; κελεύεις γινώμεθα χριστιανοὶ καὶ ὑποπίπτωμεν αἱρέσεσιν; Ο δὲ Ἀφροδιτιανὸς εἶπεν· ὥστε οὐκ αἱρεσιαρχεῖτε ἔθεσιν ἰδίοις ζῶντες, πλὴν τί; θέλω ἐπισκόπων καθεζομένων τὸν περὶ αὐτῶν ποιεῖσθαι λόγον καὶ μάλιστα ὑμῖν (διαλεγόμενος) οἵτινες δοκεῖτε τῇ ἥττῃ μεγαλύνεσθαι. Οἱ ἰουδαῖοι εἶπον· λεγέτω πρὸς ἡμᾶς ἡ τῶν ἐπι-

ίαν [1]) καὶ ἄλλως καθαρῶς διαπρέψαντας ὧν χάριν τιμᾶν προσήκει. τὸ δὲ ἐπὶ τὰς [2]) οὐρανίους ἐλαύνειν τιμὰς πάσης τόλμης ἐπέκεινα καὶ πάσης βλασφημίας ἀνώτερον. Οἱ ἰουδαῖοι εἶπον· ταῦτα ἡμεῖς, δέσποτα, οὐ γινώσκομεν οὔτε ἐν γλώσσῃ ἔχομεν. Ἀφροδιτιανὸς εἶπεν· τοῖς προφήταις ὑμῶν οὐ συμφωνεῖτε, τοὺς νόμους παραγράφεσθε [3]). ἔκδοτε ὑμῖν τοὺς νόμους ἁπλῶς τῶν γυναικῶν ὑμῶν εἰ ἄρα κἂν ἐκείνοις προσθήσεσθε· Οἱ ἰουδαῖοι· ἡ συνήθεια νόμος ἡμῖν κατέστη καὶ οὐ δυνάμεθα ἔθη πατρῷα ἀνατρέψαι. Ἀφροδιτιανός. κἀγὼ οἶδα ὅτι ἔθη ἴδια κρατοῦντες τὴν ἀληθῆ θρησκείαν οὐ παρεδέχεσθε, τὴν γὰρ ἰδίαν δόξαν ἀσφαλιζόμενοι τῇ τοῦ θεοῦ ὑμῶν δόξῃ οὐχ ὑποτάσσεσθε. Οἱ ἰουδαῖοι· τί οὖν; κελεύεις γενώμεθα χριστιανοὶ καὶ ὑποπέσωμεν αἱρέσει; Ἀφροδιτιανός· ὥστε οὐκ αἱρεσιαρχεῖτε ἔθεσιν ἰδίοις ζῶντες, πλὴν τί; θέλω ἐγὼ ἐπισκόπων καθεζομένων τὸν περὶ αὐτῶν ποιεῖσθαι λόγον καὶ μάλιστα ὑμῖν διαλεγόμενος οἵτινες ἥττῃ δοκεῖτε μεγαλύνεσθαι. Οἱ ἰουδαῖοι εἶπον· λεγέτω πρὸς ἡμᾶς ἡ τῶν ἐπισκό-

---

[1]) Cod. γεναΐζωίαν. [2]) Cod. τούς. [3]) Cod. παραγκράφεσθαι.

σκόπων πληθύς, οἴδαμεν γὰρ ὅτι οὐκ ἀπορήσομεν πρὸς αὐτούς. Οἱ δὲ ἐπίσκοποι εἶπον· καλῶς ἤλθατε, ἡμεῖς γὰρ τοῦ θεοῦ οὐκ ἀφιστάμεθα τοῦ εἰπόντος· θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον. ἡμεῖς προβαλοῦμεν αὐτοῖς πρόβλημα ὃ πάντως νικήσει αὐτούς. Ἅτινα ἀκούσαντες οἱ ἰουδαῖοι εὐθαρσῶς εἶπον· προβάλεσθε. Οἱ ἐπίσκοποι εἶπον· ἐν τῷ Ἱερεμίᾳ λέγει· οὗτος ὁ θεὸς ὑμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτὸν (ὃς) ἐξεῦρεν πᾶσαν ὁδὸν ἐπιστήμης καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ, καὶ μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη. Ἀφροδιτιανὸς εἶπεν· τί λέγειν ἔχουσιν πρὸς ταῦτα οἱ τῶν ἰουδαίων ῥεμβεῖται Ἰακὼβ καὶ Φα(ῤ)ῥάς; οἱ ἰουδαῖο ιἀπεκρίθησαν· προσήκει αὐτοῖς ἄλλη μιᾷ μαρτυρίᾳ χρήσασθαι καθὼς ὁ νόμος λέγει. Οἱ ἐπίσκοποι εἶπον· τίνι εἴρηται· εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· κάθου ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου; Οἱ δὲ ἰουδαῖοι εἶπον· ὁ Χριστὸς ἐν δεξιᾷ τοῦ θεοῦ κάθηται ἄχρι ἂν τὴν καίριον [1]) ἔλευσιν ποιήσηται, ἥν-

[1]) Cod. κεραίαν.

πων πληθύς, οἴδαμεν γὰρ ὅτι οὐκ ἀπορήσομεν πρὸς αὐτούς. Οἱ ἐπίσκοποι· καλῶς ἤλθατε, ἡμεῖς τοῦ θεῦ οὐκ ἀφιστάμεθα τοῦ εἰπόντος· θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον. οἱ ἐπίσκοποι πάλιν· ἡμεῖς προβαλοῦμεν αὐτοῖς πρόβλημα ὃ πάντως νικήσει αὐτούς. Οἱ ἰουδαῖοι εὐθαρσῶς· προβάλεσθε. Οἱ ἐπίσκοποι· ἐν τῷ Ἱερεμίᾳ λέγει· οὗτος ὁ θεὸς ὑμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτὸν ὃς ἐξεῦρεν πᾶσαν ὁδὸν ἐπιστήμης καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ, καὶ μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη. Ἀφροδιτιανός· τί λέγειν ἔχουσιν πρὸς ταῦτα οἱ τῶν ἰουδαίων ῥεμβεῖς Ἰακὼβ καὶ Φαῤῥάς; Οἱ ἰουδαῖοι εἶπον· προσήκει δὲ αὐτοὺς ἄλλῃ μιᾷ [1]) χρήσασθαι μαρτυρίᾳ καθὼς ὁ νόμος λέγει. Οἱ ἐπίσκοποι· τίνι εἴρηται· κάθου ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου; Οἱ ἰουδαῖοι· ὁ Χριστὸς ἐκ δεξιῶν τοῦ θεοῦ κάθηται ἕως ἂν τὴν καίριον ἔλευσιν ποιήσηται, ἣν διὰ τῶν προφητῶν ἐπηγγείλατο. Οἱ ἐπίσκοποι· Τῷ καθημένῳ πάλιν λέγει· κάθου ἐκ δεξιῶν

[1]) Cod. μίᾳ.

ἰα τῶν προφητῶν ἐπηγ-
το. Οἱ ἐπίσκοποι εἶπον·
αθημένῳ πάλιν λέγει· κά-
κ δεξιῶν μου. τίνι δὲ ἔχ-
ν [1]) οἱ ἐχθράναντες; τῷ μή-
χρόντι, καὶ γὰρ τοῦτο τὸ λέ-
ἀθου (ἐστὶν) ἀπὸ γῆς πάλιν
ὐρανοὺς ἀνελθεῖν καὶ καθ-
καθὼς πρὶν ἐπάνω τῶν ἐχθ-
αὐτοῦ ὡς εἶναι ὑμᾶς ὑπὸ
; τοῦ ἔθνους αὐτοῦ πατου-
ς [2]) ἕως τελευταίας ὥρας.
ουδαῖοι ἀπεκρίθησαν εἰπόν-
προσδοκήσατε καὶ ὑμεῖς
ως πατεῖσθαι καιρίως; οἱ
οποι εἶπον· πατήσαντες ἀδί-
δικαίως πατεῖσθε, ὅθεν
ον τὸ ἀποβησόμενον ὑμῖν·
γὰρ καιρὸν ὃν λέγετε φθά-
ὑμᾶς βλέμματος γοργότερον
ρχετε μεθ' οὗ καὶ ὑμεῖς καὶ
ιστεύετε πλάνῳ εἰς αἰω-
πυρὸς ἐκδοχὴν δίδῶσθε [3])...

μου, τίνι δὲ ἤχθησαν οἱ ἐχθραίνοντες; τῷ μήπω παρόντι, καὶ γὰρ τοῦτο ὃ λέγει κάθου ἐστὶν τὸ ἀπὸ γῆς πάλιν εἰς οὐρανοὺς ἀνελθεῖν καὶ καθίσαι καθὼς πρὶν ἐπάνω τῶν ἐχθρῶν αὐτοῦ ὡς εἶναι ὑμᾶς ὑποπόδιον χριστιανοῦ φίλου πατουμένους ἕως τῆς τελευταίας ὥρας. Οἱ ἰουδαῖοι· προσεδοκήσατε καὶ ὑμεῖς πατεῖσθαι καιρίως; Οἱ ἐπίσκοποι· πατήσαντες ἀδίκως δικαίως πατεῖσθε, ὅθεν δίκαιον τὸ ἀποβησόμενον ὑμῖν. Καὶ πάλιν οἱ ἐπίσκοποι· τὸν καιρὸν [1]) ὃν λέγετε φθάνειν ὑμᾶς βλέμματος γοργότερον παρέρχετε μεθ' οὗ καὶ ὑμεῖς καὶ ᾧ πιστεύετε πλάνῳ τότε εἰς αἰωνίαν πυρὸς ἐκδοχὴν ἐκδοθήσεσθε, ὅμως μάρτυρας ἡμῶν προσβαλόμεθα ὑμῖν οἵτινες παρηκολούθησαν τῇ τοῦ Χριστοῦ ἐνσάρκῳ οἰκονομίᾳ καὶ παρουσίᾳ. καὶ γὰρ

ὑμεῖς ἅπερ λέγειν μέλλομεν ὑμῖν ἐν ὑπομνήμασιν ἔχετε· οἱ πατέρες ὑμῶν λίαν ἡττηθέντες καὶ τὴν ἧτταν εἰς νίκην ἀνί- ἀνακαλούμενοι ἐκέλευσαν μηδένα κατέχειν ταῦτα ἢ ὅλως ν ἵνα μὴ ἡ φιλοπονία τοῖς πολλοῖς γνῶσιν παράσχῃ [2]), ἀλλ' τιν αὐτῷ λαλούμενα καὶ κρύβην τὴν ἀλήθειαν ὑπὸ τῆς συνες ἀναγκάζεσθαι. α'. Τοὺς ἀπεντεῦθεν ἐκεῖ περάσαντας μάγους ἠκούσατε ἐκ θείας χρησμῳδίας ἀγομένους, οἱ προσκυνήες Χριστῷ δῶρα προσήγαγον, μεθ' ὧν οἱ τότε ὑμῶν ἀρχηγοὶ Ἡρώδῃ συντυχόντες εἶπον τὸ Ποῦ γεννᾶται Χριστός; ὡς καὶ

Cod. ἔχρησαν. [2]) Cod. πατουμέ- [3]) Post διδῶσθε folium periit.

[1]) Cod. add. λέγετε quod omisi.
[2]) Correxit librarius ex παρέχῃ.

ζηλώσαντα τὸν Ἡρώδην τὴν ἀναφύησαν βασιλείαν τὴν τοσαύτην παιδοσφαγίαν ποιῆσαι. β'. Ἰωάννης ὁ Βαπτιστὴς οὐκ ἐξ ἰουδαίων κατάγεται πρὸς ὃν ἀπεστείλατε ἐρωτῶντες εἰ αὐτός ἐστιν ὁ Χριστός; καὶ εἶπεν· οὐκ εἰμὶ ἐγώ, ἀλλὰ δείξας αὐτὸν εἶπεν· οὗτός ἐστιν ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. γ'. Λοιπὸν Νικόδημος ὁ ἄρχων ὑμῶν καὶ Ναθαναὴλ καὶ Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθαίας καὶ Βίζης καὶ Ἀλέξανδρος οἱ καὶ συνέφαγον αὐτῷ ἐν τῷ γάμῳ Σίμωνος τοῦ Γαλιλαίου, ἐν ᾧ καὶ τὸ ὕδωρ εἰς οἶνον μετέβαλεν. δ'. Οἱ πρεσβύτεροι ἐπὶ πρεσβείᾳ τοῦ ἑκατοντάρχου παιδὸς ἐξ αὐτῶν ἐκείνων σταλέντες σκολύναι αὐτὸν διὰ τὴν σωτηρίαν αὐτοῦ· ἄξιος γάρ ἐστιν, φησίν, ᾧ παρέξει τοῦτο, ἀγαπᾷ γὰρ τὸ ἔθνος ἡμῶν καὶ τὴν συναγωγὴν ἡμῶν αὐτὸς ᾠκοδόμησεν. ε'. Βασιλικὸς ὁ ἀνθύπατος ὁ ἀδελφὸς Ἰαείρου τοῦ ἀρχισυναγώγου οὗ τὸν [1]) υἱὸν ὑγιῆ ἐποίησεν, ὁ τούτου ἀδελφὸς Ἰάειρος παρακαλέσας αὐτὸν καὶ τὴν θυγατέραν αὐτοῦ ἤγειρεν ἐκ νεκρῶν. ς'. Καιάφας ὁ συμβουλεύσας ἕνα ἄνθρωπον ἀπολέσθαι. ζ'. Τοὺς παῖδας ὑμῶν βοῶντας ὡσάννα τῷ υἱῷ Δαυίδ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου βασιλεὺς τοῦ Ἰσραήλ. η'. Τῷ μαθητῇ Ἰούδα ᾧ ἐστήσατε τριάκοντα ἀργύρια ἵνα αὐτὸν παραδῷ ὑμῖν. θ'. Τοῖς στρατιώταις ἃ ἐδώκατε ἀργύρια ὥστε εἰπεῖν ὅτι οἱ μαθηταὶ αὐτοῦ νυκτὸς ἐλθόντες ἔκλεψαν αὐτὸν ἡμῶν κοιμωμένων. ι'. Ἰώσηπος ὁ συγγραφεὺς ὑμῶν ὃς εἴρηκε περὶ Χριστοῦ ἀνδρὸς δικαίου καὶ ἀγαθοῦ ἐκ θείας χάριτος ἀναδειχθέντα, σημείοις καὶ τέρασιν εὐεργετοῦντα πολλούς, καὶ ὅσα ἄλλα κεῖνται ἃ οὐ φέρομεν μέσῳ. Ἰουδαῖοι εἶπον· ἄνθρωπόν τινα λέγοντα

ἑαυτὸν θεὸν καὶ διὰ τοῦτο, φησίν, ἡ ἀναίρεσις τοιαύτη. Ἀφροδιτιανὸς εἶπεν· καὶ τούτου χάριν αὐτὸν ἐσταυρώσατε; Λέγουσιν αὐτῷ· ναί. Ἀφροδιτιανὸς εἶπεν· καὶ τίς τῶν εἰπόντων ἑαυτὸν θεὸν ἐν πᾶσι τοῖς καιροῖς ἀνῃρέθη; οὗτος δὲ μάλιστα εὐεργετῶν καὶ ἰώμε-

ἑαυτὸν θεόν, οὐδὲν γὰρ Χριστός. Ἀφροδιτιανὸς εἶπεν· ἐσταυρώσατέ τινα ὃν λέγετε ἄνθρωπον, Μαρίας υἱὸν ὄντα; Λέγουσιν· ναί. Καὶ διὰ τί ἐσταυρώσατε; Οἱ ἰουδαῖοι· ὅτι ἔλεγεν ἑαυτὸν θεόν. Ἀφροδιτιανός· καὶ διὰ τοῦτο, φησίν, ἡ αὐτοῦ ἀναίρεσις; Λέγουσιν αὐτῷ· ναί. Ἀφροδιτιανός· καὶ

---

[1]) Cod. οὗτον.

νος. Οἱ ἐπίσκοποι εἶπον· τίνος κατὰ τὸν προφήτην Δαυὶδ διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον; οἱ δὲ ἰουδαῖοι ἐσιώπησαν. Οἱ ἐπίσκοποι πάλιν εἶπον· περὶ τίνος εἶπεν Μωσῆς· ὄψεσθε τὴν ζωὴν ὑμῶν κρεμαμένην ἀπέναντι τῶν ὀφθαλμῶν ὑμῶν καὶ οὐ μὴ πιστεύσητε; Ἰακὼβ καὶ Φαῤῥὰς εἶπον· ἀληθῶς μέγα παρόραμα γέγονεν κἂν θέλουσιν μυριάκις οἱ ἀπὸ τοῦ ἔθνους βδελύξασθαι ἡμᾶς. ὅσα γὰρ οἱ ἱερόφανται προεῖπον, ὄξος καὶ χολήν, διαμερισμὸν ἱματίων, ἐκ τυφλώσεως πολλῆς ταῦτα ἐποιήσαμεν, ἵνα καὶ τὸ αἷμα ἐκεῖνο ἔλθῃ ἐπὶ τὸ ἔθνος καὶ τὰ γινόμενα ἀληθεύσωσιν. φθόνῳ διαφερόμενοι πρὸς αὐτὸν σημείων καὶ τεράτων ὧν ἐποίει ἔμπροσθεν αὐτῶν καὶ διὰ τὸ πάντας ἀκολουθεῖν αὐτῷ ἔσπευδον ἀνελεῖν αὐτὸν ἵνα τὸ ἔθνος στῇ, καὶ οὐ μόνον ὅτι οὐχ ἔστη, ἀλλὰ καὶ πλείστοις διασποραῖς ἐδόθημεν καὶ τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας ᾄδομεν διὰ τοὺς τότε φιλαρχήσαντας διδασκάλους ὧν ὁ σατανᾶς ἐτύφλωσεν τὰ νοήματα. Οἱ ἐπίσκοποι εἶπον πρὸς τὸν Ἀφροδιτιανόν· παρακαλοῦμέν (σε), δέσποτα, ἀνενεχθῆναι ταῦτα πάντα ταῖς ἀκοαῖς τοῦ βασιλέως. ὁ δὲ εἶ-

τίς τῶν εἰπόντων ἑαυτοὺς θεοὺς ἀνῄρηται ἐν πᾶσι τοῖς καιροῖς; οὗτος δὲ μάλιστα εὐεργετῶν καὶ ἰώμενος. Οἱ ἐπίσκοποι· τίνος ἕνεκεν (εἴρηται?) ἃ κατὰ τὸν προφήτην Δαυίδ· διεμερίσαντο τὰ ἱμάτιά μου καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον; οἱ δὲ ἐσιώπησαν. Καὶ οἱ ἐπίσκοποι· περὶ τίνος εἶπε Μωυσῆς· ὄψεσθε τὴν ζωὴν ὑμῶν κρεμαμένην ἀπέναντι τῶν ὀφθαλμῶν ὑμῶν καὶ οὐ μὴ πιστεύσητε; Ἰάκωβος καὶ Φαῤῥάς· ἀληθῶς μέγα ἡμῶν τὸ παρόραμα γέγονεν κἂν [1]) θέλουσιν οἱ ἀπὸ τοῦ ἔθνους ὑμῶν μυριάκις βδελύξασθαι ἡμᾶς· ὅσα γὰρ οἱ ἱεροφάνται προεῖπον, ὄξος, χολήν, διαμερισμὸν ἱματίων, ἐκ τυφλώσεως πολλῆς ταῦτα ἐποιήσαμεν, ἵνα καὶ τὸ αἷμα ἐκεῖνο ἔλθῃ ἐπὶ τὸ ἔθνος ἡμῶν καὶ τὰ γινόμενα ἀληθεύσωσι. φθόνῳ δὲ φερόμενοι πρὸς αὐτὸν σημεῖα καὶ τέρατα ἃ ἐποίει ἔνπροσθεν αὐτῶν διὰ τὸ πάντας λοιπὸν ἀκολουθεῖν [2]) αὐτῷ ἔσπευσαν ἀνελεῖν αὐτὸν ἵνα τὸ ἔθνος στῇ, καὶ οὐ μόνον ὅτι οὐχ ἔστη [3]), ἀλλὰ πλείστας διαφορὰς ἐδόθημεν καὶ τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας ᾄδομεν διὰ τοὺς τότε φιλαρχήσαν-

---

[1]) Cod. καί. [2]) Cod. ἀκολουθῶν.
[3]) Cod. ἔστιν.

πεν· ἀνενεχθήσεται. καὶ ἀπελθὼν ἐγνώρισεν πάντα τῷ βασιλεῖ· ἔχαιρε δὲ ὁ βασιλεὺς καὶ οἱ ὑπὸ τὴν βασιλείαν ἐπὶ τῇ διορθότητι Ἀφροδιτιανοῦ. Καὶ δὴ μαθόντες ταῦτα οἱ λοιποὶ ἰουδαῖοι καὶ οἱ τούτων ἀρχηγοὶ ἐπανέστησαν κατὰ τῶν δύο τούτων, Ἰακὼβ καὶ Φαῤῥάν, καὶ ἐποίησαν αὐτοὺς ἀποσυναγώγους λέγοντες αὐτοῖς· ἰσχύνατε ἡμᾶς, χριστιανῶν γεγόνατε συνήγοροι; χριστιανίζειν ἤρξασθε, τοὺς πατέρας ἠρνήσασθε, τὸν νόμον ἐλύσατε, ἀνθρωπολατρεῖν μεμαθήκατε πάντας. καὶ πάραυτα ἀπῆλθον πρὸς Μηθροβάδην υἱὸν Ἀῤῥηνάτου ταξάμενοι αὐτῷ κεντινάρια τριάκοντα ὥστε μηκέτι ἡγεῖσθαι ἐκείνους ἐν τῷ ἔθνει, ἀλλ' εἶναι αὐτοὺς ἀπὸ ἀξίας ἱερατικῆς. Ὁ δὲ Ἀῤῥηνάτος λέγει τῷ υἱῷ αὐτοῦ· τί θέλεις ἐκ τοιαύτης αἰτίας χρήματα ὡς πενομένης τῆς βασιλείας τῆς Περσικῆς λόγῳ συνακτεῖς αὐτῇ; πάντες οἱ θησαυροὶ Μήδων καὶ Περσῶν, Σκύθων καὶ Αἰλυμαίων καὶ Σεμιραμιτῶν ὑπὸ χεῖράς σοῦ εἰσιν, μάλιστα ἐπὶ κατάλυσιν τοῦ νόμου παρεχόμενά σοι. ἀπόστα ἀπὸ τούτων, τέκνον, ὡς ἂν συνίδωσιν οἱ ἱερεῖς ποιήσωσιν. Ἰακὼβ δὲ καὶ Φαῤῥάς γνόντες τὰ λαληθέντα

τας διδασκάλους ὧν ὁ σατανᾶς ἐτύφλωσεν τὰ νοήματα. Οἱ ἐπίσκοποι· παρακαλοῦμέν σε, δέσποτα, ἀνενεχθῆναι ταῦτα πάντα ταῖς θείαις ἀκοαῖς. Καὶ ὁ Ἀφροδιτιανός· ἀνενεχθήσονται. καὶ ἀπελθὼν ἐγνώρισεν πάντα τῷ βασιλεῖ· ἔχαιρε δὲ ὁ βασιλεὺς καὶ οἱ ἐπὶ τὴν βασιλείαν αὐτοῦ ἐπὶ τῇ ὀρθότητι τοῦ Ἀφροδιτιανοῦ. Καὶ δὴ μαθόντες ταῦτα οἱ λοιποὶ ἰουδαῖοι καὶ οἱ τούτων ἀρχηγοὶ ἐπανέστησαν κατὰ τῶν δύο τούτων, Ἰακὼβ καὶ Φαῤῥά, καὶ ἐποίησαν αὐτοὺς ἀποσυναγώγους λέγοντες αὐτοῖς· ἰσχύνατε ἡμᾶς χριστιανῶν γενέσθαι συνήγοροι; χριστιανίζειν [1]) ἤρξασθε, τοὺς πατέρας ἠρνήσασθε, τὸν νόμον ἐλύσατε, ἀνθρωπολατρεύειν μεμαθήκατε πάντως. Καὶ πρὸς αὐτὰ (= πάραυτα) ἀπῆλθον πρὸς τὸν Μηθροβάδην τὸν υἱὸν Ἀῤῥενάτου ταξάμενοι αὐτῷ κεντίνας ν', ὥστε μηκέτι αὐτὸν ἐκείνους ἐν τῷ ἔθνει ἡγεῖσθαι, ἀλλ' εἶναι αὐτοὺς ἀπὸ ἀξίας ἱερατικῆς. Ὁ δὲ Ἀῤῥενάτος λέγει τῷ υἱῷ αὐτοῦ· τί θέλεις [2]) ἐκ τῆς τοιαύτης χρείας χρήματα ὡς πενομένης τῆς Περσικῆς βασιλείας συνάγεις ταῦτα; πάντες οἱ θησαυροὶ Μήδων καὶ Βάκτρων,

[1]) Cod. χριστιανῶν. [2]) Cod. θέλετε.

ἐκίνησαν [1]) ἑαυτοὺς καὶ συνήγαγον πάντας τοὺς οἰκογενεῖς αὐτῶν καὶ τοὺς φίλους καὶ τοὺς τὰ ἀκριβῆ φιλονεικοῦντας καὶ διεῖλον αὐτῶν τὸ ἔθνος ὥστε αὐτοὺς πλείω τοῦ ἡμισοῦς γενέσθαι. Καὶ ἦν εἰς τὸ ἕτερον μέρος Σίμων καὶ Βαρνάης καὶ Σκύλλας ἀπὸ ἑλλήνων μεταβάς. παρεκάλεσαν δὲ οἱ περὶ Ἰάκωβον τὸν Ἀφροδιτιανὸν ἔχειν αὐτοὺς λόγον, μὴ ἐκ τῆς ἐξουσίας ἐπέλευσίν τινα ὑπομεῖναι καὶ ἀρκούμεθα ἑαυτοῖς καὶ ταῖς προσούσαις ἡμῖν δικαιολογίαις. Καὶ ἐποίησεν οὕτως ὁ βασιλεὺς τὸ ἕκαστον δικαιολογηθῆναι. τῇ δὲ ἑτέρᾳ ἡμέρᾳ εἰσῆλθον ἀμφότερα τὰ μέρη καὶ προσεκύνησαν τὸν Ἀφροδιτιανὸν καὶ τοὺς ἐπισκόπους, ἐπετράπησαν δὲ καθίσαι καθ' ἑαυτὰ τὰ μέρει ὡ(ς) ὤφειλον, καὶ καθισάντων εἶπεν ὁ Ἀφροδιτιανός· νῦν τὸ κινούμενον οὐκ ἔστιν ὑμῶν, ἀλλὰ τούτων, διὸ παρακαλῶ τὰς ἀμφιβολίας αὐτῶν μὴ μέσον λαλῆσαι ὅπως αὐτοὶ ἑαυτοὺς πείσωσιν· εἰ γὰρ ἐναντιωθήσεσθε, ὀξύτεροι καὶ αὐτοὶ πρὸς ἐναντίωσιν γενήσονται καὶ συγχέεται τὸ ἀκροατήριον, μάλιστα δὲ καὶ παρέξει ὑμῶν τὸ τοιοῦτον τυγχάνον. Οἱ δὲ ἐπίσκοποι εἶπον· ὡς κελεύ-

[1]) Cod. ἐκένησαν.

Σκυθῶν καὶ Αἰλυμαιῶν καὶ Σεμιραμιστῶν ὑπὸ τὴν χεῖράν σοῦ εἰσιν, καὶ τῷ εὐτελεῖ τούτῳ χρήματι προσέχεις, μάλιστα δὲ ἐπὶ καταλύσει νόμων παρεχόμενά σοι; ἀπόστα τούτων, τέκνον, καὶ ὡς ἂν δυνηθῶσιν οἱ ἱερεῖς ποιήσομεν. Ἰάκωβος δὲ καὶ Φαῤῥὰς γνόντες τὰ λαληθέντα ἐκίνησαν ἑαυτοὺς καὶ συνήγαγον πάντας τοὺς οἰκογενεῖς καὶ φίλους καὶ τοὺς ἀκριβῆ φιλοπιστοῦντας καὶ διεῖλον [1]) αὐτῶν τὸ ἔθνος ὡς ἑαυτοὺς τὸ ἥμισυ γενέσθαι. Καὶ ἦν εἰς τὸ ἓν μέρος Σίμων καὶ Βαρνάβας καὶ Ἀκύλας ἀπὸ ἑλλήνων μεταβάς. παρεκάλεσαν δὲ οἱ περὶ Ἰάκωβον τὸν Ἀφροδιτιανὸν ἔχειν αὐτοὺς λόγον, μὴ ἐκ τῆς ἀξίας ἐπέλευσίν τινα εἶναι ἢ ὑπομεῖναι, καὶ ἀρκούμεθα ἑαυτούς, φησίν, καὶ ταῖς προσούσαις ἡμῖν δικαιολογίαις. Καὶ ἐποίησεν οὕτως ὁ βασιλεὺς καὶ ἐκέλευσεν αὐτοὺς δικαιολογηθῆναι. καὶ τῇ ἑτέρᾳ εἰσήλθωσαν ἀμφότερα τὰ μέρη καὶ προσεκύνησαν τῷ Ἀφροδιτιανῷ καὶ τοῖς ἐπισκόποις, ἐπετράπησαν δὲ καθίσαι, καὶ καθισάντων εἶπεν ὁ Ἀφροδιτιανὸς τοῖς ἐπισκόποις· νῦν τὸ κινούμενον οὐκ ἔστιν ὑμῶν, ἀλλὰ τούτων, διὸ παρακαλῶ

[1]) Cod. δῆλον.

σας ἡμῖν, καθαρὲ καὶ ἐπιφανῆ, οὕτως ποιοῦμεν. Ἀφροδιτιανὸς εἶπεν· ἐπιτρέπεται ὑμῖν, Σίμων καὶ Βαρναὴ καὶ Σίλα, λέγειν ἥντινα πρὸς τὸν νόμον ἑαυτῶν ποιεῖσθε δικαιολογίαν· ἀκολούθως γὰρ μετὰ τοῦτο καὶ πρὸς τὴν τῶν διδασκάλων αἰτίαν ἐρωτῆσαι. Σίμων καὶ οἱ περὶ αὐτὸν εἶπον· οἶδεν τὸ σεπτὸν καὶ οὐράνιόν σου νεῦμα καὶ τῶν θεοφιλῶν τούτων ἱερέων ὅτι πάντες ἕνα θεὸν σέβομεν καὶ ὁ θεὸς ἀπείρων δοξῶν ἐστιν πατήρ· ὡς οὖν δοκεῖ ἑκάστῳ περὶ δόξης θεοῦ οὕτως θρησκεύει. Ἀφροδιτιανὸς εἶπεν· ὁ θεὸς μεμερισμένας δόξας οὔτε ἔσχεν οὔτε ἔχει οὔτε ἕξει, εἷς γὰρ ὢν μίαν εὔστατον (ἔχει) δόξαν καὶ αἰώνιον ὡς καὶ πάντας δεῖ γνῶναι. εἰ γὰρ ἀπείρων δοξῶν ἐστιν πατήρ, ποίας ἄν τις ἀνθέξεται ἢ πῶς ἴδει τις ποίαν καὶ τίνα κρατήσει; διαιρουμένων δὲ τῶν δοξῶν διαιρεῖται καὶ ὁ δοξαζόμενος. Οἱ περὶ Σίμωνα εἶπον· παρακαλοῦμέν σε τὴν ἥμερον καὶ εὐσταθῆ φιλανθρωπίαν μὴ οὕτως ἀποτίνεσθαι εἰς ἡμᾶς, πολλῇ γὰρ φιλοπονίᾳ ἐξήσκησε(ς) (λόγον) καὶ οὐκ εὐποροῦμεν λέγειν πρός σε, ἀλλ' ὡς δυνάμεθα νοῆσαι λάλησον ἡμῖν. Ἰακὼβ καὶ Φάραν (sic) ἀπεκρίθησαν· μὴ γὰρ περὶ δόξης θεοῦ ἐστιν τὰς ἀμφιβολίας αὐτῶν μὴ μεσολαβῆσαι ὅπως αὐτοὶ ἑαυτοὺς πείσωσιν· εἰ γὰρ ἐναντιωθήσεσθε, ὀξύτεροι καὶ αὐτοὶ πρὸς ἐναντίωσιν γίνονται καὶ συγχέεται τὸ [1]) ἀκροατήριον, μάλιστα δὲ καὶ παρέξει [2]) ὑμῶν τὸ τοιοῦτον τυγχάνον. Οἱ ἐπίσκοποι· ὡς κελεύσας ἡμῖν, καθαρὲ καὶ ἐπιφανῆ, οὕτως ποιοῦμεν. Ἀφροδιτιανός· ἐπιτρέπεται ὑμῖν, Σίμων [3]) καὶ Βαρνάβα καὶ Ἀκύλα, λέγειν ἥ(ν)τινα πρὸς τὸν νόμον ἑαυτῶν ποιεῖσθε δικαιολογίαν· ἀκολούθως γὰρ μετὰ τοῦτο καὶ τὴν πρὸς τοὺς διδασκάλους αἰτίαν ἐρωτῆσαι. Σίμων καὶ οἱ περὶ αὐτὸν εἶπον· οἶδε τὸ σεπτὸν καὶ οὐράνιόν σου νεῦμα καὶ τῶν θεοφιλῶν τούτων ἱερέων ὅτι πάντες ἕνα θεὸν σέβομεν καὶ ὁ θεὸς ἀπείρων δοξῶν ἐστιν πατήρ· ὡς οὖν δοκεῖ ἑκάστῳ περὶ δόξης θεοῦ οὕτως θρησκεύειν. Ἀφροδιτιανός· θεὸς μεμερισμένας δόξας οὔτε ἔσχεν οὔτε ἕξει, εἷς γὰρ ὢν καὶ μίαν εὐσύστατον ἔχει δόξαν ἣν πάντας δεῖ [4]) γνῶναι. εἰ γὰρ ἀπείρων δοξῶν ἐστιν πατήρ, ποίαν τις ἀνθέξεται ἢ πῶς ἴδει τις καὶ τίνα κρατήσει; διαιρουμένων γὰρ τῶν δοξῶν διαιρεῖται καὶ

[1]) Cod. συγχέονται τόν. [2]) Cod. παραξίαν. [3]) Cod. Cίμωνι. [4]) Cod. δώη.

ἡμῶν ἡ φιλονεικία, (ἀλλὰ) περὶ Χριστοῦ τοῦ Ναζωραίου ὃν φόνῳ ἀνεῖλον οἱ, εἴθε μὴ γενόμενοι, πατέρες ὑμῶν, οὐ γὰρ ἡμῶν· τὴν γὰρ αἰσχύνην τοῦ φόνου τούτου μὴ φέροντες τὸ ὅλον ἀρνεῖσθε ἵνα μὴ κατακριθῆτε. Οὗτος γάρ ἐστι, περὶ οὗ φησιν Δαυίδ· Κύριος εἶπε πρός με· υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε καὶ τὰ ἑξῆς, καί· ὁ θρόνος σου, ὁ θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, διὰ τοῦτο ἔχρισέν σε ὁ θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου, καί· λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας, καί· ἰδοὺ ἐξ ὄρου(ς) ἐτμήθη λίθος ἄνευ χειρῶν καὶ ὁ λίθος ὁ πατάξας τὴν εἰκόνα ἐγένετο εἰς ὄρος μέγα καὶ ἐπλήρωσε πᾶσαν τὴν γῆν, καί· ἰδοὺ τίθημι ἐν Σιὼν λίθον ἀκρογωνιαῖον, ἐκλεκτόν, ἔντιμον καὶ ὁ πιστεύων ἐπ' αὐτῷ οὐ μὴ καταισχυνθήσεται. καί· ἰδοὺ ἡ νεᾶνις ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱὸν καὶ καλέσουσιν τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. καὶ τό· ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ τὰ ἄλλα ῥητά, καὶ τό· ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ ὡς ὅμοιος υἱὸς ἀνθρώπου ἦλθεν καὶ ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν ἔφθασεν καὶ αὐτῷ ἐδόθη ὁ δοξαζόμενος. Οἱ περὶ Σίμωνα εἶπον· παρακαλοῦμέν σου τὴν ἥμερον [1]) καὶ εὐσταθῆ φιλανθρωπίαν μὴ οὕτως ἀποκρίνεσθαι εἰς ἡμᾶς, πολλὴν γὰρ φιλοπονίαν ἐξήσκησας λόγον καὶ οὐκ εὐποροῦμεν λέγειν πρός σε, ἀλλ' ὡς δυνάμεθα νοῆσαι λάλησον ἡμῖν. Ἰακὼβ καὶ Φαρράς· μὴ γὰρ περὶ θεοῦ δοξῶν ἡμῖν ἐστιν ἡ φιλονεικία, (ἀλλὰ) περὶ Χριστοῦ τοῦ Ναζωραίου ὃν φθόνῳ ἀνεῖλον οἱ, εἴθε μὴ ἐγένοντο, πατέρες ὑμῶν, τὴν δὲ αἰσχύνην τοῦ φθόνου τούτου μὴ φέροντες τὸ ὅλον ἀρνεῖσθε ἵνα μὴ κατακριθῆτε. Οὗτος γάρ ἐστι περὶ οὗ Δαυὶδ εἶπεν· Κύριος εἶπε πρός με· υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε καὶ ὁ θρόνος σου εἰς τὸν αἰῶνα, ἕως τό· διὰ τοῦτο ἔχρισέν σε ὁ θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου, καί· λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες οὗτος ἐγενήθη [2]) εἰς κεφαλὴν γωνίας. καί· ἰδοὺ ἐξ ὄρους ἐτμήθη λίθος ἄνευ χειρῶν καὶ ὁ πατάξας τὴν εἰκόνα ἐγένετο ὡς ὄρος μέγα καὶ ἐπλήρωσε πᾶσαν τὴν γῆν. καί· ἰδοὺ τίθημι ἐν Σιὼν λίθον ἀκρογωνιαῖον, ἐκλεκτόν, ἔνδοξον καὶ ὁ πιστεύων εἰς αὐτὸν σωθήσεται. καί·

---

[1]) Cod. ἡμετέραν. [2]) Cod. ἐγενήθην.

ἡ τιμὴ καὶ ἡ βασιλεία καὶ πᾶσαι αἱ φυλαὶ αὐτῷ δουλεύσουσιν, ἡ βασιλεία αὐτοῦ βάσιλεία αἰώνιος καὶ ἡ ἐξουσία αὐτοῦ εἰς γενεὰν καὶ ἔτι ἥτις οὐ παρελεύσεται. Ταῦτα πάντα καὶ ἕτερα περὶ Χριστοῦ εἴρηται οὗ (=ὃν) ἐσταύρωσαν οἱ αὐτοκατάρατοι πατέρες ὑμῶν, ὅστις ἀνέστη καὶ τῷ ἁγίῳ πατρὶ συνεδρεύει ἐν τοῖς ἀχράντοις οὐρανοῖς. Οἱ δὲ περὶ Σίμωνα εἶπον· καὶ διὰ τί πρὶν ταῦτα οὐκ ἐλέγετε, ἀλλὰ τῇ ἀντιπαθείᾳ ἡμῶν τὰ τοιαῦτα ἤρξασθε διδάσκειν; Ἰακὼβ καὶ Φάραν εἶπον· οἶδεν ἡ ἀντιπάθεια ἀφορμὰς ἀγαθὰς καὶ ἐπικερδεῖς προξενῆσαι, ὡς δὲ ὁ πάτριος θεὸς οἶδεν ταῦτα πάντα ὅτι κατὰ διάνοιαν εἴχομεν καὶ κατεγινώσκομεν τῶν ἀνελόντων αὐτόν, ἀλλὰ δὴ ἣν ἐπείχομεν ἀξίαν τὴν ἀλήθειαν ἐκρύβομεν, μέντοι γε τῇ καρδίᾳ ἐχριστιανίζομεν. ἰδοὺ οὖν προφάσει ἀγαθῇ τὴν τελειώτητα ἐφθάσαμεν, καὶ γὰρ καὶ τότε πολλοὶ διὰ τὸν φόβον ἐκεῖνον τὸ κατ' ὄψιν φυλάττοντες τὸ κατὰ διάνοιαν ἄλλως εἶχον. Ἀφροδιτιανὸς εἶπεν· ὁ μὲν ἄνθρωπος ἰδίαις ἐννοίαις ταις ἐπιγινομέναις πᾶσαν ὥραν ἀστατεῖ περὶ πολλὰ νεύων πολλὴν οὐ φθάσει τις τὴν ἀλήθειαν τῷ ψεύδει ἢ τῷ ἐναντίῳ τὸ εὐθὲς (=εὐθὺ) εὑρήσει. πῶς δὲ κἂν

ἰδοὺ ἡ νεᾶνις ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱὸν καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. καί· ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη. καί· ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ ὡς ὅμοιος υἱὸς ἀνθρώπου ἐρχόμενος ἦν καὶ ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν ἔφθασεν καὶ αὐτῷ δουλεύσωσιν, ἡ βασιλεία αὐτοῦ βασιλεία διηνεκὴς καὶ ἡ ἐξουσία αὐτοῦ εἰς γενεὰν ἔσται. Ταῦτα πάντα καὶ ἕτερα περὶ Χριστοῦ εἴρηται ὃν ἐσταύρωσαν οἱ αὐτοκατάρατοι πατέρες ὑμῶν καὶ ἀνέστη καὶ τῷ ἁγίῳ πνεύματι συνεδρεύει ἐν τοῖς οὐρανοῖς. Σίμων καὶ οἱ σὺν αὐτῷ εἶπον· καὶ διὰ τί πρὶν ταῦτα οὐκ ἐλέγετε, ἀλλὰ τῇ ἀντιπαθείᾳ ἡμῶν τὰ τοιαῦτα ἤρξασθε διδάσκειν; Ἰάκωβος καὶ Φαρρὰς εἶπον· οἶδεν ἡ ἀντιπάθεια ἀφορμὰς ἀγαθὰς καὶ ἐπικερδεῖς προξενῆσαι, ὡς δὲ ὁ πάτριος θεὸς εἶδεν ὅτι κατὰ διάνοιαν πάντα ἔχομεν καὶ καταγινώσκομεν τῶν ἀνελόντων αὐτὸν καὶ ἃ ἐπείχομεν ἄξια τὴν ἀλήθειαν ἐκρύβομεν καὶ ὅμως μέντοι τῇ καρδίᾳ ἐχριστιανίζομεν. ἰδοὺ οὖν προφάσει ἀγαθῇ τὴν τελειώτηταν ἐφθάσαμεν [1]), καὶ γὰρ καὶ τότε πολλοὶ διὰ τὸν φόβον ἐκεῖνον τὸ κατ' ὄψιν

[1]) Cod. ἐφθάσωμεν.

εἰς ὃ καταντᾷ τις εὐσεβὲς τοῦτο ἐπιμένει, ὅθεν τὰ ἄμφω τὰ μέρη τῇ ἰδίᾳ δοκιμασίᾳ τὸ ἀρέσκον ἑαυτοῖς διαπράξασθε. Οἱ περὶ Ἰάκωβον εἶπον· ἡμεῖς οἴδαμεν Χριστὸν ἐξ οὐρανῶν ἐληλυθότα καὶ τῆς αὐτοῦ πίστεώς ἐσμεν μηκέτι τὰ ἰουδαίων βουλόμενοι φρονεῖν. Σίμων καὶ οἱ σὺν αὐτῷ εἶπον· οὐδὲ θέλοντας ἡμᾶς ἔτι δέξηται τὸ ἔθνος, πῶς γὰρ τοὺς καθ' ἑαυτῶν μεθ' ἑαυτῶν σχῶσιν; Ἀφροδιτιανὸς ἔφη· ἐξωθεῖσθε οὖν τοὺς διδασκάλους οἱ αἱροῦνται εἰπεῖν τὸ ἀληθές; Σίμων εἶπεν· οὔτε αὐτοὶ πρὸς ἡμᾶς οὔτε ἡμεῖς πρὸς αὐτοὺς εἰρηνεύομεν ἔτι, διέστημεν γὰρ πολέμιοι ἑαυτῶν γενόμενοι. Ἀφροδιτιανὸς λέγει· τοῦτο αὐτῷ ὅρκος μέχρι λόγων ἐστὶν τὰ καθ' ἡμᾶς παντὸς γράμματος ἔρημοι ὄντες. τοὺς γὰρ ἐπὶ γραμματικὴν νοουμένους ἐκείνους ἔθνος ἐκλεκτὸν οἶδα οὐρανίους οὐράνια πτοουμένους, πλὴν ὑπόδειγμα μικρὸν ἴσον τοῦ πρώτου παραθήσω ὑμῖν. Γυναῖκαν ποιμένισσαν καταλαβὼν ἐν τῇ Ἀριγαβανῶν (κατοικίᾳ) καὶ ἠράσθη αὐτῆ(ς) Κόατος ὁ Κοάτου παῖς καὶ διεπέμψατο ἀντίδωρα ἵνα συνθῆται αὐτῷ, ἡ δὲ ἰδοῦσα τὰ δῶρα γελάσασα εἶπε τῷ ἀποκρισιαρίῳ δείξασα τὰ πρόβατα· ἰδοὺ τὰ

φυλάττοντες τὸ κατὰ διάνοιαν ἄλλως εἶχον. Ὁ Ἀφροδιτιανός· ὁ μὲν ἄνθρωπος ἰδίαις ἐννοίαις καὶ ταῖς ἐπισαγομέναις πᾶσαν ὥραν ἀνοήστει (sic) περὶ πόλεων, ὅταν δὲ φθάσῃ τὴν ἀλήθειαν ὁποία δὴ ἢ τῷ ἐναντίῳ τὸ ψευδὲς εὑρήσει. ὅπως δὲ κἂν εἰς ὃ καταντᾷ τις εὐσεβής, φησίν, ἐν τούτῳ ἐπιμείνει, ὅθεν ἄμφω τὰ μέρη τῇ ἰδίᾳ δοκιμασίᾳ τὸ ἀρέσκον αὐτοῖς διαπράξασθε. Οἱ περὶ Ἰάκωβον εἶπον· ἡμεῖς Χριστὸν οἴδαμεν ἐξ οὐρανοῦ ἐληλυθότα καὶ τῆς αὐτοῦ πίστεώς ἐσμεν μηκέτι τὰ ἰουδαίων βουλόμενοι φρονεῖν. Σίμων καὶ οἱ σὺν αὐτῷ εἶπον· θέλοντας ἡμᾶς οὐκέτι δέξεται τὸ ἔθνος, πῶς γὰρ καὶ τοὺς καθ' ἑαυτῶν μεθ' ἑαυτῶν σχῶσιν; Ἀφροδιτιανός· ἐξωθεῖσθε οὖν τοὺς διδασκάλους ὅτι εἶπον τὴν ἀλήθειαν; Σίμων εἶπεν· οὔτε αὐτοὶ πρὸς ἡμᾶς οὔτε ἡμεῖς πρὸς αὐτοὺς εἰρηνεύσομεν, διέστημεν γὰρ πολέμιοι ἑαυτῶν γινόμενοι. Ἀφροδιτιανός· ἱκανῶς, τοῦτο γὰρ αὐτοῦ ὁ ὅρκος μέχρι λόγων ἐστὶν τὰ καθ' ἡμῶν [1]) πράγματος παντὸς ἔρημοι [2]) ὄντες. τοὺς γὰρ ἐπὶ πράγματι κρινομένους ἐκείνους ἔθνος ἐκ-

---

[1]) Cod. add. ἐστὶν quod omisi.
[2]) Cod. εἴρημοι.

δῶρα καὶ τὰ τέκνα μου ἐξ ὧνπερ καὶ τρέφομαι θείᾳ χάριτι. ὁ δὲ αὐτὸς ἀπῆλθεν πρὸς αὐτὴν λαμπραῖς ἐπαγγελίαις καταδέχεσθαι αὐτήν. ἥτις λέγει· ὃν δέδωκέν μοι ἡ χάρις ἄρυπον χιτῶνα τοῦτον ἐγὼ οὐ μιάνω. Κόατος λέγει· μελέα τοῦτο ἄνωθεν νενομοθέτηται πρὸς τὸ τὸ γένος πληθυνθῆναι. Ἡ ποιμένισσα εἶπεν· ἐμοὶ ἐνομοθετή(θη) μηδένα πλέον ἐν οἷσπερ εἰμὶ κτᾶσθαι. πολλὰ δὲ παραινέσας καὶ μηδὲν ἀνύσας ἐκέλευσεν αὐτὴν λιμοκτονηθῆναι. Τῇ οὖν τρίτῃ ἡμέρᾳ μέλλουσα ἀποψύξαι φωνὴν ἱλαρὰν ἀφῆκεν οὕτως· ὦ τῶν γνησίων σου τέκνων οὐράνιε πάτερ! ὦ τῶν ὡραίων ἐν κάλλε(ι) (νυμφίε) [1]) ἄχραντε! πρός σε ἔρχομαι, τριπόθητε δέσποτα·ἅ μοι δέδωκας ἀντιπαραδοῦσά σοι ἄμεμπτα παρθενίαν, ἀμνησικακίαν κακῶν, ἀκτήμονα ὕπαρξιν, γλῶτταν ἀληθῆ, καρδίαν κακίας ἀλλοτρίαν, ἐλπίδα μέλλουσαν ἀεὶ πρός σε ἔχουσαν. Καὶ ταῦτα εἰπούσης αὐτῆς οὕτως ἀπέψυξεν. Μαθὼν δὲ (πατὴρ Κο)άτου τοῦτο ἐκέλευσεν αὐτὸν κα(τὰ κέφα)λα [1]) κρεμασθῆναι μέσον τῆς πόλεως ἐπὶ ἱστίου ὑψηλοῦ ὥστε γενέσθαι

[1]) Quae uncis saepsi abscissa perierunt.

λεκτὸν οἶδα οὐρανίως οὐράνια ἁπτομένους καὶ οὐκ ἄχρι ὀνόματος καυχομένους, ἀλλὰ καυχήματι οὐρανίῳ στερεομένους. πλὴν ὑπόδειγμα μικρὸν ἴσον τοῦ πρώτου παραθήσομαι ὑμῖν. Γυναῖκαν ποιμένισσαν κατέλαβεν ἐν τῇ Ἀργαβανῶν κατοικίᾳ Κόατος ὁ Κοάτου παῖς καὶ ἐπέμψαντο αὐτῇ δῶρα ἵνα συνθῆται αὐτῷ. ἰδοῦσα δὲ τὰ δῶρα καὶ γελάσασα εἶπε τῷ ἀποκρισιαρίῳ δείξασα τὰ πρόβατα· ἰδοὺ τὰ δῶρά μου καὶ τὰ τέκνα ἐξ ὧνπερ καὶ τρέφομαι θείᾳ χάριτι. Ὁ δὲ καὶ αὐτὸς ἀπῆλθεν πρὸς αὐτὴν καὶ παρύνει λαμπραῖς ἐπαγγελία(ι)ς καταδέχεσθαι αὐτήν [1]). ἥτις λέγει· ὃν [2]) δέδωκέ μοι ἡ χάρις ἄσπιλον χιτῶνα ἐγὼ (οὐ) ῥυπώσω. Κόατος λέγει· μελέα τοῦτο ἄνωθεν δέδοται πρὸς τὸ γένος πληθύνεσθαι. Ἡ ποιμένισσα εἶπεν· ἐμοὶ ἐνομοθετήθη μηδὲν πλέον ἐν οἷς περίκειμαι κτᾶσθαι. πολλὰ δὲ παραινέσας καὶ μηδὲν ἀνύσας ἐκέλευσεν αὐτὴν λιμοκτονηθῆναι. Τῇ οὖν τρίτῃ ἡμέρᾳ μέλλουσα ἀποψύξαι φωνὴν ἱλαρὰν ἀφῆκεν οὕτως· ὦ τῶν γνησίων σου τέκνων οὐράνιε πάτερ! ὦ τῶν ἐν κάλλει νυμφίε ἄχραντε! πρός σε ἔρχομαι, τριπόθητε

[1]) Cod. αὐτοῦ. [2]) Cod. οὗ.

αὐτὸν ὀρνεόβροτον. Καὶ νῦν πᾶσι λέγω περὶ Χριστοῦ· ὃ γέγονεν ἤδη γέγονεν. καὶ περὶ Φιλίππου τοῦ συγγραφέως καὶ ἐν ἀμειδεῖ καὶ ἐν βόστρᾳ συνέτυχον αὐτῷ καὶ περὶ πάντων ἑλλήνων καὶ ἰουδαίων καὶ χριστιανῶν ὀνόματι μόνον κομπάζομεν ὥστε, ἀδελφοί μου, καὶ ὑμεῖς χριστιανίζετε κἂν ὑμεῖς ἰουδαΐζετε, τὸν τῆς εἰρήνης σύνδεσμον μὴ ἀπολέσητε, ἀλλὰ ἀγαπητικῶς προτιμῶντες ἑαυτοὺς ζηλώσωμεν τῶν οὐρανῶν τὰ ἀδιάστατα, μισήσωμεν τῶν ἐναντίων τὸν ἀπομερισμόν, περιπτύξασθε οὖν ἑαυτοὺς πάντες αἰτούσης ὑμᾶς τῆς ἄνω χάριτος. καὶ ἔσχεν χάριν ὁ ἄνθρωπος πεῖσαι ἀμφότερα τὰ μέρη διαλλαγῆναι ἑαυτοῖς ῥιψάντων τῶν τὸν (sic) περί [1]...

δέσποτα· ἃ μοι δέδωκας ἀντιπαραδοῦσά σοι ἄμε(μ)πτα παρθενίαν, ἀμνηστίαν κακῶν, ἀκτέατον ὕπαρξιν, γλῶτταν ἀληθῆ, καρδίαν κακίας ἀλλοτρίαν, ἐλπίδι τῇ μελλούσῃ ἀεὶ προσέχουσα, ὅνπερ τιμήσασα περὶ τὰ ἀγαλλιάματα αὐτῆς πάντως καταντῶ. καὶ οὕτως ἀπέψυξε. Μαθὼν δὲ ταῦτα ὁ πατὴρ αὐτοῦ ἐκέλευσεν αὐτὸν κατὰ κέφαλα κρεμασθῆναι μέσον τῆς πόλεως ἐπὶ ἱστίου ὑψηλοῦ ὥστε γενέσθαι αὐτὸν ὀρνεόβροτον. Καὶ πᾶσι λέγων περὶ Χριστοῦ· ὃ γέγονεν, πᾶσι γέγονεν. καὶ περὶ Φιλίππου τοῦ συγγραφέως ἐν ἀμειδεῖ καὶ ἐν ὀστρακίνῳ συνέχων αὐτῷ, καὶ περὶ πάντων ἑλλήνων καὶ χριστιανῶν καὶ ἰουδαίων ὀνόματα μόνο(ν) κομπάζομεν ὥστε καὶ ὑμεῖς, ἀδελφοί, ἰουδαΐζετε καὶ ὑμεῖς χριστιανίζετε, τὸν τῆς εἰρήνης σύνδεσμον μὴ ἀπολέσητε, ἀγαπητικῶς προτιμῶντες ἑαυτοὺς ζηλώσωμεν τῶν οὐρανίων τὰ ἀδιάστατα, μισήσωμεν τῶν ἐναντίων τὸν ἀπομερισμόν, περιπτύξασθε ἑαυτοὺς πάντες αἰτούσης ὑμᾶς τῆς ἄνω χάριτος. καὶ ἔσχεν χάριν ὁ ἄνθρωπος πεῖσαι ἀμφότερα τὰ μέρη διαλλαγῆναι ἑαυτοῖς τῶν περὶ Σίμων καὶ τοὺς ἄλλους περὶ τοὺς παῖδας τοῦ μέρους Ἰακὼβ αἰτούντων μὴ καταλύψαι ἀρχαίαν φιλίαν, ἀλλ' ἡ μὲν θρησκεία ὡς ἄν τις θέλῃ ἔστω ἀνυποκρίτου μενούσης τῆς ἀγάπης. Καὶ ἀσπασάμενοι ἀλλήλους ὡς ἤδη καὶ τοὺς ἐπισκόπους ποδοφιλήσαντες καὶ τὸν βασιλέα πλεῖστα εὐφημήσαντες, τῷ τε θεῷ εὐχαριστήσαντες, τό τε ἀλληλούϊα ἑβραϊκῶς καὶ κοινῶς εἰπόντες ἀπέστησαν ἀπ' ἀλλήλων. ἐναπείσθησαν δὲ Ἰακὼβ καὶ Φαρρὰς

---

[1]) **In his desinit ultimum codicis folium.**

καὶ ἑξήκοντα ἄνδρες, οἱ δ' ἄλλοι ἐναποσχισθέντες Σίμωνος ἔμειναν οὓς ἐκάλεσαν χριστιανομεριστάς. τοῦ δὲ Ἀφροδιτιανοῦ ὁπότερα παραινοῦντος τιμῶν πρόνοιαν ὅτι καὶ αὕτη μεγάλως ἐτίμησεν ἡμᾶς, καὶ ἐκέλευσεν ὁ βασιλεὺς γραφῆναι ταῦτα οὕτως· Ἡ ἀνεξουσίαστος ἐξουσία κελεύει ταῖς ἀρηλαρίαις ἀποτίθεσθαι ταῦτα. μάρτυσιν ἰδίοις καὶ τοῖς θέλουσιν ἴσα λαμβάνειν, ἡ γὰρ τῶν τεσσάρων ἐξουσιαστικὴ κυρία γνοῦσα τὰ ἐπικριθέντα ἐπιμέσεως Ναβουρικῆς [1]) Μυθροβατέρτυλος (sic) υἱοὶ τῆς ὑπατευούσης ἐξουσίας καὶ τῆς προσηκούσης ἡγεμονίας καὶ τῆς σατραπείας, ὧν ἡ κέλευσις φανερὴ τῇ Βαβυλαρχίᾳ ἄκρως ἐξεδόθη. ἐκτιθέτωσαν τὰ ὁμολογηθέντα ἀμφοτέροις εἴδεσιν καθὼς συνήρεσεν.

Οὗτος τοίνυν ὁ Φίλιππος πρεσβύτερος καὶ σύγκελλος γέγονεν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου ὃς τὴν σύμπασαν γραφὴν μεγάλως ἐσταθμογράφησεν ὡς οὐδεὶς τῶν σοφῶν ἱστοριογράφων πώποτε παρεικάζεται· ἱστόρησεν δὲ ὁ αὐτὸς πρεσβύτερος ὅτι τὴν ἡμέραν ἐν ᾗ ὤφθη ὁ ἀστὴρ ἐν τῷ ἱερῷ τὴν αὐτὴν πάλιν ἡμέραν ἐφαίνετο κατ' ἐνιαυτὸν ἕως τοῦ ἀναληφθῆναι τὸν Κύριον. ἀλλὰ καὶ πάντα τὰ ἀγάλματα τὴν ἰδίαν ἑκάστου ἀπετέλει φωνὴν ὡς πᾶσαν τὴν πόλιν ἐκείνην ἐκεῖ προςκαρτερεῖν θεωροῦντος τὰ μεγάλα θαύματα καὶ τὴν τοῦ ἀστέρος κατ' ἐνιαυτὸν ἐπιφάνειαν. Θαυμαστὸν [2]) δέ ἐστιν, πῶς ὁ Ἀφροδιτιανὸς ἕλλην μὲν ὢν ὀνόματι, ἔργῳ δὲ χριστιανίζων τὸν πρεσβύτην Φίλιππον ὑπερέβαλεν περὶ Χριστοῦ εἰπὼν μεγάλα καὶ παράδοξα καὶ τὸ τῶν ἰουδαίων φρόνημα καταβαλών. εἶπε δέ τις τῶν θείων τούτων τεραστίων συκοφάντης καὶ τοῦ διαβόλου συνήγορος τὸν βασιλέα [3]) ἄγειν ἀγῶνα ἐν τῷ ἱερῷ ὅπερ ποτὲ οὐ γέγονεν καὶ τὰ ἀγάλματα, φησίν, ὑπὸ πόδας ἔχουσιν καλαμιοκόρια ἀφανῆ καὶ ἐγκοιτῶσιν οἱ τούτων τεχνουργοὶ κρυπτῶς καὶ τὴν ἰδίαν ἑκάστου ἰδίως τεχνάζοντα φωνήν, καὶ ἵστανται ἀντὶ τούτων γυναῖκες ἃς καλοῦσιν θειαρίγλας ᾄδουσαι καὶ αἱ στῆλαι διὰ τῶν τεχνιτῶν τὰς ζῶσας γυναῖκας ταῖς ἐντεχνίαις νικῶσιν. ὅπερ τοῖς ἀναγινώσκουσιν ταῦτα ὀφθῆναι ὤφειλεν εἰ μὴ ἀληθὲς δοκεῖ, ἀλλ' οὖν οὐκ ἔστιν τοῦτο. οὐκ ἔστιν ἀγαθοῦ συνειδότος καὶ ὀρθοῦ φρονήματος ἐφεύρημα, ἀλλὰ διανοίας ἐστὶν μηδὲν ὑγιὲς

[1]) Potest legi et Νανουρικῆς. [2]) Cod. θαυμάσας. [3]) Cod. τοῦ ἐν βασιλέα.

περὶ τῆς ὀρθῆς πίστεως ἡμῶν καὶ ἀνεπιλήπτου διανοουμένης. Ὁ δὲ θεὸς τῆς εἰρήνης ὁ τὸν κόσμον ἅπαντα τῇ ἰδίᾳ αὐτεξουσίᾳ συγκαταβάσει ἑνώσας καὶ πρὸς εὐθεῖαν καὶ οὐράνιον τρίβον χειραγωγήσας [1]) δοίη ἡμῖν ἀκαταγνώστως τὸν ἐπίλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐκτελέσαι καὶ τῆς μελλούσης αὐτοῦ βασιλείας ἀξιωθῆναι πάντας ἡμᾶς γένοιτο χάριτι τῆς ἁγίας καὶ ζωοποιοῦ τριάδος ᾗ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν.

---

9. Хожденіе Богородицы по мукамъ.

Ἡ ἀποκάλυψις τῆς ὑπεραγίας Θεοτόκου. Εὐλόγησον πάτερ [2]).

Ἐφάνη τις [3]) τῆς παναγίας νὰ ὑπάγῃ εἰς τὴν κόλασιν νὰ ἰδῇ τοὺς ἁμαρτωλοὺς πῶς κολάζονται. καὶ παγαίνει εἰς τὸ βουνὶ τῶν Ἐλαιῶν νὰ κάμῃ τὴν προσευχήν της καθὼς ἦτον συνηγμένη νὰ παγαίνῃ πάντοτε νὰ προσεύχεται καὶ νὰ σκύπτῃ τὰ γόνατά της. καὶ ἐπαρεκάλει τὸν υἱόν της τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ εἶπέν του· παρακαλῶ σε, υἱὲ τοῦ ἀνάρχου πατρός, ἐξαπόστειλόν σου τὸν ἀρχάγγελον Μιχαὴλ διὰ νὰ δείξῃ τὰς κολάσεις τῶν ἁμαρτωλῶν. Καὶ παρειθὺς ἐκατέβη ὁ ἀρχάγγελος Μιχαὴλ μετὰ πλῆθος ἀγγέλων καὶ ἐχαιρέτισεν τὴν κεχαριτωμένην καὶ εἶπέν της· χαῖρε, τῶν ἀγγέλων [4]) τὸ πρόσταγμα καὶ τῶν προφητῶν κήρυ(γ)μα, χαῖρε, ὁποῦ εἶσαι παρὰ ὅλα ὑψηλοτέρα ἕως τὸν θρόνον τοῦ θεοῦ. Καὶ ἡ παναγία εἶπεν πρὸς τὸν ἀρχιστράτηγον· χαῖρε καὶ σύ, Μιχαὴλ ἀρχιστράτηγε καὶ τοῦ θεοῦ παραστάτα. ὁμοίως καὶ ἐτίμησεν [5]) ὅλους τοὺς ἀγγέλους ἡ παναγία καὶ ἐδεήθη πρὸς τὸν θεὸν διὰ τοὺς ἁμαρτωλούς, καὶ λέγει πάλαι

---

[1]) Cod. χειραγωγῆσαν. [2]) In vol. X fasc. 5 Annalium (Извѣстія) Acad. scient. Petroburgensis editus est hic libellus e cod. Vindobonensi theol. 333 (Lamb. 337) sec. XII, qui ad explicandam, a qua etsi in multis discrepat, nostram recensionem hic illic adhibitus est. [3]) Excidisse videtur quoddam nomen subst. [4]) Cod. ἀγγέλους. [5]) Cod. ἐτίμησεν καὶ ἐτίμησεν.

(=πάλιν) πρὸς τὸν ἀρχάγγελον Μιχαήλ· φανέρωσόν μοι ὅλα ὅσα εἶναι [1]) εἰς τὸν οὐρανὸν καὶ ὅσα εἶναι εἰς τὴν γῆν. καὶ εἶπεν ἡ παναγία· πόσαις κολάσαις [2]) εἶναι ὁποῦ κολάζονται τὸ γένος τῶν ἀνθρώπων τῶν χριστιανῶν τῶν ἁμαρτωλῶν; καὶ ὁ ἀρχιστράτηγος λέγει· ἀναρίθμηταις κολάσαις [3]) εἶναι καὶ ἀμέτριταις. καὶ πάλιν εἶπεν ἡ παναγία τὸν ἀρχιστράτηγον· εἰπέ [4]) μου τὰ ὅλα καλά [5]). καὶ τότες (=τότε) ὥρισεν [6]) ὁ ἀρχιστράτηγος τοὺς ἀγγέλους καὶ ἄνοιξεν ὁ ᾅδης τὸ στόμα του εἰς τὴν δύσιν καὶ εἶδεν ἡ παναγία τοὺς κολαζομένους καὶ ἐρώτησεν τὸν ἀρχιστράτηγον· ποῖοι [7]) εἶναι ἐτοῦτοι (=τοῦτοι) καὶ ποῖοι [7]) ἔναι [8]) ἐτοῦτοι καὶ τί ἔναι τὸ ἁμάρτη(μα) αὐτῶν; καὶ εἶπεν ὁ ἀρχιστράτηγος· τοῦτοι εἶναι ὁποῦ δὲν ἐπίστευσαν εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα. Καὶ εἶδεν ἕτερον τόπον καὶ εἶχεν πολὺν καὶ ἄμετρον σκότος καὶ ἐρώτησεν τὸν ἀρχιστράτηγον ἡ παναγία καὶ εἶπεν ὁ ἀρχιστράτηγος· πολλαὶς ψυχαὶς κατακοίτονται [9]) εἰς τὸ σκότος τοῦτο. καὶ εἶπεν ἡ παναγία· ἂς σηκωθῇ [10]) τὸ σκότος τοῦτο ἀπ' ἐδῶ διὰ νὰ ἰδῶ τὴν κόλασιν ταύτην. Καὶ ἀποκρίθησαν οἱ ἄγγελοι ὁποῦ τους ἐφύλαγαν ἀπὸ τὸν ἀόρατον θεὸν καὶ πατέρα· νὰ μὴν (=μὴ) ἰδοῦν φῶς ποτε ἕως νὰ ἔλθῃ νὰ φέ(γ)ξῃ ὁ υἱὸς αὐτοῦ [11]) εὐλογημένος τὴν δευτέρα(ν) παρουσία(ν). καὶ ὡς ἤκουσεν ἡ παναγία ἐλυπήθη πολλὰ καὶ ἐσήκωσεν τὰ ὀ(μ)μάτιά της πρὸς τὸν οὐρανὸν καὶ εἶπεν· δέομαί σου, ἀόρατε θεέ, ἂς φύγῃ τὸ σκότος τοῦτο ὅπως ἴδω τὴν κόλασιν ταύτην. καὶ παρευθὺς ἔφυγε τὸ σκότος καὶ ἔγινε φῶς καὶ ὀδυρμὸς εἰς τὸν τόπον ἐκεῖνον. καὶ ὅταν εἶδεν ἡ παναγία τοὺς κολαζομένους (εἶπεν πρὸς αὐτούς)· τί κάμνετε [12]), ἄθλιοι, καὶ πῶς εὑρίσκετε, ταλαίπωροι, ἐδῶ; Καί τινας ἀπὸ ἐκείνους δὲν [13]) ἐδυνήθη νὰ λαλήσῃ. Καὶ εἶπαν οἱ ἄγγελοι ὁποῦ τους ἐφύλαγαν· διὰ τί δὲν ὁμιλεῖτε τὴν κεχαριτωμένη(ν); καὶ εἶπαν οἱ κολαζόμενοι· ἀπὸ τοῦ αἰῶνός ποτε δὲν εἴδαμεν φῶς καὶ δὲν δυνόμασθεν νὰ νεύωμεν [14]) καθόλου καὶ ἐχόχλαζεν (=ἐκο-) ἡ πίσσα ἀπάνω τους.

---

[1]) Hodiernis Graecis εἶνε est ἐστίν et εἰσίν. [2]) Haec nom. plur. forma potest scribi etiam πόσες κολάσες. [3]) Cod. κόλασες. [4]) Cod. εἶπεν. [5]) Edit. πάντα τὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. [6]) τότε ἐκέλευσεν. [7]) Cod. ποῖαι (bis). [8]) Potest scribi etiam ἔνε (=ἐστίν). [9]) κατάκεινται. [10]) παναγία· ἀρθήτω. [11]) σοῦ. [12]) ποιεῖτε. [13]) τινάς... δέν=οὐδείς. [14]) οὐ δυνάμεθα ἀνανεῦσαι.

Καὶ ὡς ἄν τους εἶδεν ἡ παναγία ἐκεῖ ἔκλαυσε. καὶ εἶπαν οἱ κολαζόμενοι· πῶς μας ἐρώτησες, δέσποινα; ὁ υἱός σου ὁ εὐλογημένος ἦλθε [1]) καὶ εἴδαμεν τὸ φῶς του, ἀμὴ (=ἀλλὰ) δέν μας ἐρώτησε, οὔτε Ἀβραὰμ οὐδὲ Μωυσῆς, μήτε Ἰωάννης ὁ Βαπτιστής, μήτε ἄλλος τινὰς ἀπὸ τοὺς προφῆτας, καὶ ἐσύ (=σύ), παναγία, ὁποῦ εἶσαι ἡ [2]) σκέπη τῶν χριστιανῶν, ὁποῦ παρακαλεῖς τὸν θεὸν διὰ τοὺς ἁμαρτωλοὺς πάντοτε, πῶς μας ἐρώτησες; Τότε εἶπεν ἡ παναγία πρὸς τὸν ἀρχιστράτηγον· τί ἔναι τὸ ἁμάρτημά τους; καὶ εἶπεν ὁ ἀρχιστράτηγος· εἶναι, δέσποινα, ὁποῦ δὲν πιστεύουν εἰς πατέρα καὶ εἰς υἱὸν καὶ ἅγιον πνεῦμα, μηδὲ πιστεύουν πῶς ἔλαβε σάρκα ὁ υἱός σου ἀπὸ λόγου σου καὶ θεὸς ἡμῶν καὶ ἔγινεν ἄνθρωπος· καὶ ὡς ἤκουσεν ἡ παναγία ἐδάκρυσεν καὶ εἶπεν τοὺς κολαζομένους· διὰ τί ἐπλανήθησαν καὶ ἐπλανηθεῖτε [3]), ταλαίπωροι; δὲν ἀκούσατε, πῶς τὸ ὄνομά μου εἶναι μεγάλο; καλλιότερον ἦτον νὰ μὴν εἶχε γεννηθεῖ(ν) ὁ ἄνθρωπος ἐκεῖνος ὁποῦ δὲν ἐπίστευσεν εἰς τὴν ἁγίαν Τριάδα καὶ πῶς ὁ υἱὸς καὶ λόγος τοῦ θεοῦ καὶ πατρὸς ἔλαβε σάρκα ἀπὸ ἐμένα. Καὶ λέγει της ὁ ἀρχιστράτηγος· ἀκόμα [4]), δέσποινα, δὲν εἶδες τὰς μεγάλας κολάσεις, ἀμὴ ποῦ θέλεις νὰ ὑπάγωμεν, εἰς τὴν δύσιν ἢ εἰς τὴν μεσημβρίαν; ἄς ὑπάγωμεν στὴν (=εἰς τὴν) δύσιν. καὶ παρευθὺς ἤλθασιν εἰς τὴν δύσιν καὶ εἶδεν ἐκεῖ ἕνα σύ(ν)νεφον [5]) ἁπλώμενον καὶ εἰς τὸ μέσον εἶχε κρεββάτια ὡς φλόγα πυρὸς καὶ ἐκοίτονταν ἀπάνω του πλῆθος ἀνδρῶν τε καὶ γυναικῶν καὶ φλόγα τοῦ πυρός τους ἐκατάτρωγεν ὡσὰν καλάμη ἀπάνω εἰς τὰ κρεββάτια καιόμενα, καὶ ἐρώτησεν τὸν ἀρχιστράτηγον, καὶ λέγει της· τοῦτοι ἔναι, κυρία μου, ὁποῦ δὲν ὑπᾶσιν (=ὑπάγουσιν) στὴν ἐκκλησίαν τὴν κυριακήν, ἀμὴ κοιμῶνται ὡσὰν νεκροί. Καὶ εἶπεν ἡ παναγία· ἀμὴ εἴ τίς ἐστιν ἀσθενής; λέγει (ὁ ἀρχιστράτηγος)· ἐάν τινος τὸ σπίτι [6]) του καίεται καὶ δὲν δύνεται νὰ σηκωθῇ, ἔχει συ(γ)χώρησιν; Καὶ εἶδε σκαμνία πύρινα καὶ ἐκάθονταν πλῆθος ἀνδρῶν τε καὶ γυναικῶν καὶ εἶπεν ἡ παναγία τὸν ἀρχιστράτηγον· τί εἶναι ἐτοῦτοι; καὶ εἶπέν την ὁ ἀρχιστράτηγος· τοῦτοι ἔναι, κυρία μου, ὁποῦ δὲν προσηκόνουνται

---

[1]) Cod ἤλθαμεν. [2]) Cod. τῇ. [3]) διὰ τί οὕτως ἐπλανήθητε. [4]) ἀκμήν (=ἔτι).
[5]) νεφέλην πυρός. [6]) ὁ οἶκος (σπίτι vel ὁσπίτι ex hospitium).

τοὺς ἱερεῖς καὶ δέν τους τιμοῦσιν ὅταν εἰσέρχονται εἰς τὴν ἐκκλησίαν. Καὶ εἶδεν δένδρον σιδερένιον [1]) καὶ ἐκρέμονταν εἰς τὸ δένδρον πλῆθος ἀνδρῶν τε καὶ γυναικῶν ἀπὸ τὴν γλῶσσαν. καὶ ὡς ἄν τους εἶδεν ἡ παναγία ἔκλαυσεν. καὶ εἶπεν ὁ ἀρχιστράτηγος· τοῦτοι ἔναι, κυρία μου, ὁποῦ μνέουσιν ψέ(μ)ματα καὶ ἐβλάσφημοι καὶ ὁποῦ βάλλουσιν λόγια καὶ χωρίζουσιν ἀνδρόγυνα καὶ ἀδελφοὺς ἀπὸ ἀδελφῶν. Καὶ πάλιν εἶδεν ἡ παναγία ἄνθρωπον καὶ ἐκρέμουνταν ἀπὸ τὰ ποδάρια, καὶ ἀπὸ τὰ ὀνύχια ἔτρεχεν αἷμα μὲ τὴν φλόγα τοῦ πυρὸς καὶ δὲν ἐδύνετον νὰ ἀναστενάξῃ νὰ εἰπῇ· Κύριε ἐλέησον. καὶ ἐδεήθη ἡ παναγία τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν νὰ εὕρῃ ἐκεῖνος ἄνεσιν. καὶ ἦλθεν ὁποῦ τον ἔδερνεν καὶ ἔλυσεν τὴν γλῶσσάν του. Καὶ λέγει ἡ παναγία τὸν ἀρχιστράτηγον· ποῖος εἶναι τοῦτος; καὶ λέγει· ἔναι ὁ οἰκονόμος τῆς ἐκκλησίας καὶ τρώγει τα καὶ πίνει τα [2]) καὶ λέγει· ὁποῦ δουλεύει τὸν ναὸν τοῦ θεοῦ ἐκ τοῦ ναοῦ τραφήσεται. καὶ εἶπεν ἡ παναγία· οὕτως ἐποίησεν ἔτζη ἂς εἶναι [3]). καὶ ἔπεσεν τὸ σκότος ἀπάνω του καθὼς ἦτον ἀπ' ἀρχῆς. Καὶ λέγει της ὁ ἀρχάγγελος· ποῦ θέλεις, χυρία, νὰ ὑπάγωμεν, εἰς τὴν δύσιν (ἢ) εἰς τὴν μεσημβρί(αν); [4]) καὶ παρευθὺς ἐπῆγάν την εἰς τὴν μεσημβρίαν ἐκεῖ ὁποῦ ἐβγαίνει [5]) ὁ πύρινος ποταμὸς καὶ ἐκεῖ ἦτον πλῆθος ἀνδρῶν τε καὶ γυναικῶν καὶ ἦτον εἰς τὸ πῦρ ἄ(λ)λοι ἕως τὴν ζῶσιν [6]) καὶ ἄ(λ)λοι ἕως εἰς τὸν τράχηλον καὶ ἄλλοι ἕως εἰς τὴν κορυφήν. Καὶ εἶπεν ἡ παναγία· τί ἔναι αὐτοί; καὶ εἶπεν ὁ ἀρχιστράτηγος [7])· αὐτοὶ εἶναι ὁποῦ ἐλύπησαν τοὺς γονέους αὐτῶν καὶ τὴν κατάραν τοῦ πατρός τους καὶ τῆς μητρός τους καὶ τοὺς συ(ν)τέκνους αὐτῶν καὶ ἔπεσαν εἰς πορνείαν καὶ ἔφαγαν κρέας ἀνθρώπων. καὶ εἶπεν ἡ παναγία· καὶ πῶς; ἄκουσον [8]), παναγία· ὅσαις γυναῖκες ἔχουσιν ἄνδρες (=ἄνδρας) καὶ (ἐ)γγαστρόνουνται ἀπὸ τοὺς ξένους καί τα [9]) σκοτόνουν καὶ ὅσαις (ἐ)γγαστρόνου(ν)ται μὲ τὸ θέλημά τους καὶ σκοτόνουν τὰ, καὶ ὅσοι ἐπρόδωκαν ἄδηλα [10]) τοὺς ἀδελφούς τους

---

[1]) σιδηρόν. [2]) Post τά sequitur μέ quod omisi. [3]) Graeci recentiores scribunt ἄς ἧνε (=ἔστω). [4]) Responsio Deiparae praetermissa quam lib. ed. exhibet καὶ εἶπεν ἡ κεχαριτῶμένη· ἐπὶ μεσημβρίας. [5]) ἐξέρχεται (ἐβγ=ἐκβ.). [6]) ἕως ζώνης. [7]) Cod. ἡ παναγία. [8]) καὶ πῶς ἐστι δυνατὸν ἄνθρωπος ἀνθρώπου κρέα φαγεῖν; καὶ εἶπεν ὁ ἀρχιστράτηγος· ἄκουσον. [9]) τὰ ἴδια τέκνα. [10]) παρέδωκαν ἀδίκως.

καὶ τοὺς γειτόνους τους ἐζημιώθησαν καὶ ὅσοι καταχρένουσιν [1]) καὶ καταλαλοῦσιν τοὺς γειτόνους τους καὶ τοὺς ἀδελφούς τους, καὶ ὅσοι κρατοῦν ἔχθραν μὲ τοὺς γειτόνους των αὐτοὶ ἔφαγαν κρέας. Καὶ εἶδεν πρεσβυτέρους κρεμασμένους ἐκ τῶν εἴκοσιν ὀνύχων καὶ πῦρ ἐκ τῆς κορυφῆς αὐτῶν ἐξήρχετον, καὶ ἰδοῦσα ἡ θεοτόκος ἐρώτησεν τὸν ἀρχιστράτηγον παναγία. (καὶ εἶπεν ὁ ἀρχιστράτηγος·) οὗτοί εἰσιν οἱ τῷ φοβερῷ θρόνῳ [2]) τοῦ Δεσπότου παριστάμενοι λειτουργοὶ καὶ ὅταν ἐμέλιζαν τὸν ἄρτον τὸ σῶμα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐξέπιπτον οἱ μαργαρῖται καὶ ὁ οὐρανὸς ἐσαλεύετο καὶ τὸ ὑποπόδιον τοῦ Κυρίου ἔτρεμεν καὶ α(ὐ)τοὶ οὐκ ἐφοβοῦντο, καὶ διὰ τοῦτο οὕτως κολάζονται. Καὶ εἶδεν ἡ παναγία ἄνθρωπον καὶ θηρίον πτερωτὸν ἔχων τρεῖς κεφαλὰς ὡς φλόγα πυρός· ἡ (= αἱ) μὲν ἡ δύο κεφαλαὶ πρὸς [3]) τοὺς ὀφθαλμοὺς τοῦ ἀνθρώπου καὶ ἡ τρίτη κεφαλὴ πρὸς τὸ στόμα αὐτοῦ. καὶ εἶπεν ἡ παναγία· τίς ἐστιν οὗτος ὁποῦ δὲν δύναται ἐξέλεσθαι ἐκ τοῦ στόματος τοῦ δράκοντος; καὶ εἶπεν ὁ ἀρχιστράτηγος· οὗτός ἐστιν ὁ τὰ ἅγια γινώσκων καὶ μὴ ποιῶν τὴν διάταξιν τοῦ εὐαγγελίου. καὶ εἶδεν ἀναγνώστην κρεμάμενον ὃς ἐδίδασκεν τὸν λαὸν καὶ αὐτὸς τὰς ἐντολὰς τοῦ θεοῦ οὐκ ἐποίησεν [4]). Δεῦρο, παναγία, καὶ δείξω σοι ποῦ κολάζονται τὸ τάγμα τῶν μοναχῶν ἀνδρῶν τε καὶ γυναικῶν καὶ πρεσβυτέρισ(σ)αις καὶ διακόνι(σ)σαις καὶ ὅλον τὸ τάγμα τῶν γρα(μ)ματέων κρεμασμένους ἐκ τῶν ἀκρονύχων αὐτῶν [5]) καὶ φλὸξ πυρὸς ἐξήρχετον ἐκ τοῦ στόματος αὐτῶν καὶ κατέκαιεν αὐτοὺς καὶ τὰ θηρία ἐξέρχοντον ἐξ αὐτούς, καὶ στενάζουσα(ι) ἐβόουν· ἐλέησον ἡμᾶς, Κύριε, ὅτι ἐμεῖς (=ἡμ-) μοναχαὶ βασανιζόμεσθε ἐν ταῖς κολάσεσιν. Καὶ ἰδοῦσα ἡ θεοτόκος ἐδάκρυσεν καὶ ἐρώτησεν τὸν ἀρχιστράτηγον· τίνες εἰσὶν οὗτοι; καὶ λέγει ὁ ἀρχιστράτηγος [6]). οὗτοί εἰσιν ὁποῦ δὲν ἡτίμασαν (=ἐτίμη-) ἡμᾶς καὶ οὕτως κολάζονται. Καὶ ἐξῆλθεν καὶ εἶδεν ποταμὸν πυρὸς καὶ ἦν ἡ θεωρία τοῦ ποταμοῦ ἐκείνου ὡς αἷμα [7]) καὶ ἐρχόμενος κατέτρεχεν πᾶσαν τὴν γῆν καὶ ἐν μέσῳ τῶν κυμάτων πλῆθος ἀνδρῶν τε καὶ γυναικῶν. καὶ ἰδοὺ ἡ θεοτόκος ἐδάκρυσε καὶ λέγει τὸν

[1]) I. q. κατακρίνουσιν. [2]) Cod. χρόνῳ. [3]) Cod. κέφαλα λεπρός. [4]) Cod. ἐδίδασκαν... αὐτοί... ἐποίησαν. [5]) Cod. ἀκρόνυχον αὐτοῦ. [6]) Cod. ἡ παναγία. [7]) Sequitur καὶ ἠρώτησεν bis scriptum, quod omisi.

ἀρχιστράτηγον· τί εἶναι αὐτοὶ ὁποῦ εἶναι εἰς τὴν φωτία(ν) [1]; καὶ εἶπέν την ὁ ἀρχιστράτηγος· αὐτοὶ εἶναι πόρνοι, μοιχοί, κλέπται, φονεῖς, φθονεροί, καταλάλοι καὶ οἱ τρώγων [2]) ξένα πράγματα καὶ χωρίζοντες ἀνδρόγυνα, οἱ μεθυσταί, οἱ καμπανισταὶ καὶ οἱ ἀνελεήμονες, ἄρχοντες καὶ οἱ ἀρχιερεῖς καὶ οἱ ἀμετάδοτοι καὶ οἱ πατριάρχαι οἱ ἄκαρδοι καὶ οἱ βασιλεῖς οἱ μὴ ποιήσαντες τὸ θέλημα τοῦ θεοῦ καὶ οἱ φιλάργυροι ὁποῦ παίρνουν πολὺ καμάτους [3]), καὶ οἱ ἀσεβεῖς καὶ οἱ γελοῦντες τοὺς πένητας καὶ ὁποῦ καταλύων τὴν νηστείαν χωρὶς νὰ ἔχουν ἀῤῥωστίαν, καὶ ὁποῖος ἔχει ἕναν μὲ τὸν ἄλλον ἔχθραν καὶ δὲν κάμουν ἀγάπην. Καὶ ἀκούσασα ταῦτα ἡ παναγία ἔκλαψεν καὶ εἶπεν· οὐαὶ τοὺς ἁμαρτωλούς, διὰ τί ἐγεννηθῆτε; Καὶ εἶπεν ὁ ἀρχιστράτηγος· τί κλαίεις, παναγία; ἀκόμα δὲν εἶδες τὰς μεγάλας κολάσεις. Καὶ ἦλθον καὶ ἰδοὺ ἐκεῖ ποταμὸς καὶ σκότος μέγα καὶ ἐκεῖνο τὸ ποτάμι (= ποτάμιον) ἦτον σκοτεινότερον ἀπὸ ὅλα καὶ ἐν αὐτῷ κατέκειτο πλῆθος ἀνδρῶν τε (καὶ) γυναικῶν, ἔβραζε δὲ πολλὰ ὡς ἄγρια θάλασσα καὶ ἐβύθιζε τοὺς ἁμαρτωλοὺς καὶ ἐλεεινοὺς καὶ ἔτρωγεν αὐτοὺς ὁ σκόληξ ἀκοίμητος καὶ οἱ πύρινοι ἄγγελοι ἔλεγχον τὰ πτέρματα αὐτῶν καὶ ὁ βρυγμὸς τῶν ὀδόντων καὶ τῶν θηρίων τῶν πτερωτῶν [4]) ἔτρωγαν τὰς σάρκας αὐτῶν. Καὶ ἰδόντες τὴν θεοτόκον οἱ ἄγγελοι οἱ φυλάσσοντες τοὺς κολαζομένους ἀνεβόησαν φωνῇ μεγάλῃ λέγοντας [5])· χαῖρε, θεοτόκε παρθένε, ἡ λαμπὰς τοῦ ἀδύτου φωτός. χαῖρε καὶ ἐσύ, Μιχαήλ, ἀρχιστράτηγε πρῶτε τῶν ἐπουρανίων δυνάμεων. ἡμεῖς γὰρ ἄγγελοι ὁρῶντας τοὺς ἁμαρτωλοὺς μεγάλως λυπούμεθα. Καὶ ἰδόντας (=ἰδοῦσα) ἡ θεοτόκος τοὺς ἀγγέλους τεταπεινωμένους κλαίγοντας τοὺς ἁμαρτωλοὺς ἀνεβόησαν ἅπαντες οἱ ἁμαρτωλοὶ λέγοντας· καλῶς ἤλθατε δι' ἡμᾶς τοὺς ἁμαρτωλούς. Καὶ ἰδοῦσα ἡ παναγία καὶ ὁ ἀρχιστράτηγος τὸν θρῆνον τῶν ἁμαρτωλῶν ἐφώναξαν [6]) μίαν φωνήν· ἐλέησον, Κύριε, τοὺς ἁμαρτωλούς. καὶ ἔπαυσε ὁ κλύδων τοῦ ποταμοῦ καὶ ἐπράϋναν τὰ κύματα. Καὶ εἶπεν ὁ ἀρχιστράτηγος· οὗτός ἐστιν ὁ πύρινος ποταμός, τὸ πῦρ τὸ ἄσβεστον καὶ οἱ βασανιζόμενοι ὑπὸ τῶν κυμάτων εἰσὶν

---

[1]) Hodiernis ἡ φωτιά = τὸ πῦρ. [2]) Loco τρώγουν i. e. τρώγουσιν. [3]) Ed. οἱ τόκον λαμβάνοντες. [4]) Omissum esse videtur ὁποῖα vel ὁποῦ = ἅ. [5]) Est forma nom. trium generum. [6]) Cod. ἀφώναξαν.

οἱ ἰουδαῖοι οἱ σταυρώσαντες τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ τὰ ἔθνη τὰ μὴ βαπτισθέντα καὶ οἱ ἀρνούμενοι τὸν θεὸν καὶ τὸ ἅγιον βάπτισμα καὶ οἱ πορνεύοντες εἰς τὰ ἴδια τέκνα καὶ πνίγοντες τὰ βρέφη. Καὶ εἶπεν ἡ θεοτόκος· κατὰ τὴν πίστιν αὐτῶν γενηθήτωσαν. καὶ εὐθέως ἔπεσον τὰ πύρινα κύματα καὶ τὸ σκότος ἐκάλυψεν αὐτούς. καὶ εἶπεν ὁ ἀρχιστράτηγος τὴν θεοτόκον· ὅποιος [1]) πέσει ἐν τῷ σκότει τούτῳ πλέον δὲν σηκόνεται ἐν τῇ δόξῃ τοῦ πατρός. Καὶ εἶπεν ἡ θεοτόκος· οὐαὶ τοὺς ἁμαρτωλούς, ὅτι ἀτελεύτητός ἐστιν ἡ κόλασις. Καὶ εἶπεν ὁ ἀρχιστράτηγος· δεῦρο, παναγία, καὶ νά σου δείξω καὶ ἄλλας [2]) κολάσεις. καὶ ἦλθεν καὶ εἶδεν τοὺς μὲν ἤκουεν τὸν (ὀ)δυρμὸν καὶ ἐρώτησεν τὸν ἀρχιστράτηγον ἡ παναγία· τί τὸ ἁμάρτημα αὐτῶν; καὶ εἶπεν ὁ ἀρχιστράτηγος· οὗτοί εἰσιν οἱ τὸ βάπτισμα φορέσαντες καὶ τῷ Χριστῷ λόγῳ συνταξάμενοι [3]), τὰ δὲ ἔργα τοῦ διαβόλου ποιήσαντες καὶ ἀπολέσαντες τὸν καιρὸν τῆς ἐγκρατείας αὐτῶν καὶ οὕτως κολάζονται. Καὶ λέγει ἡ θεοτόκος τὸν ἀρχιστράτηγον Μιχαήλ· θέλω ἐλθεῖν νὰ κολάζωμαι καὶ ἐγὼ μετ' αὐτοὺς ὅτι τέκνα τοῦ υἱοῦ μοῦ εἰσιν. Καὶ εἶπεν ὁ ἀρχιστράτηγος· ἂς πᾶμε [4]) εἰς τὸν παράδεισον. καὶ εἶπεν ἡ θεοτόκος· παρακαλῶ σε, ἀρχιστράτηγε, ἂς σηκώσωμεν τὰ ἑπτὰ στερεώματα τοῦ οὐρανοῦ καὶ πάσας τὰς στρατιὰς τῶν ἀγγέλων καὶ παρακαλέσωμεν ὅπως ἐπακούσῃ ἡμῖν Κύριος ὁ θεὸς ἡμῶν καὶ ἐλεήσῃ αὐτούς. Καὶ εἶπεν ὁ ἀρχιστράτηγος· ἂς προσπέσωμεν ἕως ἐπακούσῃ ἡμῖν Κύριος ὁ θεός. τότε ἔπεσεν ὁ Μιχαὴλ ὁ ἀρχάγγελος ἕως τὴν γῆν καὶ ἡ δέσποινα ἡμῶν θεοτόκος καὶ πᾶσα ἡ τάξις τῶν ἀσωμάτων καὶ πάντες οἱ ἅγιοι. Καὶ εἶδεν ὁ Κύριος τὴν δέησιν τῆς δεσποίνης ἡμῶν καὶ τῶν ἁγίων ἀγγέλων καὶ πάντων τῶν ἁγίων καὶ εἶπεν ὁ βασιλεὺς τῶν αἰώνων· ἀκούσατε [5]) πάντες. παράδεισον ἐφύτευσα καὶ ἄνθρωπον ἔπλασα κατ' εἰκόνα ἡμῖν καὶ κατέστησα αὐτὸν κύριον τοῦ παραδείσου, ζωὴν αἰώνιον ἔδωκα αὐτόν, αὐτὸς δὲ ἐπαρήκουσε καὶ παρέβη τὴν ἐντολήν μου καὶ θανάτῳ παρεδόθη, ἐγὼ δὲ οὐκ ἔφερον τὰ ἔργα μου ὑπὸ τοῦ διαβόλου τυραννούμενα θεωρῶντας [6]) καὶ

---

[1]) ὅποιος (is)qui, quisquis; qualiscunque; (ὁ, ἡ, τὸ) ὁποῖος quis, qui. [2]) Cod. ἅ(λ)λαις. [3]) Cod. συνεταξάμην. [4]) Est contractum ex πάγωμεν vel ὑπάγωμεν = eamus. [5]) Cod. ἀκούσαντες. [6]) Idem ac θεωρῶν.

κατελθὼν ἐπὶ τῆς γῆς σάρκα ἐφόρεσα ἐκ τῆς παρθένου μου μητρὸς ἄνθρωπος γενόμενος καὶ ἐψώθην (= ὑψ -) ἐν σταυρῷ δι' ὑμᾶς, ὕδωρ ἐζήτησα καὶ ἐδώκατέ μοι χολὴν καὶ ὄξος, αἱ χεῖρές μου αἱματώθησαν ἐκ τοὺς ἥλους, καὶ εἰς τὸν ᾅδην ἐκατέβησα καὶ τὸν ἐχθρὸν κατεπάτησα καὶ πάντας ἀνέστησα καὶ τὸν Ἰορδάνη(ν) εὐλόγησα καὶ οὐκ ἠθελήσατε βαπτισθῆναι καὶ ἐὰν καὶ βαπτισθῆτε τὰ ἔργα μου δὲν ἐκάμετε, διὰ τοῦτο εὑρίσκεσθε ἐν ταῖς κολάσεσιν ταύταις καὶ οὐκ ἐλέησα ὑμᾶς. νῦν διὰ τῆς ἀχράντου μου μητρὸς τὰ δάκρυα καὶ διὰ τὴν τάξιν τοῦ πατρός μου καὶ διὰ τῶν ἀγγέλων μου καὶ τῶν ἁγίων μου τὴν δέησιν ἰδοὺ δίδωμι ὑμᾶς (=ὑμῖν) νύκτας καὶ ἡμέρας [1]) πᾶσι τοῖς κολαζομένοις ἀπὸ τῆς ἀναστάσεώς μου ἕως τῆς ἁγίας πεντηκοστῆς πενῆντα (= πεντήκοντα) ἡμέρας τὴν ἀνάπαυσιν. Καὶ ἀκούσαντες ἀνέκραξαν λέγοντες· υἱὲ καὶ λόγε τοῦ θεοῦ, ὅτι ἐχάρισας ἡμᾶς τὴν ἀνάπαυσιν δόξα τῷ κράτει σου, βασιλεῦ τῶν αἰώνων. Καὶ ἦλθεν φωνὴ λέγουσα· ἄρατε τὴν κεχαριτωμένη(ν) ἐν τῷ παραδείσῳ. καὶ εὐθέως ἐπῆραν οἱ ἄγγελοι τὴν κεχαριτωμένη(ν) ἐν τῷ παραδείσῳ καὶ εἶδε τὸ ἀγγελικὸν σχῆμα φορέσαντες καὶ εἶδε τοὺς ἐν Χριστῷ διακονήσαντες καὶ πάντας τοὺς δικαίους οἱ τὰ καλὰ ποιήσαντες. Καὶ πάλιν εἶπεν ἡ θεοτόκος τὸν ἀρχιστράτηγον. τίνες εἰσὶν οὗτοι; καὶ εἶπεν ὁ ἀρχιστράτηγος· οὗτοί εἰσιν οὐ μὴ ποιήσαντες πορνείαν, μοιχείαν, κλεψίαν καὶ ψεῦδος τοῦ διαβόλου, ὅτι πᾶν ἁμάρτημα ἐκ τῆς γλώτ(τ)ης ἔρχεται καὶ γίνεται. τότε εἶπεν ἡ παναγία· οὐαὶ τοὺς πόρνους καὶ μοιχούς, οὐαὶ τοὺς καταλάλους, οὐαὶ τοὺς φλυάρους ὅτι ἐκ τῆς γλώτ(τ)ης κρεμαστήσονται (-σθή-), οὐαὶ τὰς [2]) μοιχαλίδας, οὐαὶ τοὺς ἐν νυκτὶ μὴ προσκυνοῦντας τὸν ἐσταυρωμένον Χριστό(ν) [3]), οὐ τοὺς υἱοὺς καὶ θυγατέρας τοὺς τυρά(ν)νους, οὐ τοὺς ἰδίους γονεῖς, οὐ τοὺς παραμοιράζοντας τὰ ἴδια τέκνα. οὐαὶ τοὺς κλέπτουσιν τὰ ξένα ὅτι δὲν χορταίνουσιν. Καὶ πάλιν ἦλθε φωνὴ [4]) καὶ εἶπεν· ὁποιον ἁμαρτωλὸν ἄνθρωπον εὕρῃ ὁ θάνατος ἐξωμολογημένον, μετανοημένον ἀπὸ τὰς ἁμαρτίας του, ποιήσαντες [5]) οἱ συγγενεῖς του

---

[1]) Repetit cod. καὶ νύκτας quod omisi. [2]) Cod. τούς. [3]) Post Χριστόν quaedam praetermissa videntur nisi legas οὐαὶ τοὺς υἱ... τυράννους τοὺς ἰδ. γ., οὐαί. [4]) Cod. φωνήν. [5]) Cod. ποιήσαντος.

ταῖς λειτουργίαις τὰ τρίτα καὶ τὰ ἐννέα καὶ τὰ λοιπὰ καὶ ἐλεημοσύνας ἐκεῖνοι [1]) ὁποῦ δύνονται, ἂς ἔχῃ ἐλπίδας βεβαίας καὶ θάῤῥος, ὅτι δὲν κολάζονται ἐκεῖνος ὁ ἄνθρωπος, μόνον ὑπάγει εἰς τὴν ἀνάπαυσιν τῶν δικαίων. εἰ δὲ ὅποιον χριστιανὸν ἄνθρωπον εὕρῃ ὁ θάνατος ἀνεξομολόγητον καὶ ἀμετανόητον καὶ ὁ ἄνθρωπος ἐκεῖνος ἁμάρτημα ἔχει θανάσιμα ἤγουν πορνείαις, μοιχεία, ἀρσενοκοιτίαις, φόνους, ἔχθρας, ἀδικίαις, πλεονεξίαις, ὑπερηφανίαις καὶ τὰ ὅλα ὅσα ἀγαπᾷ ὁ ἐχθρὸς διάβολος, ἐκεῖνος εἶναι δύσκολος νὰ εὕρῃ συγχώρησιν, διότι εἰς τὴν ζωὴν τοῦ καθενὸς ἀνθρώπου ἔχει τοῦτο τὸ ἔλεος καὶ τὴν συμπάθειαν μετὰ τὸν θάνατον οὐκ ἔστιν ἐν τῷ ᾅδῃ μετάνοια [2]). Καὶ ὡς ἤκουσεν ἡ παναγία ἡ θεοτόκος εἶπεν· δέομαί σου, υἱὲ τοῦ ἀνάρχου πατρὸς ὅλους τοὺς χριστιανούς, ἂς ἔλθῃ τὸ ἔλεό(ς) σου καὶ ἡ συμπάθεια, ὅτι σε ὁμολογοῦμεν υἱὸν ἀληθινὸν καὶ εἰς ἐσένα (=σὲ) ὀλπίζουσιν (=ἐλπ-) νὰ σωθοῦσιν καὶ νὰ εὕρουν συγχώρησιν τῶν ἁμαρτιῶν τους. Ταῦτα εἶδε τὰς κολάσεις καὶ ταῖς τιμωρίαις ἡ θεοτόκος, εἶτα ἦλθεν καὶ ἐκατέβη ἀπὸ τὸ ὄρος τῶν Ἐλαιῶν εἰς τὴν κατοικίαν της πενθοῦσα, θρηνοῦσα καὶ κλαίουσα διὰ τοὺς ἁμαρτωλοὺς χριστιανούς, κλίνουσα τὰ γόνατά της τὴν ἡμέραν ἑπτὰ φοραῖς, νηστεύουσα ἀπὸ ἑσπέραν ἕως ἑσπέραν καὶ ἐδούλευε καὶ μὲ τὰ χέριά της ὅσον ἐδύνετον ἵνα τρώγῃ καὶ πίνῃ ἀπὸ τὴν δούλεψίν της, καὶ ἡ ἀκολουθία της ἦτον ἀκατάπαυστος ὥσπερ καὶ ὁ ὕπνος τῶν ἀγγέλων. Μετὰ δὲ ὀλίγων καιρῶν ἠθέλησεν ὁ Κύριος καὶ ὁ μονογενής της υἱὸς νὰ παραλάβῃ τὴν ἁγίαν της ψυχήν· μετὰ τρεῖς ἡμέρας ἔλαβεν αὐτὴν καὶ τὸ πανάγιόν της σῶμα. Λοιπὸν ἂς τὸ γινώσκῃ πᾶσα [3]) χριστιανὸς ὅτι ἡ παναγία εἶναι μετ' ἐμᾶς (=ἡμ-) τοὺς χριστιανοὺς καὶ ὅποιός την παρακαλεῖ πάντοτε φυλάττει καὶ τοῦ λόγου του ἀπὸ ἁμαρτίαις ἔχει την βοηθὸν εἰς εἴ τί την δεηθῇ καὶ νύκτα καὶ ἡμέρα(ν) κἂν εἰς στράταν [4]) κἂν εἰς θάλασσαν κἂν ὁποῦ [5]) καὶ δὲν λίπῃ [6]) ἀπὸ ἐκεῖνον ὁποῦ την παρακαλέσει· μόνον ἂς προσέχωμεν νὰ μήν (=μή) την διώξωμεν μὲ τὰ κακά μας ἔργα· μὲ μέθαις, μὲ γαστριμαργίαις [7]), μὲ ἀδικίαις, μὲ ὅσα ἔργα ἀγαπᾷ ὁ διάβολος καὶ μισᾷ ἡ παναγία καὶ ὁ πανάγαθος θεός.

[1]) Cod. ἐκείνην vel ἐκείνοιν. [2]) Cod. μετάνοιαν. [3]) Est forma trium generum ὁ, ἡ, τὸ πᾶσα. [4]) Cod. εἰς σεστράταν. [5]) Quaedam Omissa. videntur [6]) Coniunctiv. aoristi loco futuri persaepe usurpatur. [7]) Cod. μαστριμαργίαις.

Μὴν εἰπῇ τινας [1]) ὅτι εἶναι ψέ(μ)ματα αὐτὴ ἡ ἀποκάλυψις καὶ πέσῃ εἰς ἀπιστίαν καὶ κολάσῃ τὴν ψυχήν του· οἱ προφῆται ἔβλεπαν ὀπτασίας καὶ ὁράσεις καὶ ἀποκαλύψεις [2]), ὁμοίως καὶ οἱ ἅγιοι ἀπόστολοι καὶ οἱ (ε)ὐαγγελισταὶ καὶ ἡ παναγία τῆς ἁγίας τριάδος ἡ ἁγιότερη τῶν ἀρχαγγέλων καὶ πάντων τῶν οὐρανίων ταγμάτων νὰ μὴ δὲν ἰδῇ ἀποκάλυψις (sic) εἰς τὴν ζωήν της νὰ ἀληθῶς ἔβλεπεν καὶ ἀποκαλύψεις καὶ ὁράσεις; Καὶ αὐτὸς ὁποῦ το διηγᾶται (=γεῖται) εἰπῇ· διήγησις καὶ ἀποκαλύψεις εἶναι εἰς ὀφέλειαν ἐδικήν (=ἰδ-) μας, ψυχικὴν σωτηρία(ν) (προ)ξενεῖ καὶ εἰς φόβον θεοῦ τὴν ζωήν μας προξενεῖ καὶ ὁδηγεῖ αὐτὸς ὁ υἱὸς καὶ λόγος τοῦ θεοῦ ὅπου ἐφόρεσε σάρκα ἀπὸ τὴν κυρίαν θεοτόκον καὶ ἄφησέν την νὰ εἶναι μετ' ἐμᾶς τοὺς χριστιανοὺς εἰς τὸν κόσμον ἐτοῦτον διὰ σκέπη(ν) καὶ διὰ φύλαξιν νά μας ὁδηγήσῃ εἰς τὸν φόβον του τῶν ἁγίων καὶ νά μας ἀξιώσῃ νὰ τελειώσωμεν τὴν ζωήν μας ἐν μετανοίᾳ καὶ νὰ καταντήσωμεν εἰς τὰς ἀναπαύσεις τῶν δικαίων διὰ πρεσβειῶν τῆς κυρίας θεοτόκου καὶ πάντων τῶν ἁγίων, ἀμήν.

Εὐγενικοί, ἀκούσατε, καὶ σεῖς (=ὑμεῖς), γραμματισμένοι [3]),
Καὶ οἱ ποθοῦντες παντελῶς ἀναγινώσκει(ν) ὅλως
Τὴν θείαν ἀποκάλυψιν τῆς παναγίας καὶ ὅσοι [4])
Φίλοι καὶ γνωστοὶ καὶ ὅσοι την ἀγαπᾶτε, μᾶλλον

καρδίας φίλοι. Εἰ τὸ βιβλίον τοῦτο γὰρ ἐν χερσὶν λαβών τις καὶ μέ(λ)λοντας ἀναγιγώσκειν εὔχεσθε διὰ τὸν Κύριον καὶ μὴ κατηρᾶσθε ἵνα τὸν βίβλον ἔγραψεν τῆς παναγίας κόρης.

Δοίη Χριστὸς ὁ βασιλεὺς ἀγγέλων καὶ ἀνθρώπων
Χρόνους ἐντίμους καὶ ζωὴν μᾶλλον καὶ σωτηρίαν
Τῷ γράψαντι καὶ σώσαντι τὸ παρὸν γὰρ βιβλίον
Τὴν θείαν ἀποκάλυψιν τῆς παναγίας κόρης.
Εὔχεσθε ὅσοι ἀναγινώσκετε αὐτήν.

---

[1]) = Μή τις εἴπῃ· [2]) Cod. ὅρασις καὶ ἀποκάλυψις. [3]) Versus qui dicuntur politici. [4]) Cod. ὅσος.

10. Житіе Макарія Римскаго.

Βίος καὶ πολιτεία καὶ διήγησις παράδοξος περὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Μακαρίου τοῦ Ρωμαίου τοῦ εὑρεθέντος εἰς τὰ ἔσχατα τῆς ἀοικήτου. Εὐλόγησον (πάτερ).

Παρακαλοῦμεν ἡμεῖς οἱ ταπεινοὶ καὶ ἐλάχιστοι μοναχοί, Θεόφιλος καὶ Σέργιος καὶ Ὑγιεινός, πάντας ὁμοῦ πατέρας καὶ ἀδελφοὺς ἀκοῦσαι τὴν πολιτείαν τοῦ ἁγίου Μακαρίου. Ἀποταξάμενοι γὰρ τὸν βίον τοῦ κόσμου τούτου ἡσυχάσαμεν ἐν τῷ μοναστηρίῳ τοῦ κυροῦ Ἀσκληπίου ἐν τῇ Μεσοποταμίᾳ τῆς Συρίας τῶν δύο ποταμῶν, τοῦ καλουμένου Εὐφράτου καὶ τοῦ Τίγριδος. καὶ ποιησάντων ἡμῶν τὴν ἐννάτην ὥραν ἐκαθέσθημεν οἱ τρεῖς εἰς ἰδιάζοντα τόπον καὶ ἕκαστος ἡμῶν ἐλάλει περὶ ἐγκρατείας καὶ ἀσκήσεως. εἰσῆλθεν οὖν ἐν τῷ νοΐ μου τοῦ ταπεινοῦ Θεοφίλου λογισμὸς τοιοῦτος καὶ εἶπον τοῖς ἀδελφοῖς Σεργίῳ καὶ Ὑγιεινῷ λέγων· ἤθελον, ἀδελφοί, τὰ ἔτη τῆς ζωῆς μου περιπατεῖν ἕως οὗ ἴδω ποῦ ἀναπέπαυται ὁ οὐρανός, ἐπειδὴ λέγουσιν ὅτι ἐπὶ στύλου σιδη-

Μηνὶ ὀκτωβρίῳ [1]) κδ′ βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Μακαρίου τοῦ Ρωμαίου. Εὐλόγησον πάτερ.

Παρακαλοῦμεν ἡμεῖς οἱ ταπεινοὶ καὶ ἐλάχιστοι μοναχοί, Θεόφιλος καὶ Σέργιος καὶ Ὑγιεῖνος, πάντας τοὺς ὁσίους πατέρας καὶ ἀδελφοὺς ἀκοῦσαι τὴν πολιτείαν τοῦ ἁγίου Μακαρίου. Ἀποταξάμενοι ἡμεῖς οἱ ταπεινοὶ τὸν βίον τοῦ κόσμου τούτου εἰσήλθαμεν εἰς (=ἐν) τῷ μοναστηρίῳ τοῦ κυροῦ Ἀσκληπίου ἐν τῇ Μεσοποταμίᾳ Συρίας ἀναμέσον τῶν δύο ποταμῶν, τοῦ τε Εὐφράτου καὶ (τοῦ) Τίγριδος. καὶ ποιησάντων ἡμῶν τὴν ἐννάτην ὥραν τῆς εὐχῆς ἀπήλθομεν οἱ τρεῖς ἐν ἰδιάζοντι τόπῳ καὶ ἐκαθίσαμεν ὁμοῦ καὶ ἠρξάμεθα ὁμιλεῖν εἰς ἀλλήλους περὶ ἐγκρατείας καὶ ἀσκήσεως καὶ ἐν τῷ ὁμιλεῖν ἡμᾶς ταῦτα εἰσῆλθεν ἐν τῷ νοΐ μου τοῦ ταπεινοῦ Θεοφίλου λογισμὸς τοιοῦτος καὶ εἶπον τοῖς ἀδελφοῖς μου Σεργίῳ καὶ Ὑγιείνῳ λέγων· ἤθελον, ἀγαπητοί, πάντα τὰ ἔτη τῆς ζωῆς μου περιπατεῖν ἕως οὗ ἴδω ποῦ

---

[1]) Cod. ὀκτώβριος.

ροῦ ἀναπέπαυται. Καὶ λέγουσιν οἱ ἀδελφοί· ἀδελφὲ Θεόφιλε, (ἀντὶ) τοῦ μεγάλου ἀνδρὸς καὶ πατρὸς ἡμῶν ὡς πρῶτον ἀδελφὸν ἔχομέν σε πατέρα πνευματικὸν καὶ ἀπὸ τοῦ νῦν ὅπου δ' ἂν πορεύῃ ἀχώριστοί σου ἐσόμεθα, καὶ γὰρ καὶ ἡμῖν ἤρεσεν ὁ λόγος οὗτος. Καὶ ἀναστάντες εὐθὺς τῇ αὐτῇ νυκτὶ σιγῇ τοῦ ἀρχιμανδρίτου ἐξήλθομεν ἀπὸ τοῦ μοναστηρίου ἀμφότεροι καὶ πεζεύσαντες ἤλθομεν ἐν Ἱεροσολύμοις διὰ ἡμερῶν ιη', προσκυνήσαντες δὲ τὴν ἁγίαν ἀνάστασιν καὶ τὸν τίμιον σταυρὸν ἀπήλθομεν καὶ εἰς τὴν ἁγίαν Βηθλεὲμ καὶ προσκυνήσαντες τὸ ἅγιον σπήλαιον ἔνθα ἐγεννήθη ὁ Χριστὸς εἴδομεν καὶ τὸν ἀστέρα Χριστοῦ καὶ τὸ φρέαρ τοῦ ὕδατος τὸ ὁδηγῆσαν τοὺς μάγους προσκυνῆσαι τὸν Χριστόν, καὶ ὡς ἀπὸ μιλίων δύο ἀπήλθομεν εἰς τὸν τόπον ὅπου οἱ ἄγγελοι μετ' αὐτῶν χορεύοντες ἔψαλλον λέγοντες· δόξα ἐν ὑψίστοις θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. Καὶ ὑποστρέψαντες ἀνήλθαμεν καὶ εἰς τὸ ἅγιον ὄρος τῶν Ἐλαιῶν ὅπου ἀνελήφθη ὁ Χριστός, εἶτα ἐκεῖθεν ἐκβάντες πάλιν εἰσήλθομεν εἰς Ἱερουσαλὴμ καὶ ἐποιήσαμεν ἐκεῖ ἡμέρας εἴκοσι περιερχόμενοι εἰς τὰ ἁγιάσματα καὶ εἰς τὰ ἐκεῖσε μοναστήρια

ἀναπαύεται ὁ οὐρανός, ἐπειδὴ λέγουσίν τινες ὅτι ἐπὶ στύλου σιδηροῦ ἀναπέπαυται. Καὶ εἶπον πρός με οἱ ἀδελφοί· ἀδελφὲ Θεόφιλε, ἀντὶ τοῦ μεγάλου ἀνδρὸς καὶ ἡγουμένου ἔχομέν σε ὡς πρῶτον ἀδελφὸν καὶ πατέρα πνευματικὸν καὶ ἀπὸ τοῦ νῦν ὅπου δ' ἂν πορεύῃ ἀχώριστοί σου ἐσόμεθα, καὶ γὰρ καὶ ἡμῖν ἤρεσεν ὁ λόγος οὗτος. Καὶ γενομένης ἑσπέρας ἀναστάντες ἐξήλθομεν ἀπὸ τοῦ μοναστηρίου ἀμφότεροι λατρέως τοῦ ἡγουμένου καὶ τῶν ἀδελφῶν καὶ ὁδεύσαντες ἤλθομεν εἰς Ἱεροσόλυμα δι' ἡμερῶν ιη' καὶ προσκυνήσαντες τὴν ἁγίαν ἀνάστασιν καὶ τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν ἀπήλθομεν εἰς τὴν ἁγίαν Βηθλεὲμ καὶ προσκυνήσαντες τὸ ἅγιον καὶ τίμιον σπήλαιον εἴδομεν καὶ τὸν ἀστέρα καὶ τὸ φρέαρ τοῦ ὕδατος (καὶ) ὡς ἀπὸ μιλίων δύο ἀπήλθομεν εἰς τὸν τόπον ὅπου οἱ ἄγγελοι μετὰ τῶν ποιμένων ἔψαλλον τὸ δόξα ἐν ὑψίστοις θεῷ καὶ ὑποστρέψαντες ἀνήλθαμεν εἰς τὸ ὄρος τῶν Ἐλαιῶν ἔνθα ὁ Κύριος ἀνελήφθη. μετὰ δὲ ταῦτα ὑποστρέψαντες πάλιν εἰσήλθομεν εἰς Ἱερουσαλὴμ καὶ ἐποιήσαμεν ἐκεῖ ἡμέρας κ' καὶ περιερχόμενοι εἰς τὰ ἁγιάσματα καὶ εἰς τὰ ἐκεῖσε μοναστήρια εὐχόμενοι καὶ εὐλογούμενοι καὶ

μενοι καὶ εὐλογούμενοι καὶ
ζοντες τὸν θεόν, ἐσφραγί-
ν δὲ ἑαυτοὺς ὡς μὴ προς-
ντες ἔτι ἰδεῖν τὸν κόσμον
ον. Διοδεύσαντες οὖν ἐπὶ
ας πεντήκοντα πέντε καὶ
σαντες τὸν Τίγριν ποταμὸν
λθομεν εἰς τὴν χώραν τῶν
ῶν καὶ ἤλθαμεν εἰς κάμπον
ὸν καλούμενον Ἀσίαν, ἐν
πῳ τὴν ψυχὴν ἀπέῤῥηξεν
ραβάτης. Ἰουλιανός. εἰσήλ-
ν δὲ καὶ εἰς τὰ μέρη τῆς
ίδος εἰς πόλιν καλουμένην
ιφῶντα, ἐκεῖ κατάκεινται οἱ
τρεῖς παῖδες Ἀνανίας, Ἀζα-
καὶ Μισαήλ. ἔστι δὲ οὗτος
πος μήκοθεν καὶ ἀπέχων
λῶνος. ὅμως προσκυνήσαν-
τοὺς ἐκεῖσε ἁγίους παῖδας
φαγόντες καὶ πιόντες ἐν-
σθημεν εἰς κόρον. εὐχαρι-
αντες δὲ τῷ θεῷ καὶ ἐξελ-
ες ἐκ τῆς πόλεως Κτησι-
ος ὡδεύσαμεν καὶ διαπερά-
ες τὴν χώραν τῶν Περσῶν
μεν εἰς τὰ μέρη τῆς Ἰνδίας
ηνῶν τεσσάρων καὶ κατην-
μεν ἐν σκηνῇ μιᾷ τῶν Ἰν-
τῇ παρακειμένῃ ἐπὶ δυσμὰς
τόλεως ἐκείνης καὶ ἐδίωξαν
οἱ ἄνδρες τῆς Ἰνδίας· οὐ
ἔχουσι πόλιν, ἀλλὰ σκη-
ατὰ τόπον. Καὶ πάλιν ἀπήλ-
ν εἰς ἄλλην σκηνὴν μὴ
σαν ἄνθρωπον καὶ εἰσελ-

δοξάζοντες τὸν θεόν, ἐσφραγίσαμεν ἑαυτοῖς ὡς μὴ προσδοκῶντες ἔτι ἰδεῖν τὸν κόσμον τοῦτον. Διοδεύσαντες δὲ ἐπὶ ἡμέρας τριάκοντα πέντε καὶ τὸν Τίγριν ποταμὸν περάσαντες εἰςήλθομεν εἰς τὴν χώραν τῶν Περσῶν καὶ ἤλθομεν εἰς κάμπον ὁμαλὸν καλούμενον Ἀσία ὅπου ὁ ἅγιος Μερκούριος ἀνεῖλεν Ἰουλιανὸν τὸν Παραβάτην. εἰσήλθομεν δὲ καὶ εἰς τὰ μέρη τῆς Περσίδος εἰς πόλιν καλουμένην Κνησιφῶν ἐν ᾗ κατάκεινται οἱ ἅγιοι τρεῖς παῖδες Ἀνανίας, Ἀζαρίας καὶ Μισαήλ, καὶ προςκυνήσαντες αὐτοὺς ἐδοξάσαμεν τὸν Κύριον τὸν καταξιώσαντα ἡμᾶς προσκυνῆσαι αὐτούς. καὶ ἐξελθόντες ἐκ τῆς πόλεως ἐκείνης διωδεύσαμεν καὶ διὰ μηνῶν δ' περάσαντες τὴν χώραν τῶν Περσῶν εἰσήλθομεν εἰς τὴν χώραν τῆς Ἰνδίας καὶ εἰσελθόντες εἰς μίαν σκηνὴν τῶν Ἰνδῶν τὴν παρακειμένην ἐπὶ δυσμὰς ἐδίωξαν ἡμᾶς οἱ ἄνδρες τῆς Ἰνδίας· οὐ γὰρ ἔχουσι πόλιν, ἀλλὰ σκηνὰς κατὰ τόπον. καὶ πάλιν ἀπήλθομεν εἰς ἄλλην σκηνὴν μὴ ἔχουσαν ἄνθρωπον καὶ μείναντες ἐν αὐτῇ ἡμέρας δύο ἦλθεν ἀνδρόγυνον φορούντων (sic) ἐν τῇ κεφαλῇ αὐτῶν ἐν τάξει στεφάνων ἔχοντα ὀξεῖα βέλη καὶ ἰδόντες ἡμᾶς σφόδρα ἐφοβήθη-

θόντες ἐκεῖ οὐχ εὕρομεν οὐδένα. ἐμείναμεν δὲ ἐκεῖ ἡμέρας δύο καὶ ἰδοὺ ἀνδρόγυνον ἐφάνη καὶ ἐν τῇ κεφαλῇ αὐτῶν ἐν τάξει στεφάνων ὀξεῖα βέλη ἐφόρουν καὶ ἰδόντες ἡμᾶς σφόδρα ἐφοβήθησαν, νομίζοτες δὲ ὅτι κατάσκοποί ἐσμεν τῆς χώρας αὐτῶν ἀπελθόντες πρὸς τοὺς ὁμοφύλους αὐτῶν συνηθροίσαν ὡς δισχιλίους ἄνδρας καὶ γυρεύσαντες τὴν οἰκίαν εὗρον ἡμᾶς προσευχομένους καὶ δυσωποῦντας τὸν θεόν. ἐκεῖνοι δὲ πάραυτα ἐνέβαλον πῦρ γυρόθεν ὡς μέλλοντες ἡμᾶς καταχαῦσαι· ἡμεῖς δὲ ἦμεν ἐν φόβῳ ἀκροτάτῳ καὶ ἐξελθόντες ἀπὸ τῆς σκηνῆς ἔστημεν εὑρεθέντες ἐν μέσῳ αὐτῶν μὴ δυνάμενοι φυγεῖν, κἀκεῖνοι ἐλάλουν τῇ ἰδίᾳ αὐτῶν διαλέκτῳ, ἡμεῖς δὲ τί ἐλάλουν οὐκ ᾔδειμεν καὶ μὴ γνωρίζοντες τὴν φωνὴν αὐτῶν οὐδὲν αὐτοῖς ἀπεκρινόμεθα, καὶ συλλαβόμενοι ἡμᾶς ἐνέκλεισαν ἐν οἴκῳ στενωτάτῳ παραγγείλαντες ἕως ἡμερῶν δέκα μήτε φαγεῖν μήτε πιεῖν δοθῆναι ἡμῖν. Ἡμεῖς οὖν ἐν εὐχαῖς καὶ δάκρυσι καὶ ὑπομονῇ τῷ θεῷ ηὐχαριστοῦμεν καὶ μετὰ τὰς δέκα ἡμέρας νομίζοντες αὐτοὶ ὅτι τεθνήκαμεν συλλαβόντες πλήθη ἀνείκαστα καὶ ἀνοίξαντες τὴν σκηνὴν εὗρον ἡμᾶς κεκλικότας τὰ γόνατα καὶ τῷ Κυ-

σαν, νομίζοντες ὅτι κατάσκοποι τῆς χώρας αὐτῶν ἐσμεν ἀπελθόντες πρὸς αὐτῶν ὁμοφύλους συνήχθησαν ὡς δισχιλίους ἄνδρας καὶ κυκλώσαντες τὴν σκηνὴν εὗρον ἡμᾶς προσευχομένους καὶ δυσωποῦντας τὸν θεόν. εἶτα παραλαβόντες πῦρ γύροθεν ἐβούλοντο ἡμᾶς καταχαῦσαι· ἡμεῖς δὲ φοβηθέντες ἐξήλθομεν ἀπὸ τῆς σκηνῆς αὐτῶν καὶ ἔστημεν ἐν τῷ μέσῳ αὐτῶν μὴ δυνάμενοι φυγεῖν κἀκεῖνοι ἐλάλουν ἡμῖν τῇ ἰδίᾳ αὐτῶν διαλέκτῳ, ἡμεῖς δὲ τί ἔλεγον οὐκ οἴδαμεν καὶ μὴ γνωρίζοντες τὴν φωνὴν αὐτῶν οὐδὲν αὐτοῖς ἀπεκρινόμεθα. κρατήσαντες οὖν ἡμᾶς ἐνέκλεισαν ἐν οἴκῳ σκοτεινῷ καὶ στενωτάτῳ παραγγείλαντες ἕως ἡμερῶν δέκα μήτε φαγεῖν μήτε πιεῖν δοθῆναι ἡμῖν. Ἡμεῖς δὲ ἐν εὐχαῖς καὶ δάκρυσι καὶ ὑπομονῇ τῷ θεῷ ηὐχαριστοῦμεν ἡμέρας καὶ νυκτὸς καὶ μετὰ τὰς δέκα (ἡμέρας) νομίζοντες ὅτι τεθνήκαμεν συλλαβόντες μεθ' ἑαυτῶν ὄχλον πολὺν καὶ ἀνοίξαντες τὴν σκηνὴν εὗρον ἡμᾶς κεκλικότας τὰ γόνατα καὶ τῷ Κυρίῳ προσευχομένους καὶ λογισάμενοί τι εἰς ἑαυτοὺς ἀπήλασαν ἡμᾶς τύπτοντες μετὰ ξύλων ἀγρίων ἔξω τῆς πόλεως. εἴχομεν δὲ ἡμέρας πολλὰς μὴ γευσάμενοι βρώσεώς τινος. Τότε σφραγίσαντες ἑαυ-

ρίῳ προσευχομένους καὶ λογισάμενοί τι εἰς αὐτοὺς ἀπήλασαν ἡμᾶς τύπτοντες μετὰ ξύλων ἀγρίων ἔξω τῆς πόλεως. εἴχομεν οὖν ἡμέρας ἑβδομήκοντα μὴ γευσάμενοι βρώσεως ὡς ὁ Κύριος ἐπίσταται. Καὶ σφραγίσαντες ἑαυτοὺς ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος τῇ φερομένῃ ὡδεύσαμεν ἐπὶ ἡμέρας πολλὰς κατὰ ἀνατολάς. καὶ περιπατούντων ἡμῶν ἐπὶ ἡμέρας τεσσαράκοντα ἠνέχθημεν ἐν τόπῳ οὗ ἦσαν δένδρα καρποφόρα ὡραῖα τῷ εἴδει καὶ τῇ βρώσει ὑπέρκαλα πλῆθος πολὺ γέμοντα καρπῶν καὶ δοξάσαντες τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐφάγομεν καὶ ἐνεπλήσθηεεν τοῦ καρποῦ ἐκείνου κἀκεῖθεν ἤλθαμεν εἰς τὴν χώραν τῶν κυνοκεφάλων· καὶ διοδευόντων ἡμῶν ἐν μέσῳ αὐτῶν ἐθαύμαζον βλέποντες ἡμᾶς καὶ τρανῶς προσεῖχον ἡμῖν, οὐδὲν δὲ ἠδίκουν ἡμᾶς. κατὰ τόπον δὲ ἐκάθηντο σὺν γυναιξὶν καὶ τέκνοις γυμνοὶ ἕκαστος ἔχων φωλεὸν ὑποκάτω πέτρας ὡς ἄγρια θηρία. ἡμεῖς δὲ τῇ φερομένῃ περιπατοῦντες κατὰ ἀνατολὰς δι' ἡμερῶν ἑκατὸν ἢ πλείω ἤλθομεν εἰς χώραν τινὰ τῶν πιθήκων ὅπου οὐδὲν ἕτερον ἐβλέπομεν εἰ μὴ πιθήκους· καὶ θεωροῦντες ἡμᾶς ἔφυγον ἀφ'

τοὺς ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος τῆς φερομένης ὁδοῦ ἠψάμεθα· καὶ περιπατούντων ἡμῶν ἐπὶ ἡμέρας τεσσαράκοντα ἐφθάσαμεν εἰς τόπον ἔνδοξον καὶ εὔκαρπον ἐκ ᾧ ἦσαν δένδρα πολλὰ καρποφόρα ὡραῖα τῷ εἴδει καὶ τῇ βρώσει ὑπέρκαλα πλῆθος πολὺ γέμοντα καρπῶν καὶ δοξάσαντες τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐφάγομεν τοῦ καρποῦ αὐτῶν καὶ ἐνεπλήσθημεν εἰς κόρον κἀκεῖθεν ἀπάραντες ἤλθομεν εἰς τὴν χώραν τῶν κυνοκεφάλων· καὶ διοδεύσαντες ἐν μέσῳ αὐτῶν ἐθαύμαζον ἀτενίζοντες μόνον καὶ μηδὲν ἡμᾶς ἀδικοῦντες. κατὰ τόπον δὲ ἐκάθηντο σὺν γυναιξὶν καὶ τέκνοις αὐτῶν γυμνοὶ ἕκαστος ἔχων φωλεὸν ὑποκάτω πέτρας ἄγριοι ὥσπερ θηρία. ἡμεῖς δὲ τῇ φερομένῃ ὁδῷ περιπατοῦντες κατὰ ἀνατολὰς δι' ἡμερῶν ἑκατὸν ἢ καὶ πλείονα ἤλθομεν εἰς τὴν χώραν τῶν πιθήκων· θεωροῦντες ἡμᾶς ἔφευγον ἀφ' ἡμῶν καὶ ἐδοξάσαμεν τὸν Κύριον τὸν ῥυσάμενον ἡμᾶς ἐκ τοῦ στόματος αὐτῶν. καὶ πάλιν ἤλθομεν εἰς ὄρος ὑψηλὸν λίαν ὅπου οὔτε ἥλιος ἔλαμπεν οὔτε δένδρον ὡρᾶτο οὔτε βοτάνη ἐφύη ποτὲ εἰ μὴ μόνον ἑρπετὰ ἰοβόλα κατοικοῦν ἐκεῖ· ἀσπίδες καὶ ἔχιδνες καὶ δράκοντες πρὸς

ἡμῶν καὶ ἐδοξάσαμεν τὸν Κύριον τὸν ῥυσάμενον ἡμᾶς ἐκ τοῦ στόματος αὐτῶν. καὶ πάλιν ἤλθομεν εἰς ὄρος ὑψηλὸν λίαν ὅπου οὔτε ἥλιος ἐπέλαμπεν οὔτε δένδρον ὡρᾶτο οὔτε βοτάνη ἐφύη εἰ μὴ μόνον ἑρπετὰ ἰοβόλα κατῴκουν ἐν αὐτῷ καὶ φωνὴ συρισμάτων αὐτῶν καὶ τρισμὸς ὀδόντων ἀσπίδων καὶ δρακόντων καὶ ἐχιδνῶν πρὸς ἀλλήλους συριζόντων καὶ βουβάλων καὶ βασιλίσκων. εἴδομεν δὲ καὶ θηρία ἕτερα πολλὰ ὧν τὰ ὀνόματα οὐκ οἴδαμεν καλέσαι, ἐγνωρίσαμεν δὲ μονοκέρωτας καὶ ὀνοκενταύρους καὶ λεοπάρδους καὶ τὰ ἄλλα πάντα ὅσα ἐστὶν ἐπὶ τῆς γῆς, καὶ ἐδοξάσαμεν τὸν Κύριον τὸν ῥυσάμενον ἡμᾶς ἐκ τοῦ στόματος αὐτῶν καὶ ἐνισχύοντα ἡμᾶς ἐν πάσῃ ὁδῷ. καὶ διαπορευομένων ἡμῶν ἐπὶ ἡμέρας τέσσαρας ἀκούοντες τὴν φωνὴν τῶν δρακόντων τὰ ὦτα ἡμῶν ἐφράξαμεν ὡς μὴ δυναμένους ἡμᾶς ὑπενέγκαι τὴν φωνὴν τοῦ συρισμοῦ αὐτῶν, θεοῦ δὲ κελεύσαντος οὐδὲν ἠδικήθημεν παρ' αὐτῶν. καὶ διήλθομεν τὸ ὄρος ἐκεῖνο καὶ ἤλθομεν πάλιν εἰς ἔρημον τόπον μέγαν καὶ βαθὺν ὅθεν οὐδὲ ἴχνος ἐφαίνετο ὅτι οὐδέπω ἀνθρωπίνη φύσις ἐκεῖ γέγονεν. Καὶ ποιησάντων ἡμῶν ἐκεῖ ἡμέρας ἑξήκοντα καὶ διαλλήλους συρίζοντες καὶ τρισμὸν ὀδόντων ἀποτελοῦντες. εἴδομεν δὲ καὶ θηρία ἕτερα πολλὰ ὧν τὰ ὀνόματα οὐκ οἴδαμεν καλέσαι, ἐγνωρίσαμεν δὲ βουβάλους καὶ βασιλίσκους καὶ μονοκέρους καὶ ὄνους καὶ ταύρους καὶ λεοπάρδους καὶ τἄλλα πάντα ὅσα εἰσὶν ἐπὶ τῆς γῆς, καὶ ἐδοξάσαμεν τὸν Κύριον τὸν ῥυσάμενον ἡμᾶς ἐκ τοῦ στόματος αὐτῶν καὶ ἐνισχύοντα ἡμᾶς ἐν πάσῃ ὁδῷ. καὶ περιπατούντων ἡμῶν ἐπὶ ἡμέρας κ' ἀκούοντες τὴν φωνὴν τῶν δρακόντων ἐφράξαμεν τὰ ὦτα ἡμῶν ἐκ κηροῦ ὡς μὴ δυνάμενοι ὑπομεῖναι τὴν φωνὴν τοῦ σ(υρ)ισμοῦ αὐτῶν καὶ τοῦ θεοῦ σκέποντος οὐδὲν ἠδικήθημεν παρ' αὐτῶν, ἀλλὰ διήλθομεν τὸ ὄρος ἐκεῖνο ἀβλαβεῖς ὅθεν πάλιν ἤλθομεν εἰς κρημνὸν μέγαν καὶ βαθὺν ἔνθα οὐδὲ ἴχνος ἐφαίνετο ὅτι οὐδὲ ἀνθρωπίνη πώποτε φύσις ἐκεῖ γέγονε. Καὶ παραμείναντες ἐκεῖ ἡμέρας ἑπτὰ ἐδεήθημεν τοῦ Κυρίου τοῦ σωθῆναι ἡμᾶς ἀπὸ τοῦ μεγάλου καὶ φοβεροῦ ἐκείνου κρημνοῦ. καὶ ἰδοὺ ἦλθεν ἔλαφος μέγας καὶ ἐμυκήσατο ἀπέναντι ἡμῶν καὶ ἀκολουθήσαντες τὴν φωνὴν αὐτοῦ εὑρέθημεν εἰς ἑτέρους κρημνοὺς φοβερούς, ὅθεν κατελθόντες μετὰ φόβου πολλοῦ καὶ μεγάλου μόλις ἤλθομεν εἰς πε-

λογιζομένων τί ποιήσωμεν ἐδεήθημεν τοῦ Κυρίου τοῦ σωθῆναι ἡμᾶς ἀπὸ τοῦ μεγάλου κρημνοῦ ἐκείνου, καὶ ἰδοὺ ἔλαφος μέγας ἦλθεν ἀπέναντι ἡμῶν καὶ ἐμυκήσατο ἀπὸ μακρόθεν ἔμπροσθεν ἡμῶν καὶ τῇ φωνῇ ἀκολουθήσαντες εὑρέθαμεν εἰς ἑτέρους κρημνοὺς καὶ κινδύνους μεγάλους καὶ χαλεποὺς ὑπέστημεν κατὰ κρημνῶν φερόμενοι καὶ καταβάντες μετὰ φόβου μεγάλου μόλις κατήλθομεν εἰς πεδινὸν τόπον. καὶ ἦσαν ἐκεῖ ἀγέλαι βοσκόμεναι τῶν ἐλεφάντων ἄπειροι. καὶ διήλθομεν τὸν πεδινὸν τόπον ἐκεῖνον διὰ μέσου τῶν ἐλεφάντων μηδὲν ἀδικηθέντες παρ' αὐτῶν καὶ οὐκέτι λοιπὸν ὁδὸν εὐθεῖαν εὑρίσκομεν. καὶ δεηθέντες τοῦ θεοῦ τῇ φερομένῃ ὁδῷ ὡδεύσαμεν μηδενὸς γευσάμενοι ὡς ὁ Κύριος ἐπίσταται. Περιπατησάντων δὲ ἡμῶν πλέον ἢ ἐλάσσω ἐπὶ ἡμέρας ἑβδομήκοντα, ἵνα μὴ πολλὰ λέγω, ἠνέχθημεν πάλιν εἰς τόπον ὁμαλὸν καὶ πάνυ πολύδενδρον ἔχοντα καρπὸν ἀειδέστατον, οὔτε φῶς γὰρ ἐφαίνετο ἐν τῷ τόπῳ ἐκείνῳ εἰ μὴ μόνον ὁμίχλη σκοτεινοτάτη. καὶ καθεσθέντες μικρὸν ἐποιήσαμεν ἐκεῖ θρῆνον καὶ κλαυθμὸν μέγα διότι ἐκλείσθη ἡμῶν ἡ ὁδοιπορία καὶ τὸ φῶς. Κλαιόντων οὖν ἡμῶν ἐπὶ ἡμέρας ἑπτὰ ἰδοὺ πεδινὸν τόπον· ἦσαν δὲ ἐκεῖ βοσκόμενοι ἐλέφαντες πολλοὶ καὶ εἰς μέσον αὐτῶν διελθόντες οὐδὲν ἠδικήθημεν παρ' αὐτῶν καὶ λοιπὸν οὐκέτι ηὑρίσκομεν ὁδὸν εἰθεῖαν. τότε δεηθέντες τοῦ φιλανθρώπου θεοῦ τῇ φερομένῃ ὁδῷ ὡδεύσαμεν μηδενὸς γευσάμενοι. Περιπατησάντων δὲ ἡμῶν ἐπὶ ἡμέρας ο' ἤλθομεν εἰς τόπον ὁμαλὸν καὶ πάνυ πολύδενδρον ἔχοντα καρπὸν ἡδύτατον, καὶ οὐκέτι τὸ φῶς ἐπέλαμψεν ἡμῖν· οὔτε γὰρ φῶς ἐφαίνετο ἐν τῷ τόπῳ ἐκείνῳ εἰ μὴ μόνον ὁμίχλη σκοτεινή. καὶ καθεσθέντες μικρὸν ἐποιήσαμεν θρῆνον καὶ κλαυθμὸν μέγα διότι ἐκλείσθη ἡμῶν ἡ ὁδοιπορία καὶ τὸ φῶς τῆς ἡμέρας. Κλαιόντων δὲ ἡμῶν ἐπὶ ἡμέρας ζ' καὶ προσευχομένων πρὸς Κύριον ἀπέστειλεν ἡμῖν περιστερὰν καὶ καθίσασα εἰς τόπον ὑψηλὸν πάλιν ἀνέστη περιπετομένη ἔμπροσθεν ἡμῶν, ἡμεῖς δὲ λαβόντες χαρὰν μεγάλην ἐδοξάσαμεν τὸν Κύριον καὶ ἀκολουθήσαντες τῇ περιστερᾷ εὕρομεν ἀψίδα καμαρωτὴν μεγάλην γράμματα ἔχουσαν εἰς τὸν κύκλον αὐτῆς οὕτω [1]) παραδηλοῦντα· ταύτην τὴν ἀψίδα ἀνήγειρεν Ἀλέξανδρος ὁ βασιλεὺς Μακεδόνων ὅτε κατεδίωκεν ἀπὸ Χαλχη-

---

1) Cod. ὅτω.

ριστερὰ ἔμπροσθεν ἡμῶν πετομένη καὶ ἔστη εἰς τόπον ὑψηλὸν καὶ πάλιν ἀνέπτη ἔμπροσθεν ἡμῶν περιπετομένη, ἡμεῖς δὲ λαβόντες χαρὰν μεγάλην ἐδοξάσαμεν τὸν Κύριον καὶ κατακολουθήσαντες αὐτῇ εὕρομεν ἀψίδα καὶ ἔγραφεν εἰς τὸ κύκλος αὐτῆς οὕτως· Ταύτην τὴν ἀψίδα ἤγειρεν Ἀλέξανδρος ὁ τῶν Μακεδόνων βασιλεὺς καταδιώκων ἀπὸ Καρχηδόνος ὡς θηρίον τὸν Πέρσην ἕως ἐνταῦθα· ταῦτά εἰσιν τὰ σκοτεινὰ ἃ διῆλθεν. ὁ θέλων ἐνδότερον εἰσελθεῖν πάντα ἀριστερὰ περιπατείτω, πάντα γὰρ τὰ ὕδατα τοῦ κόσμου ἐκ τοῦ ἀριστεροῦ μέρους ἐκπορεύονται. ὁ διερχόμενος τῇ φωνῇ τῶν ὑδάτων ἀκολουθείτω καὶ ἐξελεύσεται εἰς φῶς, τὰ δὲ δεξιὰ μέρη ὄρη εἰσὶ πάντα καὶ κρημνοὶ καὶ λίμνη παμμεγέθης ὄφεων μεμεστωμένη. Ὡς οὖν ἀνέγνωμεν ταῦτα εἰς τὴν ἀψίδα τοῦ Ἀλεξάνδρου ἐλάβομεν προθυμίαν καὶ ἐδοξάσαμεν τὸν θεὸν τὸν πανταχοῦ σώζοντα ἡμᾶς καὶ ἐχάρημεν καὶ ἠρξάμεθα ὁδεύειν ἐπὶ τὰ ἀριστερὰ μέρη τῆς ἀψίδος. καὶ περιπατησάντων ἡμῶν ἐπὶ ἡμέρας τεσσαράκοντα ἀπαντᾷ ἡμᾶς ὀσμὴ δριμυτάτη καὶ ἐνεκρούμεθα μὴ φέροντες τὴν ὀσμὴν τῆς δυσωδίας, καθ' ἑκάστην δὲ ἡμέραν ηὐχόμεθα

δόνος Δαρεῖον τὸν Πέρσην ἕως ἐνταῦθα. Ταῦτα δέ εἰσιν τὰ σκοτεινὰ ἃ διῆλθεν. ὁ θέλων οὖν ἐνδότερον εἰσελθεῖν εἰς τὰ ἀριστερὰ μέρη περιπατείτω, πάντα γὰρ τὰ ὕδατα τοῦ κόσμου ἐκ τοῦ ἀριστεροῦ μέρους ἐκπορεύονται. ὁ γοῦν διερχόμενος τὴν φωνὴν τῶν ὑδάτων ἀκολουθείτω καὶ εἰσελεύσεται εἰς φῶς, τὰ δὲ δεξιὰ μέρη ὄρη εἰσὶ καὶ κρημνοὶ καὶ λίμναι παμμεγέθεις ὄφεων καὶ σκορπίων μεμεστωμένα. Ὡς οὖν ἀνέγνωμεν ταῦτα εἰς τὴν ἀψίδα τοῦ Ἀλεξάνδρου ἐλάβομεν θάρσος καὶ προθυμίαν καὶ ἐδοξάσαμεν τὸν Κύριον τὸν πανταχοῦ διασώζοντα ἡμᾶς καὶ ἠρξάμεθα ὁδεύειν ἐπὶ τὰ ἀριστερὰ μέρη τῆς ἀψίδος. καὶ περιπατησάντων ἡμῶν ἐπὶ ἡμέρας μ' ἀπήντησεν ἡμᾶς ὀσμὴ [1]) δυσωδίας δριμυτάτης καὶ μὴ φέροντες τὴν τοιαύτην ὀσμὴν τῆς δυσωδίας γεγόναμεν ὡσεὶ νεκροί, παρεκαλοῦμεν δὲ καθ' ἑκάστην ἡμέραν τῷ Κυρίῳ τοῦ ἀποδοῦναι ἡμῶν τὰς ψυχὰς καὶ ἤμεθα ἐν θλίψει πολλῇ ἀνεικάστῳ· ἀνήρχετο δὲ καὶ ὀλολυγμὸς ὡς χλημητιζόντων ἵππων πολλῶν. ὡς οὖν προεκόψαμεν τὴν ὁδὸν εἴδομεν ἀπέναντι ἡμῶν καὶ ἰδοὺ λίμνη παμμεγέθης [2]) γέμουσα πλῆ-

[1]) Cod. ὀμηδί. [2]) Cod. παμμεγεθής.

τῷ Κυρίῳ ἀποδοῦναι τὰ πνεύματα ἡμῶν. ἤμεθα δὲ ἐν θλίψει ἀνεικάστῳ, ὀλολυγμὸς γὰρ μέγας ἀνήρχετο ὡς χρεμετιζόντων ἵππων πολλῶν. ὡς οὖν προεκόψαμεν μικρὸν εἴδομεν ἀπέναντι ἡμῶν καὶ ἰδοὺ λίμνη παμμεγέθης μεστὴ ὄφεων ὡς μὴ φαίνεσθαι τὸ ὕδωρ αὐτῆς ἐξ αὐτῶν, καὶ ἰδοὺ θρῆνος καὶ ὀλολυγμὸς καὶ ὀδυρμὸς πολὺς ὡς ἀπὸ πλήθους ἀνθρώπων ἀνήρχετο τῆς λίμνης τοῦ ὕδατος καὶ ἠκούσαμεν φωνὴν ἐκ τῶν οὐρανῶν λέγουσαν· οὗτός ἐστιν ὁ λάκκος τῆς κρίσεως καὶ οὗτοί εἰσιν οἱ ἀρνησάμενοι τὸν Κύριον. καὶ μετὰ φόβου μεγάλου παρήλθομεν τὴν λίμνην ἐκείνην τῆς κρίσεως. Ἔτι δὲ πάλιν περιπατησάντων ἡμῶν ἡμερῶν οὐκ ὀλίγων διάστημα ἠνέχθημεν ἐν τόπῳ τινί, καὶ ἦσαν ἐκεῖ ὄρη ὑψηλὰ δύο καὶ ἀναμέσον αὐτῶν προσέσχομεν καὶ εἴδομεν ἄνδρα οὗ τὸ μῆκος ὡσεὶ πήχεων ἑκατὸν καὶ ἦν δεδεμένος ἐν ἁλύσεσι χαλκαῖς ἐν ὅλῳ τῷ σώματι ὀκτὼ καὶ αἱ μὲν τέσσαρες ἦσαν δεδεμέναι τοῦ ἑνὸς ὄρους εἰς τὸ δεξιὸν καὶ αἱ τέσσαρες τῷ ἄλλῳ ὄρει τὸ ἀριστερόν, καὶ ἦν πῦρ ἀνείκαστον καιόμενον γυρόθεν τοῦ σώματος τοῦ ἀνδρὸς ἐκείνου, καὶ ἐξήχει ἡ φωνὴ αὐτοῦ ὡς ἀπὸ μιλίων τριάκοντα.

θος ὄφεων ὡς μὴ φαίνεσθαι τὸ ὕδωρ αὐτῆς ἐξ αὐτῶν καὶ ἰδοὺ θρῆνος καὶ ὀλολυγμὸς καὶ ὀδυρμὸς πολὺς ὡς ἀπὸ πλήθους ἀνθρώπων ἀνήρχετο ἐκ τῆς λίμνης καὶ ἠκούσαμεν φωνὴν ἐκ τοῦ οὐρανοῦ λέγουσαν· οὗτός ἐστιν ὁ λάκκος τῆς κρίσεως καὶ οὗτοί εἰσιν οἱ ἀρνησάμενοι τὸν Κύριον. καὶ μετὰ φόβου μεγάλου παρήλθομεν τὴν λίμνην ἐκείνην τῆς κρίσεως. Ἔτι δὲ περιπατούντων ἡμῶν οὐκ ὀλίγων ἡμερῶν διάστημα ἠνέχθημεν ἐν τόπῳ τινί, καὶ εὕρομεν ἐκεῖ ὄρη ὑψηλὰ β' καὶ ἦν ἀναμέσον τῶν δύο αὐτῶν ὀρέων ἄνθρωπος μακρὸς καὶ ὑψηλὸς καὶ ἦν δεδεμένος ἐν ὅλῳ τῷ σώματι αὐτοῦ ἁλύσεσι χαλκαῖς η' καὶ αἱ μὲν δ' ἦσαν δεδεμέναι εἰς τὸ δεξιὸν ὄρος, αἱ δὲ δ' εἰς τὸ ἀριστερὸν γύροθεν τοῦ σώματος τοῦ ἀνδρὸς ἐκείνου καὶ ἡ γλῶσσα αὐτοῦ ὡσεὶ σπιθαμὴ μία ἐκρέματο ἔξω τοῦ στόματος αὐτοῦ πεφουσκομένην καὶ συγκρούοντα ἀλλῆλα ἀπὸ τῆς πολλῆς φλογός, καὶ ἠκούετο ἡ φωνὴ αὐτοῦ ἀπὸ μιλίων εἴκοσι. καὶ ἰδὼν ἡμᾶς ὁ ἄνθρωπος ἐκεῖνος ἤρξατο κλαίειν καὶ θρηνεῖν καὶ ῥήσσειν τὴν κεφαλὴν αὐτοῦ ἐπὶ τὴν γῆν· ἦν δὲ ὅλος πεφλογισμένος ὑπὸ τῆς πυρᾶς ὡς μὴ φαίνεσθαι αὐτοῦ τρίχα μίαν, ἡμεῖς δὲ ἐκ τοῦ

καὶ ἰδὼν ἡμᾶς ὁ ἄνθρωπος ἐκεῖνος ἤρξατο κλαίειν καὶ θρηνεῖν καὶ ῥήσσειν τὴν κεφαλὴν αὐτοῦ ἐπὶ τὴν γῆν· ἦν δὲ ὅλος πεφλογισμένος ὑπὸ τῆς πυρᾶς ὡς μὴ φαίνεσθαι αὐτοῦ τρίχα μίαν, ἡμεῖς δὲ ἐκ τοῦ φόβου καὶ τοῦ τρόμου σκεπάσαντες τὰς ὄψεις ἡμῶν διήλθομεν τὰ δύο ὄρη ἐκεῖνα· εἶχεν δὲ ἡμᾶς φόβος μέγας καὶ τρόμος πολύς. καὶ ἐπὶ ἡμέρας πέντε περιπατούντων ἡμῶν ἠκούομεν τὴν φωνὴν τοῦ στεναγμοῦ αὐτοῦ. Καὶ πάλιν ἤλθομεν ἐν τόπῳ κρημνώδει, καὶ ἦν ἐκεῖ βόθυνος παμμεγέθης καὶ γυνή τις λυσίτριχος ἕστηκεν ἐπὶ τοῦ χείλους αὐτοῦ καὶ δράκων μέγας ἐνειλλιμένος αὐτῇ ἀπὸ ποδῶν ἕως τοῦ τραχήλου, καὶ ὅτε ἤθελεν ἀνοῖξαι τὸ στόμα αὐτῆς τοῦ λαλῆσαι ἐκόλαπτεν αὐτῆς τὰ χείλη ὁ δράκων. ἦσαν δὲ αἱ τρίχες αὐτῆς λελυμέναι ἕως τῆς γῆς. Καὶ ἄλλη δὲ φωνὴ ἀνείκαστος ὡς ὄχλου πολλοῦ ἀνήρχετο ἀπὸ τοῦ βόθρου λέγουσα· ἐλέησον ἡμᾶς, Κύριε, υἱὲ τοῦ θεοῦ τοῦ ὑψίστου, ἐλέησον ἡμᾶς. Ἡμεῖς δὲ ἐκ τοῦ φόβου εἴπομεν· Κύριε, πλήρωσον ἡμῶν τὴν ζωὴν ἐν τῷ τόπῳ τούτῳ ὅτι εἶδον οἱ ὀφθαλμοὶ ἡμῶν ξένα καὶ παράδοξα μυστήρια καὶ κρίσεις μεγάλας ἐπὶ τῆς γῆς. καὶ ὡς διήλθομεν τὸν τό-

φόβου καὶ τοῦ τρόμου ἐσκεπάσαμεν τὰς ὄψεις ἡμῶν καὶ διήλθομεν τὰ δύο ὄρη ἐκεῖνα· εἶχεν δὲ ἡμᾶς φόβος μέγας καὶ τρόμος πολύς. καὶ ἐπὶ ἡμέρας πέντε περιπατούντων ἡμῶν ἠκούομεν τὴν φωνὴν τοῦ στεναγμοῦ αὐτοῦ. Καὶ πάλιν ἤλθομεν ἐν τόπῳ κρημνώδει καὶ ἦν ἐκεῖ βόθυνος παμμεγέθης καὶ γυνή τις λυσίτριχος ἕστηκεν ἐπὶ τὸ τεῖχος τοῦ βοθύνου καὶ ἦν δράκων μέγας ἐνειλλιμένος ἐπ' αὐτῇ ἀπὸ ποδῶν ἕως τοῦ τραχήλου αὐτῆς, καὶ ὅτε ἤθελε λαλῆσαι καὶ ἀνοῖξαι τὸ στόμα αὐτῆς ἐκόλαπτεν ὁ δράκων τὰ χείλη αὐτῆς. ἦσαν δὲ αἱ τρίχες αὐτῆς λελυμέναι ἕως τῆς γῆς. Καὶ ἄλλη φωνὴ ἐξήρχετο ἐκ τοῦ βοθύνου λέγουσα οὕτως· ἐλέησον ἡμᾶς, Κύριε, υἱὲ τοῦ θεοῦ τοῦ ὑψίστου. ἡμεῖς δὲ ἐκ τοῦ φόβου εἴπομεν· Κύριε Ἰησοῦ Χριστέ, πλήρωσον τὴν ζωὴν ἡμῶν ἐν τῷ τόπῳ τούτῳ ὅτι εἶδον οἱ ὀφθαλμοὶ ἡμῶν ἐπὶ τῆς γῆς ξένα καὶ παράδοξα μυστήρια καὶ κρίσεις μεγάλας. καὶ πάλιν ἤλθομεν κλαίοντες καὶ θρηνοῦντες εἰς τόπον τινὰ καὶ ἦν ἐκεῖ δένδρον παμμεγέθες [1]) οὗ ἡ ἰδέα ὑπῆρχεν ὡς ἰδέα συκῆς καὶ ἦσαν ἐκεῖ μυριάδες μυριάδων καὶ χιλιάδες χιλιάδων οἱ

---

[1]) Cod. παμμεγέθη.

πον ἐκεῖνον κλαίοντες καὶ θρηνοῦντες λοιπὸν ἐφθάσαμεν εἰς τόπον τινά· καὶ ἦν ἐκεῖ δένδρον πάνυ παμμεγέθες οὗ ἡ ἰδέα ὡς ἰδέα συκῆς, καὶ ἦσαν ἐκεῖ μυριάδες μυριάδων οἳ ἦσαν τῇ ἰδέᾳ στρουθία καὶ ἡ λαλιὰ αὐτῶν πλήρης ἀνθρωπίνη καὶ ἀμφότερα μιᾷ φωνῇ ἔκραζον· ἄνες ἡμῖν, Κύριε, ἄνες ἡμῖν ὡς ἐλεήμων θεὸς ὅτι ἡμεῖς ἡμάρτομεν παρὰ πᾶσαν τὴν κτίσιν ἐνώπιόν σου. Ἡμεῖς δὲ οἱ ταπεινοὶ θεωροῦντες ταῦτα τὰ φοβερὰ καὶ ξένα σημεῖα φόβῳ πολλῷ περιεσχέθημεν καὶ τῷ θεῷ ἐδεήθημεν ὅπως γνωρίσῃ ἡμῖν τῶν πραγμάτων ἐκείνων τὴν ἔκβασιν. καὶ εὐθέως ἐσχίσθη ἡ γῆ ἔμπροσθεν ἡμῶν καὶ ἀνέβη φωνὴ λέγουσα· οὐκ ἔστιν ὑμῖν δοτὸν ταῦτα μαθεῖν τὰ μυστήρια, ἀλλὰ πορεύεσθε τὴν ὁδὸν ὑμῶν. Καὶ διήλθομεν τὸν τόπον ἐκεῖνον μετὰ φόβου καὶ πάλιν ἤλθομεν εἰς τὸν τόπον ὁμαλόν, φοβερὸν καὶ ἔνδοξον· καὶ ἰδοὺ τέσσαρες ἄνδρες ἡστήκεισαν ἐκεῖ, ὧν ἡ ἰδέα ἀνεκδιήγητος ὑπῆρχε, μετὰ τιμῆς μεγάλης ὄντες. καὶ ἦσαν ἔμπροσθεν τούτων τῶν ἁγίων ἀνδρῶν ξίφη εἰκονημένα καὶ ἀποστίλβοντα, ἄσφαλτον καὶ θεῖον, δράκοντές τε καὶ ἔχιδνες γυρόθεν ταῦτα πάντα, καὶ οἱ τέσσαρες ἅγιοι ἄνδρες ἐκεῖνοι ἦσαν ἔχοντες ἐν ταῖς

ἦσαν τῇ ἰδέᾳ ὡς στρουθία μικρὰ καὶ ἡ λαλιὰ πλήρης ἀνθρωπίνης λαλιᾶς καὶ ὅλα μίαν φωνὴν ἔκραζον λέγοντα· ἄνες ἡμῖν, Κύριε, ἄνες ἡμῖν ὡς ἐλεήμων θεὸς ὅτι ἡμάρτομεν παρὰ πᾶσαν τὴν κτίσιν ἐνώπιόν σου. Ἡμεῖς δὲ οἱ ταπεινοὶ θεωροῦντες ταῦτα τὰ φοβερὰ καὶ ξένα σημεῖα φόβῳ πολλῷ περιεσχέθημεν καὶ τῷ θεῷ ἐδεήθημεν ὅπως γνωρίσῃ ἡμῖν τῶν πραγμάτων ἐκείνων τὴν ἔκβασιν. καὶ εὐθέως ἐσχίσθη ἡ γῆ ἔμπροσθεν ἡμῶν καὶ ἀνέβη φωνὴ λέγουσα· οὐκ ἔστιν ὑμῖν δοτὸν μαθεῖν τὰ μυστήρια ταῦτα, ἀλλὰ πορεύεσθε τὸν ὁδὸν ὑμῶν. Καὶ διήλθομεν τὸν τόπον ἐκεῖνον μετὰ φόβου καὶ πάλιν ἤλθομεν εἰς τόπον ὁμαλὸν καὶ φοβερὸν καὶ ἔνδοξον· καὶ ἵσταντο ἐκεῖ τέσσαρες ἄνδρες μετὰ τιμῆς μεγάλης ἔχοντες ἰδέαν ἀνεκδιήγητον καὶ ἦσαν ἔμπροσθεν τούτων τῶν ἁγίων ἀνδρῶν ξίφη εἰκονημένα καὶ ἀποστίλβοντα πολλὰ καὶ διάφορα, ἄσφαλτον καὶ θεῖον, δράκοντές τε καὶ ἔχιδνες καὶ πῦρ γύροθεν ταῦτα πάντα ἔμπροσθεν αὐτῶν. καὶ οἱ τέσσαρες ἅγιοι ἄνδρες ἐκεῖνοι ἦσαν φοροῦντες ἐν ταῖς κεφαλαῖς αὐτῶν στεφάνους βασιλικοὺς διαχρύσους καὶ ἐν ταῖς χερσὶν αὐτῶν ἐκράτουν βραβεῖα χρυσᾶ. Καὶ ταῦτα ἰδόν-

κεφαλαῖς αὐτῶν στεφάνους διὰ χρυσοῦ καὶ μαργαρίτου καὶ ἐκράτουν ἐν ταῖς χερσὶν αὐτῶν βραβεῖα χρυσᾶ. Καὶ ταῦτα ἰδόντες [1]) ἡμεῖς ἐῤῥίψαμεν ἑαυτοὺς εἰς τὸ ἔδαφος κράζοντες καὶ λέγοντες· ἐλεήσατε ἡμᾶς, ἄνδρες οὐράνιοι, ὅπως μὴ ἀψάτωσαν ἡμᾶς ταῦτα τὰ ξίφη καὶ τὸ πῦρ τῶν ἄλλων θηρίων. καὶ ἀπεκρίθησαν λέγοντες ἡμῖν· ἀναστάντες πορεύθητε ὁδὸν ὑμῶν ἐν εἰρήνῃ ἣν ὁ Κύριος ἐφανέρωσεν ὑμῖν βαδίζειν ἐν αὐτῇ μηδὲν φοβούμενοι, οὐκ ἔχουσι γὰρ ἐξουσίαν εἰς ὑμᾶς διότι ἡμεῖς αὐτοὺς φυλάττομεν ἕως τῆς ἡμέρας ἐκείνης ὅταν ἔρχηται ὁ θεὸς ἐν τούτῳ τῷ κόσμῳ. Ταῦτα ἀκούσαντες ἡμεῖς παρ᾽ αὐτῶν ἀπὸ μακρόθεν προσκυνήσαντες αὐτοὺς ἐδοξάσαμεν τὸν Κύριον καὶ διήλθομεν ἐκεῖθεν ὡς ψυχὴν μὴ ἔχοντες. Καὶ πάλιν περιπατούντων ἡμῶν ἐπὶ ἡμέρας τεσσαράκοντα μὴ γευσαμένων τινὸς εἰ μὴ μόνον ὕδατος ἐξαίφνης φωνὴ ἦλθεν ἡμῖν ψαλλόντων πολλῶν ὄχλων καὶ ὀσμὴ θυμιαμάτων ἀνεικάστων καὶ ὠσφράνθημεν εὐωδίας μύρου πολυτίμου καὶ ἐκ τῆς φωνῆς τῶν ψαλλόντων καὶ εὐωδίας τῶν θυμιαμάτων εἰς ὕπνον ἐτράπημεν ὥστε καὶ

[1]) Cod. ἴδοντες.

τες [1]) ἡμεῖς ἐφοβήθημεν καὶ ἐῤῥίψαμεν ἑαυτοὺς ἐπὶ τὴν γῆν εἰς τὸ ἔδαφος κράζοντες καὶ λέγοντες· ἐλεήσατε ἡμᾶς, ἄνδρες οὐράνιοι, καὶ μὴ ἅψωνται ἡμᾶς ταῦτα τὰ ξίφη καὶ θηρία καὶ τὸ πῦρ. Καὶ ἀπεκρίθησαν οἱ ἅγιοι λέγοντες ἡμῖν· μὴ φοβεῖσθε, ἀλλὰ ἀναστάντες πορεύσθε τὴν ὁδὸν ὑμῶν ἣν ὁ Κύριος ἐφανέρωσεν ὑμῖν βαδίζειν μηδὲν φοβούμενοι, οὐκ ἔχουσι γὰρ ἐξουσίαν ἀδικῆσαι ὑμᾶς διότι ἡμεῖς ἐκελεύθημεν αὐτὰ φυλάττειν ἕως τῆς ἡμέρας ἐκείνης ὅταν ἔρχηται ὁ θεὸς ἐν τῷ κόσμῳ τούτῳ. Ταῦτα ἀκούσαντες ἡμεῖς παρ᾽ αὐτῶν ἀπὸ μακρόθεν προσκυνήσαντες αὐτοὺς ἐδοξάσαμεν τὸν Κύριον καὶ διήλθομεν ἐκεῖθεν ὡς ψυχὴν μὴ ἔχοντες ἐκ τοῦ φόβου ὁδηγοῦντος ἡμᾶς τοῦ Κυρίου. Καὶ πάλιν περιπατούντων ἡμῶν ἐπὶ ἡμέρας μ᾽ μὴ γευσάμενοί τινος εἰ μὴ μόνου ὕδατος ἐξαίφνης ἦλθεν ἡμῖν φωνὴ ὥσπερ ὄχλων ψαλλόντων καὶ ὀσμὴ θυμιαμάτων ἀνεικάστων καὶ ὠσφράνθημεν εὐωδίαν μύρου πολυτίμου καὶ ἐκ τῆς φωνῆς τῶν ψαλλόντων καὶ τῆς εὐωδίας τῶν θυμιαμάτων εἰς ὕπνον ἐτράπημεν ἐν οἷς καὶ τὰ χείλη ἡμῶν ἐγλυκάνθησαν ὑπὲρ μέλι καὶ κηρίον.

[1]) Cod. ἴδοντες.

ἐκοιμήθημεν ἐν οἷς ἐξαίφνης τὰ χείλη ἡμῶν ἐγλυκάνθησαν ὑπὲρ μέλι καὶ κηρίον. καὶ διυπνισθέντες προσέσχομεν καὶ ἰδοὺ ναὸς μέγας ὡς κρυστάλλινος καὶ ἐν μέσῳ αὐτοῦ ὡς τύπος θυσιαστηρίου καὶ πηγὴ ἀνήρχετο ἐκ τοῦ θυσιαστηρίου ἐκείνου ὡς ἰδέα γάλακτος ὡς νομίζειν ἡμᾶς ὅτι ἤδη ἀληθινὸν γάλα ἦν, καὶ ἄνδρες φοβεροὶ καὶ θαυμαστοὶ ἠστήκεισαν κύκλῳ τοῦ ὕδατος ψάλλοντες μελῳδίας ἀγγελικὰς καὶ φωνὰς χερουβικάς. Καὶ ἰδόντες αὐτοὺς καὶ ἔντρομοι γενόμενοι ἐμείναμεν στήκοντες ὡσεὶ νεκροί. εἷς δὲ ἐξ αὐτῶν ἀνὴρ ἅγιος ὡραῖος τῇ ὄψει ἐκ τῶν ἑστώτων εἰς τὸ ὕδωρ ἐκεῖνο τῆς πηγῆς προσχὼν εἶπεν ἡμῖν· αὕτη ἐστὶν ἡ ἀθάνατος πηγὴ ἥπερ μένει τοῖς δικαίοις εἰς ἀπόλαυσιν αὐτῶν. ἡμεῖς δὲ ἀκούσαντες ταῦτα ἐδοξάσαμεν τὸν θεὸν καὶ τὸν ἅγιον ἄνδρα ἐκεῖνον μετὰ καὶ τῶν συνόντων αὐτῷ καὶ λοιπὸν μετὰ πολλοῦ φόβου καὶ χαρᾶς διήλθομεν τὸν τόπον ἐκεῖνον μηδενὸς γευσάμενοι ὡς ὁ Κύριος ἐπίσταται, τὰ γὰρ χείλη ἡμῶν ἐκ τῆς γλυκύτητος τῆς ἀτμίδος τοῦ μύρου ἐκείνου καὶ τοῦ ὕδατος ἐπὶ ἡμέρας τρεῖς ἐκολλῶντο ὡς ἀπὸ μέλιτος ἀττικοῦ. Καὶ πάλιν ἠνέχθημεν ἐν τόπῳ τινὶ ἐν ᾧ ἦν ποταμὸς παμμεγέθης καὶ πιόν-

καὶ διυπνισθέντες προσεβλέψαμεν καὶ ἰδοὺ ναὸς μέγας κρυστάλλινος καὶ ἔσω τοῦ ναοῦ ὡς θυσιαστηρίου τόπος καὶ ἐκ τοῦ θυσιαστηρίου ἀνήρχετο ἐκείνου πηγὴ ὕδατος καὶ ἦν τὸ ὕδωρ λευκὸν ὡς ἰδέα γάλακτος ὥστε νομίζειν ἡμᾶς ὅτι γάλα ἐστίν. καὶ κύκλῳ τῆς πηγῆς ἠστήκεισαν ἅγιοι ἄνδρες θαυμαστοὶ καὶ φοβεροὶ ψάλλοντες φωνὰς χερουβικὰς καὶ μελῳδίας ἀγγελικάς. Καὶ ἰδόντες αὐτοὺς ἔντρομοι γεγόναμεν καὶ ἐμείναμεν ἐν τῷ τόπῳ στήκοντες ὡσεὶ νεκροί. καὶ ἰδοὺ εἷς ἐξ αὐτῶν ὡραῖος τῇ ὄψει σφόδρα ἐκ τῶν ἑστώτων εἰς τὸ ὕδωρ ἐκεῖνο τῆς πηγῆς εἶπεν πρὸς ἡμᾶς· αὕτη ἐστὶν ἡ ἀθάνατος πηγὴ ἡ τετηρημένη τοῖς δικαίοις εἰς ἀπόλαυσιν καὶ ἀνάπαυσιν. ἡμεῖς δὲ ἀκούσαντες ταῦτα πεσόντες ἐπὶ τῆς γῆς ἐδοξάσαμεν τὸν θεὸν καὶ τὸν ἅγιον ἄνδρα ἐκεῖνον μετὰ τοὺς συνόντας αὐτῷ καὶ λοιπὸν μετὰ [1]) πολλοῦ φόβου καὶ χαρᾶς διήλθομεν τὸν τόπον ἐκεῖνον μηδενὸς γευσάμενοι, ἀλλὰ τὰ χείλη ἡμῶν ἐκ τῆς γλυκασίας τῆς ἀτμίδος τοῦ μύρου καὶ τοῦ ὕδατος ἐκείνου κεκόλληντο ὡς ἀπὸ μέλιτος ἀττικοῦ. Καὶ πάλιν ἤλθαμεν ἔγγιστα ποταμοῦ μεγά-

[1]) Cod. αὐτά.

τες ἐξ αὐτοῦ ἐχορέσθημεν καὶ ἐδοξάσαμεν τὸν Κύριον ἡμῶν καὶ ἐν ὥρᾳ ἕκτῃ μεσημβρίας καύματος μεγάλου καὶ ἐκαθέσθημὲν παρὰ τὸ χεῖλος αὐτοῦ ἐννοούμενοι τί ποιήσωμεν. καὶ λοιπὸν ἀπὸ τοῦ ποταμοῦ ἐκείνου φῶς ἦν διπλάσιον τούτου καὶ προσέσχομεν εἰς τὰς τέσσαρας γωνίας τοῦ κόσμου καὶ τοῦ οὐρανοῦ καὶ οὐκ ἦσαν πνέοντες ἄνεμοι τῶν ἐκεῖ καθὼς πνέουσιν τῶν ἐνταῦθα. καὶ γὰρ οἱ ἄνεμοι ἄλλην πνοὴν εἶχον· ἡ γὰρ γωνία τῆς δύσεως χροιὰν πράσινον εἶχεν, ἡ δὲ γωνία τῆς ἀνατολῆς ὁμοία βαλάνου, ἡ δὲ τῆς ἄρκτου χρύσινος αἵματος καθαροῦ, ἡ δὲ τῆς μεσημβρίας λευκὴ χροιὰ ὡσεὶ χιών. καὶ οἱ ἀστέρες τοῦ οὐρανοῦ λαμπρότεραν εἶχον λαμπηδόνα καὶ ὁ ἥλιος δὲ ἐκεῖνος θερμότερος ἦν τούτου ἑπτάπλάσιον καὶ τὰ δένδρα ἐκεῖνα παμμεγεθέστερα καὶ εὐθαλῆ καὶ δασύκομα εἴτε εὔκαρπα εἴτε ἄκαρπα, καὶ τὰ ὄρη ἐκεῖνα ὑψηλότερα καὶ εὐειδέστερά εἰσιν, καὶ ἡ γῆ πᾶσα ἐκείνη δυπρόςωπός ἐστι· πυροειδὴς καὶ γαλακτίζουσα, καὶ τὰ ὄρνεα ἐκεῖνα ἕκαστον κατὰ γένος ἄλλην ἰδέαν εἶχον. λοιπὸν εἴχομεν ἡμέρας ἑκατὸν ὡς ὁ Κύριος οἶδεν μὴ γευσάμενοι βρώσεώς τινος εἰ μὴ μόνον τὸ ὕδωρ ἐκεῖνο. καὶ ἐξαίφνης ἦλθεν πρὸς ἡμᾶς ἀμέτρι-

λου καὶ καθίσαντες παρὰ τὸ χεῖλος αὐτοῦ διενοούμεθα πρὸς ἀλλήλους τί ποιήσωμεν· ἦν δὲ λοιπὸν ἀπὸ τοῦ ποταμοῦ ἐκείνου φῶς διπλάσιον τούτου τοῦ φωτὸς καὶ ἀναβλέψαντες εἰς τὰς τέσσαρας γωνίας τοῦ οὐρανοῦ καὶ τῆς γῆς οὐκ ἔπνεον οἱ ἄνεμοι, οὐ γὰρ πνέουσιν οἱ ἄνεμοι τῶν ἐκεῖ καθὼς πνέουσιν τῶν ἐνταῦθα. καὶ γὰρ καὶ οἱ ἄνεμοι τῶν ἐκεῖ ἄλλην πνοὴν εἶχον· ἡ γὰρ γωνία τῆς δύσεως χροιὰν πράσινον ἔχει, ἡ δὲ γωνία τῆς ἀνατολῆς ὅμοια βαλάνου, ἡ δὲ τῆς ἄρκτου χροιὰν αἵματος καθαροῦ καὶ ἡ τῆς μεσημβρίας λευκὴν ὡσεὶ χιόνος. καὶ οἱ ἀστέρες καὶ ὁ ἥλιος ἐκεῖνος θερμότερός ἐστιν ἑπταπλάσιον τούτου καὶ τὰ δένδρα ἐκεῖνα ὑψηλότερα καὶ εὐειδέστερα καὶ ἡ γῆ πᾶσα ἐκείνη δυπρόσωπός ἐστιν· πυροειδὴς καὶ γαλακτίζουσα, ὁμοίως καὶ τὰ ὄρνεα ἐκεῖνα ἕκαστον κατὰ γένος ἄλλην ἰδέαν ἔχουσιν καὶ ἄλλως κελαδοῦσιν. εἴχομεν δὲ ἡμέρας πολλὰς μηδενὸς γευσάμενοι εἰ μὴ μόνον τὸ ὕδωρ ἐκεῖνο. καὶ ἐξαίφνης ἦλθεν πρὸς ἡμᾶς ὄχλος πολὺς ἀνδρῶν τε καὶ γυναικῶν καὶ παιδίων οὐκ οἴδαμεν πόθεν· εἶχον δὲ τὸ μῆκος αὐτῶν ὡσεὶ πῆχυν ἕνα, οἱ δὲ ἄλλοι ἐξ αὐτῶν μικρότεροι. καὶ ἰδόντες αὐτοὺς ἡμεῖς ἐφο-

τον πλῆθος ὄχλου ἀνδρῶν τε καὶ γυναικῶν καὶ παίδων οὐκ οἶδα πόθεν· οἱ τελειότεροι αὐτῶν εἶχον τὸ μῆκος, οἱ δὲ ἄλλοι ἐξ αὐτῶν οὐδὲ πλήρεις ἀλλὰ κονδαρεῖς. καὶ ἰδόντες αὐτοὺς ἡμεῖς ἔντρομοι ἐγενόμεθα φοβούμενοι σφόδρα μή πως καταφάγωνται ἡμᾶς καὶ ἐσκεπτόμεθα τί ποιήσωμεν. Λέγει οὖν ὁ ἀδελφὸς Σέργιος· δεῦτε, ἀδελφοί, ἀναστάντες διαῤῥήξωμεν ἡμῶν τὰς τρίχας τῆς κεφαλῆς ὡς κατάκομοι ὄντες καὶ ἐπιδράμωμεν ἀπ' αὐτῶν καὶ ἢ φεύγουσιν ἡμᾶς ἢ καταφάγονται ἡμᾶς. καὶ ἀναστάντες ἐποιήσαμεν οὕτως· καὶ ἰδόντες ἡμᾶς ἔφυγον τρίζοντες τοὺς ὀδόντας καὶ ἁρπάζοντες αὐτῶν τὰ τέκνα, καὶ διαπεράσαντες τὸν ποταμὸν ἐκεῖνον ἀπήλθομεν ὅπου ἦσαν ἐκεῖνοι καὶ εὕρομεν ἐκεῖ εἶδος βοτάνης λευκὸν ὥσπερ γάλα οὗ ἡ βρῶσις ἦν ὥσπερ μέλι καὶ κηρίον. ἕστηκεν δὲ ἐπάνω τῆς γῆς ὡς ἐπὶ πήχην μίαν καὶ ἐφάγομεν ἐξ αὐτῆς τῆς βοτάνης καὶ ἐκορέσθημεν καὶ ἤλλαξεν ἡμῶν ἡ ὄψις καὶ ἡ ἰσχὺς ἐνδυναμώθη καὶ ἐδοξάσαμεν τὸν θεὸν τοῦ οὐρανοῦ τὸν καθ' ἑκάστην ἡμέραν τρέφοντα καὶ ὁδηγοῦντα ἡμᾶς. Καὶ πάλιν ὡδεύσαμεν τῇ φερομένῃ ὁδῷ ἐπὶ ἡμέρας δεκαοκτὼ μὴ ἐπιστάμενοι τὴν ὁδόν, κατ' οἰκονομίαν

βήθημεν σφόδρα μή πως καταφάγωσιν ἡμᾶς καὶ ἐσκεπτόμεθα τί ποιήσωμεν. Ἐγὼ δὲ ὁ ἐλάχιστος Θεόφιλος εἶπον τοῖς μετ' ἐμέ· ἀδελφοί, ἀναστάντες διαλύσωμεν ἡμῶν τὰς τρίχας τῆς κεφαλῆς ὡς κατάκομοι ὄντες καὶ ἐπιδράμωμεν ἐπ' αὐτοὺς καὶ ἢ φεύγουσιν ἡμᾶς ἢ καταφάγονται ἡμᾶς. καὶ ἀναστάντες ἐποιήσαμεν οὕτως· οἱ δὲ ἰδόντες ἡμᾶς ἐφοβήθησαν καὶ ἔφυγον τρίζοντες τοὺς ὀδόντας αὐτῶν καὶ ἁρπάζοντες τὰ τέκνα αὐτῶν. ἡμεῖς δὲ περάσαντες τὸν ποταμὸν ἐκεῖνον ἀπήλθομεν ἐκεῖθεν καὶ εὕρομεν ἐκεῖ εἶδος βοτάνης λευκὸν ὡς γάλα οὗ ἡ βρῶσις ἦν ὥσπερ μέλι καὶ κηρίον. ἕστηκεν δὲ ἐπάνω τῆς γῆς ὡς ἐπὶ πῆχυν ἕνα καὶ φαγόντες ἐξ αὐτῆς τῆς βοτάνης ἐκορέσθημεν καὶ ἠλλάγη ἡμῶν ἡ ὄψις καὶ ἡ ἰσχὺς ἐνεδυναμώθη καὶ ἐδοξάσαμεν τὸν θεὸν τὸν καθ' ἑκάστην ἡμέραν τρέφοντα καὶ ὁδηγοῦντα ἡμᾶς. Καὶ πάλιν ὡδεύσαμεν τῇ φερομένῃ ὁδῷ ἐπὶ ἡμέρας ιη' μὴ ἐπιστάμενοι τὴν ὁδόν, κατ' οἰκονομίαν δὲ τοῦ θεοῦ εὕρομεν τὴν ὁδὸν εὐθεῖαν καὶ τρίβον ἀσφαλῆ ἣν ἐβάδισεν ὁ ἅγιος Μακάριος καὶ ἐδοξάσαμεν τὸν θεὸν μετὰ χαρᾶς μεγάλης. καὶ ἀκολουθήσαντες τὴν ὁδὸν ταύτην ἐπὶ ἡμέρας πολλὰς εὕρομεν τὸ σπήλαιον

δὲ θεοῦ ὁρῶμεν ἀτραπὸν ὁδὸν καὶ σπήλαιον ὡσεὶ ἀνθρώπινον καὶ ἀκολουθοῦντες τῇ ὁδῷ τῇ ἀτραπῷ ἐκείνῃ ἐπὶ ἡμέρας πολλὰς εὕρομεν τὸ σπήλαιον τοῦ ἁγίου Μακαρίου· καὶ ἦν τὸ σπήλαιον ἐκεῖνο κεκοσμημένον ὡς ἄλλος ναὸς ἅγιος. τότε εὐξάμενοι ἐσφραγίσαμεν ἑαυτοὺς καὶ (ἐ)λάβομεν προθυμίαν καὶ εἰσελθόντες οὐδένα εὕρομεν καὶ ἦμεν ἐν ἑαυτοῖς ἐννοούμενοι ἐν οἷς καὶ ἐλέγομεν· αὕτη ἡ φιλοκαλία ἀνθρωπίνης φύσεως ὑπάρχει, ἀλλ' ἐκδεξώμεθα ἕως ἑσπέρας καὶ ἴδωμεν τί συμβαίνει. Ὡς οὖν ἐκαθέσθημεν μικρὸν ἰδοὺ εὐωδία μύρου μεγάλου γέγονεν εἰς τὸ σπήλαιον καὶ ἤρχετο εἰς τὰς ῥίνας ἡμῶν ὥστε καὶ νυστάξαι ἡμᾶς καὶ ὑπνῶσαι πεποίηκεν καὶ ἐξυπνήσαντες ἐξήλθομεν τοῦ σπηλαίου ἐκείνου καὶ θεωρήσαντες ἐπὶ ἀνατολὰς εἴδομεν ὁμοίωμα στολισμοῦ ἀνδρὸς φοβεροῦ οὐδὲν ἕτερον ἐνδεδυμένου εἰ μὴ τρίχας λευκάς· ἤρχετο γὰρ ὁ ὄντως Μακάριος. αὐξησάσης γὰρ ἐκ χρόνων τῆς κόμης τῆς κεφαλῆς αὐτοῦ ἐσκέπασεν αὐτοῦ ὅλον τὸ σῶμα. ἐρχομένου δὲ αὐτοῦ εἰς τὸ σπήλαιον ὠσφράνθη τῆς ὀσμῆς ἡμῶν ἀπὸ μακρόθεν καὶ ῥίπτει ἑαυτὸν εἰς τὴν γῆν καὶ ἤρξατο κράζειν κατακρίνων ἡμᾶς μεθ' ὅρκου καὶ λέγειν· εἰ ἀπὸ

τοῦ ἁγίου Μακαρίου κεκοσμημένον ὡς ναὸν ἅγιον. τότε εὐξάμενοι ἐσφραγίσαμεν [1]) ἑαυτοὺς καὶ λαβόντες προθυμίαν εἰσήλθομεν εἰς τὸ σπήλαιον καὶ μὴ εὑρόντες τινὰ εἴπομεν ἐν ἑαυτοῖς· αὕτη ἡ φιλοκαλία ἀνθρωπίνης φύσεως ὑπάρχει, ἀλλ' ἐκδεξώμεθα ἕως ἑσπέρας καὶ ἴδωμεν τὸν κατοικοῦντα ἐν αὐτῷ. Ὡς οὖν ἐκαθέσθημεν μικρὸν ἰδοὺ εὐωδία μεγάλη γέγονεν εἰς τὸ σπήλαιον καὶ ἤρχετο εἰς τὰς ῥίνας ἡμῶν ὥστε καὶ νυστάξαι ἡμᾶς καὶ ὑπνῶσαι πεποίηκεν καὶ ἐξυπνήσαντες ἐξήλθομεν τοῦ σπηλαίου ἐκείνου καὶ βλέψαντες ἐπὶ ἀνατολὰς εἴδομεν ὡς ὁμοίωμα στολισμοῦ ἀνδρὸς φοβεροῦ ἐνδεδυμένου ἀπὸ λευκῶν τριχῶν· ἦν δὲ οὗτος ὁ ὅσιος καὶ μέγας Μακάριος. καὶ γὰρ αὐξυνθεῖσαι ἐκ τοῦ χρόνου αἱ τρίχες τῆς κεφαλῆς αὐτοῦ. ἐρχομένου δὲ αὐτοῦ ἐπὶ τὸ σπήλαιον ὠσφράνθη τὴν ὀσμὴν τοῦ σώματος ἡμῶν καὶ ἔῤῥιψεν ἑαυτὸν ἐπὶ τὴν γῆν κατακρίνων ἡμᾶς μεθ' ὅρκου καὶ λέγων· εἰ ἀπὸ θεοῦ ἐστε ἐμφανίσατέ μοι καὶ ἐγγίσατε, εἰ δὲ ἀπὸ τοῦ διαβόλου ἀναχωρήσατε ἀπ' ἐμοῦ τοῦ ταπεινοῦ καὶ ἁμαρτωλοῦ. ἡμεῖς δὲ ἐβοήσαμεν· ἐλέησον ἡμᾶς καὶ εὐλόγησον,

---

[1]) Cod. εὐφραγίσαμεν.

θεοῦ ἐστε, ἐμφανίσατέ μοι, εἰ δὲ ἀπὸ τοῦ διαβόλου ἀναχωρεῖτε ἀπ' ἐμοῦ τοῦ ταπεινοῦ καὶ ἁμαρτωλοῦ. καὶ ἡμεῖς ἐβοήσαμεν λέγοντες· ἐλέησον ἡμᾶς, ὅσιε πάτερ, θεοῦ γάρ ἐσμεν δοῦλοι ἡμεῖς καὶ τῷ διαβόλῳ ἀπεταξάμεθα. τότε ἔρχεται πρὸς ἡμᾶς καὶ ἐκτείνας τὰς χεῖρας εἰς τὸν οὐρανὸν καὶ εὐξάμενος πρὸς Κύριον τὸν θεὸν εὐλόγησεν ἡμᾶς καὶ διαχωρίσας τὰς τρίχας ἀπὸ τῆς ὄψεως αὐτοῦ καὶ τοῦ πώγωνος ὡμίλει ἡμῖν. καὶ ἦσαν αὐτοῦ αἱ τρίχες λευκαὶ ὡσεὶ χιὼν ὥστε ἡμᾶς ἀμαυρότητος μεταλαβεῖν ὡς ἐκ τῆς λευκότητος αὐτῶν. καὶ εἴδομεν τὸ πρόςωπον αὐτοῦ καὶ ἐκ τοῦ πολλοῦ γήρους οὐκ ἐφαίνοντο οἱ ὀφθαλμοὶ αὐτοῦ, οἱ γὰρ ὀφρύες αὐτοῦ χαλασθέντες ἐσκέπασαν τοὺς ὀφθαλμοὺς αὐτοῦ, οἱ δὲ ὄνυχες τῶν χειρῶν καὶ τῶν ποδῶν αὐτοῦ ἀπὸ πήχεως καὶ πλέον, αἱ δὲ τρίχες τοῦ μύστακος [1]) αὐτοῦ ἐσκέπασαν αὐτοῦ τὸ στόμα καὶ ἐμίγνυντο σὺν τῷ πώγωνι αὐτοῦ, ὅθεν ὡς ὡμίλει ἡμῖν ἐνομίζομεν ὅτι ἐκ βάθους τις ἐφθέγγετο. καὶ εἴδομεν τὸ σῶμα αὐτοῦ ἄγριον καὶ οὕτως ἦν πλῆρες ὡς δέρμα χελώνης. καὶ ἠρώτησεν ἡμᾶς τὸ πόθεν ἐσμὲν καὶ διὰ τί ἐληλύπάτερ, καὶ ἡμεῖς γὰρ ταπεινοὶ δοῦλοί ἐσμεν τοῦ μεγάλου θεοῦ Ἰησοῦ Χριστοῦ καὶ τῷ διαβόλῳ ἀπεταξάμεθα. Τότε ἀκούσας ἔρχεται πρὸς ἡμᾶς καὶ ὡς ἤγγισεν ἡμῖν εὐθέως ἐκτείνας τὰς χεῖρας εἰς τὸν οὐρανὸν καὶ εὐξάμενος πρὸς Κύριον εὐλόγησεν ἡμᾶς καὶ ἤγγισεν καὶ ὡμίλησεν. ἦσαν δὲ αἱ τρίχες τῆς κεφαλῆς αὐτοῦ καὶ τοῦ πώγωνος λευκαὶ ὡσεὶ χιών, ἐκ δὲ τοῦ πολλοῦ γήρους οὐκ ἐφαίνοντο οἱ ὀφθαλμοὶ αὐτοῦ· οἱ γὰρ ὀφρύες αὐτοῦ χαλασθέντες ἐσκέπασαν τοὺς ὀφθαλμοὺς αὐτοῦ, οἱ δὲ ὄνυχες τῶν χειρῶν αὐτοῦ καὶ τῶν ποδῶν ἐγένοντο μεγάλοι ὡσεὶ παρδάλεως καὶ αἱ τρίχες τοῦ μύστακος αὐτοῦ ἐσκέπασαν αὐτοῦ τὸ στόμα καὶ ἐμίγνυντο τῷ πώγωνι αὐτοῦ, ὅθεν ὡς ὡμίλει ἡμῖν ἐνομίζομεν ὅτι ἀπὸ βάθους φθέγγεται ἡμῖν. καὶ εἴδομεν τὸ σῶμα αὐτοῦ τὸ ἅγιον καὶ οὕτως ἦν ἄγριον ὥσπερ δέρμα χελώνης. ἤρξατο οὖν ἐπερωτᾶν ἡμᾶς· πόθεν ἐστέ, ὦ τέκνα, καὶ διὰ τί ἐληλύθατε ἐνταῦθα; καὶ ἀπηγγείλαμεν αὐτῷ πάντα τὰ συμβεβηκότα ἐν τῇ ὁδῷ καὶ ὅτι ἐκ τοῦ κόσμου ἐσμέν, ἐβουλευσάμεθα δὲ ἀπελθεῖν ὅπου οὐρανὸς ἀναπαύεται. Καὶ ἀποκριθεὶς ὁ ἅγιος Μακάριος εἶπεν ἡμῖν· ἀκούσατέ μου, τέκνα· ἀπὸ τοῦ τόπου τούτου οὐκ ἔστι δυνατὸν

[1]) Cod. μόστακος.

θαμεν ἐκεῖσε. καὶ εἴπομεν αὐτῷ πάντα τὰ συμβάντα ἡμῖν καὶ ὅτι ἐβουλόμεθα φθάσαι ὅπου ὁ οὐρανὸς ἀναπέπαυται. καὶ ἀπεκρίθη ἡμῖν ὁ ἅγιος Μακάριος λέγων· τεκνία μου, οὐκ ἔστιν ἐν γεννητοῖς γυναικῶν τινα ἐνδοτέρω ἐλθεῖν καὶ καταμαθεῖν ἢ κατανοῆσαι τὰ θαυμάσια καὶ τὴν δύναμιν τοῦ Κυρίου, κἀγὼ ὁ ἁμαρτωλὸς πολλὰ ἠγωνισάμην καὶ ἐφιλονείκησα τοῦτο ποιῆσαι καὶ διὰ νυκτὸς ἐφανερώθη μοι λέγων τις· μὴ θελήσῃς πειράζειν τόν σε κτίσαντα, οὐ δυνήσῃ γὰρ ἔτι διελθεῖν τὸν τόπον τοῦτον. κἀγὼ εἶπον· ἵνα τί, Κύριε μου; καὶ λέγει μοι· ὡς ἀπὸ μιλίων εἴκοσι τῶν ὧδε ἔστιν τὸ τεῖχος σιδηροῦν καὶ ἕτερον χαλκοῦν καὶ ἔσωθεν τούτων ἔστιν ὁ παράδεισος ὅπου ἦν ποτε Ἀδὰμ καὶ ἡ Εὔα, καὶ ἄνωθεν τοῦ παραδείσου κατὰ ἀνατολὰς ὁ οὐρανὸς ἀναπέπαυται. ἔξωθεν δὲ τοῦ παραδείσου ἔταξεν ὁ θεὸς τὰ χερουβὶμ καὶ τὴν φλογίνην ῥομφαίαν τὴν στρεφομένην φυλάττειν τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς. εἰσὶ δὲ τῇ ἰδέᾳ τὰ χερουβὶμ ἀπὸ μὲν τῶν ποδῶν ἕως τοῦ ὀμφαλοῦ ἄνθρωποι καὶ τὸ στῆθος λέοντος καὶ ἡ κεφαλὴ σχῆμα ἄλλο καὶ αἱ χεῖρες κρυστάλλιναι ξίφη πύρινα κατέχοντες ἐν ταῖς αὐτῶν χερσὶν καὶ

ἄνθρωπον ἐν σώματι ὄντα περαιτέρω εἰσελθεῖν καὶ κατανοῆσαι τὰ θαυμάσια τοῦ θεοῦ κἀγὼ ὁ ἁμαρτωλὸς πολλὰ ἠγωνισάμην τοῦ ἀπελθεῖν ἔνθα ὁ οὐρανὸς ἀναπαύεται, καὶ διὰ νυκτὸς ἐφάνη μοι ἄγγελος Κυρίου λέγων· μὴ θελήσῃς, Μακάριε, πειράζειν [1] τόν σε ποιήσαντα, οὐ δυνήσῃ γὰρ ἔτι διελθεῖν τὸν τόπον τοῦτον. κἀγὼ εἶπον· διὰ τί, Κύριε; καὶ λέγει μοι ὁ ἄγγελος· ἐπειδὴ ὡς ἀπὸ μιλίων κʹ τῶν ὧδε ἔστιν ὁ παράδεισος ὅπου ἦν ποτε ὁ Ἀδὰμ καὶ ἡ Εὔα καὶ ἄνωθεν τοῦ παραδείσου κατὰ ἀνατολὰς ὁ οὐρανὸς ἀναπαύεται, ἔξωθεν δὲ τοῦ παραδείσου ἔταξεν ὁ θεὸς τὰ χερουβὶμ καὶ τὴν φλογίνην ῥομφαίαν τὴν στρεφομένην φυλάττειν τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς. εἰσὶ δὲ τὰ χερουβὶμ τῇ ἰδέᾳ ἀπὸ μὲν τοῦ ποδὸς ἕως τοῦ ὀ(μ)φαλοῦ ἄνθρωποι, τὸ δὲ στῆθος λέοντες καὶ ἡ κεφαλὴ σχῆμα ἄλλο καὶ αἱ χεῖρες κρυστάλλιναι ξίφη πύρινα κατέχοντα ἐν ταῖς χερσὶν τοῦ μὴ τολμῆσαί τινα εἰσελθεῖν εἰς τὸν παράδεισον· πᾶσαι γὰρ αἱ δυνάμεις αἱ φοβεραὶ καὶ οἱ ἄγγελοι καὶ αἱ ζῶναι τοῦ οὐρανοῦ ἐκεῖ ἵστανται ὅπου οὐρανὸς ἀναπαύεται. Ταῦτα ἀκούσαντες ἡμεῖς παρὰ τοῦ ἁγίου ὃς

[1]) Cod. περαιτέρω.

φυλάττοντες τὰ χείλη τοῦ μηδένα τολμῆσαι ἐσώτερον παρακύψαι διὰ τὰς δυνάμεις τὰς ἐκεῖ μενούσας, ὅλαι γὰρ αἱ δυνάμεις αἱ φοβεραὶ καὶ οἱ ἄγγελοι οἱ ἰσχυροὶ οἱ ἔξωθεν τοῦ οὐρανοῦ ἐκεῖ κατοικοῦσιν καὶ αἱ ζῶναι τοῦ οὐρανοῦ ἵστανται ἐκεῖ ὅπου ὁ οὐρανὸς ἀναπέπαυται. Ταῦτα ἀκούσαντες ἡμεῖς παρὰ τοῦ ἀνθρώπου ἐκείνου τοῦ θεοῦ ὃς διηγήσατο ἡμῖν εἰπόντος αὐτοῦ τοῦ ἀγγέλου ἐφοβήθημεν φόβῳ μεγάλῳ καὶ πεσόντες χαμαὶ ἐδοξάσαμεν τὸν Κύριον καὶ τὸν ἅγιον Μακάριον ἐμεγαλύναμεν ὅτι ἀπήγγειλεν ἡμῖν πάντα τὰ θαυμάσια τοῦ θεοῦ. καὶ ἦν λοιπὸν ἑσπέρα καὶ λέγει ἡμῖν· ἐγκλίνατε μικρὸν τῶν ὧδε, ἔχω γὰρ δύο παιδία ἐνταῦθα ἀπὸ ἑσπέρας εἰς ἑσπέραν ἐρχόμενα καὶ φοβοῦμαι μὴ ἴδωσιν ὑμᾶς αἰφνίδιον καὶ ξενιζόμενα ἀδικήσωσιν ὑμᾶς. ἡμεῖς οὖν ἐνομίζομεν [1]) ὅτι περὶ ἀνθρώπων λέγει καὶ ἰδιάσαμεν ἀπ' αὐτοῦ, καὶ ἰδοὺ δύο λέοντες ἦλθον δρομαῖοι ἀπὸ τῆς ἐρήμου καὶ πεσόντες εἰς τοὺς πόδας αὐτοῦ ὠρυόμενοι προσεκύνουν αὐτόν, ἡμεῖς δὲ ἐκ τοῦ φόβου ἐπέσομεν χαμαὶ μὴ δυνάμενοί τι λαλῆσαι. καὶ ἐπιθεὶς ἐπ' αὐτῶν τὰς χεῖρας αὐτοῦ λέγει αὐ-

[1]) Cod. ἐνομίζαμεν.

διηγήσατο ἡμᾶς εἰπόντος αὐτῷ τοῦ ἀγγέλου ἐφοβήθημεν φόβον μέγαν καὶ πεσόντες χαμαὶ ἐδοξάσαμεν τὸν Κύριον καὶ τὸν ἅγιον Μακάριον ὅτι ἀνήγγειλεν ἡμῖν τὰ θαυμάσια τοῦ θεοῦ. καὶ γενομένης ἑσπέρας εἶπε πρὸς ἡμᾶς ὁ ἅγιος Μακάριος· ἀπέλθατε, ἀδελφοί, κατ' ἰδίαν μικρόν, ἔχω γὰρ παιδία δύο ἐνταῦθα κατοικοῦντα μετ' ἐμοῦ καὶ πᾶσαν τὴν ἡμέραν διάγουσιν εἰς τὰ ὄρη, μόνον δὲ ἀπὸ ἑσπέρας ἔρχονται πρός με, καὶ φοβοῦμαι μὴ ξενιζόμενοι ἀδικήσωσιν ὑμᾶς. ἡμεῖς δὲ ἐνομίζομεν ὅτι περὶ ἀνθρώπων λέγει καὶ ἰδιάσαμεν ἀπ' αὐτοῦ, καὶ ἰδοὺ δύο λέοντες ἦλθον δρομαῖοι ἀπὸ τῆς ἐρήμου καὶ πεσόντες εἰς τοὺς πόδας αὐτοῦ ὠρυόμενοι προσεκύνουν αὐτόν, ἡμεῖς δὲ ἐκ φόβου ἐπέσομεν χαμαὶ μὴ δυνάμενοί τι λαλῆσαι. καὶ ἐπιθεὶς ἐπ' αὐτοὺς τὰς χεῖρας λέγει αὐτούς· τεκνία μου καλά, τρεῖς ἀδελφοὶ ἐκ τῆς τῶν ἀνθρώπων φύσεως ἐληλύθασιν πρὸς ἡμᾶς, μηδὲν οὖν αὐτοῖς ἀδικήσητε, δοῦλοι γάρ εἰσιν τοῦ θεοῦ ὡς κἀγὼ ὁ ταπεινός. καὶ φωνήσας [1]) πρὸς ἡμᾶς ἔφη· δεῦτε, ἀδελφοί, πρὸς ἡμᾶς μηδὲν φοβούμενοι καὶ ποιήσωμεν τὴν ἑσπερινὴν εὐχήν. καὶ ὡς

[1]) Cod. φηνήσας.

τοῖς· τεκνία μου καλά, ἐκ τῆς τῶν ἀνθρώπων φύσεως ἐληλύθασί τινες πρὸς ἡμᾶς, ἀλλὰ μὴ αὐτοὺς ἀδικήσετε, δοῦλοι γάρ εἰσιν τοῦ θεοῦ. καὶ φωνήσας ἡμᾶς ὁ ἅγιος εἶπεν· δεῦτε, ἀδελφοί, ἐγγίσατε ἡμῖν μηδὲν φοβούμενοι καὶ ποιήσωμεν τὴν ἑσπερινὴν εὐχήν. καὶ ὡς ἐξήλθομεν φοβούμενοι ἀπήλθομεν πρὸς αὐτόν, ἔδραμον δὲ οἱ δύο λέοντες εἰς ἀπάντησιν ἡμῶν καὶ τοῦ μὲν ἑνὸς τοὺς πόδας περιέλιχεν, τοῦ δὲ (ἑτέρου?) τὴν κεφαλὴν προσποιοῦντος σέβας προσκυνήσεως καὶ ὡς ἄνθρωποι λογικοὶ κάμπτοντες τοὺς πόδας αὐτῶν ἐκυλινδοῦντο εἰς ἡμᾶς. ἡμεῖς δὲ ἐδοξάσαμεν τὸν θεὸν τὸν ἡμεροῦντα αὐτοὺς πρὸς ἡμᾶς καὶ ἐπιθέντες αὐτοῖς τὰς χεῖρας ηὐλογήσαμεν αὐτούς. ἐποιήσαμεν δὲ τὸν ἑσπερινὸν ὕμνον καὶ ἡσυχάσαμεν ὅλην τὴν νύκτα. Καὶ τῇ ἑξῆς λέγομεν τῷ ἁγίῳ Μάκαρι· εἰπὲ ἡμῖν, πάτερ τίμιε, αὐτὸς πῶς ὧδε ἐλήλυθας; καὶ ἀποκριθεὶς λέγει ἡμῖν· κλίνατε, ἀδελφοί, τὸ οὖς ὑμῶν εἰς τὰ ῥήματά μου καὶ ἀκούσατέ μου πῶς ὧδε ἐγὼ ἐλήλυθα ὁ ταπεινός. ἐγενόμην τινὸς Ἰωάννου συγκλητικοῦ Ῥωμαίου καὶ ἐμνηστεύσαντό μοι γυναῖκα ἐμοῦ ἀπροαιρέτου ὄντος καὶ κατὰ βίαν ἐποίησάν μου τοὺς γάμους. καὶ

ἐξήλθομεν φοβούμενοι τοῦ ἀπελθεῖν πρὸς αὐτὸν ἔδραμον οἱ δύο λέοντες εἰς ἀπάντησιν ἡμῶν καὶ ὡς ἄνθρωποι λογικοὶ ἐκυλινδοῦντο ἔμπροσθεν ἡμῶν· τότε καὶ ἡμεῖς ἐδοξάσαμεν τὸν θεὸν τὸν ἡμερώσαντα αὐτοὺς πρὸς ἡμᾶς καὶ ποιήσαντες τὸν ἑσπερινὸν ὕμνον ἡσυχάσαμεν τὴν νύκτα ἐκείνην. Καὶ τῇ ἐπαύριον ἀναστάντες τοῦ ὕπνου καὶ τὸν θεὸν δοξάσαντες εἴπομεν πρὸς τὸν ἅγιον Μακάριον· δεόμεθά σου, ἀνάγγειλον ἡμῖν, τίμιε πάτερ, πῶς ἐλήλυθας ὧδε. Καὶ ἀποκριθεὶς λέγει ἡμῖν· ἀδελφοὶ καὶ πατέρες, κλίνατε τὸ οὖς ὑμῶν εἰς τὰ ῥήματα τοῦ στόματός μου καὶ ἀκούσατε πῶς ὧδε ἐλήλυθα ὁ ταλαίπωρος καὶ ἁμαρτωλός· ἐγὼ ἐγενόμην υἱός τινος Ἰωάννου καλουμένου Ῥωμαίου συγκλητικοῦ, καὶ μὴ βουλομένου μου ὁ πατήρ μου ἔζευξέ με γυναικὶ καὶ ποιήσας κατὰ βίαν τοὺς γάμους· τῇ ἑσπέρᾳ ὅτε ἤμελλον ἡμᾶς ἐγκλείειν εἰς συνάφειαν, τῶν ὄχλων χορευόντων καὶ μηδενὸς γινώσκοντος, χρείαν γαστρὸς προφασισάμενος ἐξῆλθον μόνος ἐν κρυφῇ καθ᾽ ἑαυτὸν καὶ ἀπελθὼν ἐκρύβην ἐν οἰκήματι χήρας τινὸς γυναικὸς πενιχρᾶς ἡμέρας ἑπτά, ἐν οἷς ἡ ἀείμνηστος ἐκείνη γραῦς ἦν φέρουσα τὰς ἀποκρίσεις ἐμοὶ γνωρίζουσά

τῇ ἑσπέρᾳ ὅτε ἤμελλον ἡμᾶς ἐγκλείειν εἰς τὴν συνάφειαν, τῶν ὄχλων χορευόντων καὶ μηδενὸς γινώσκοντος, χρείαν γαστρὸς πρόφασιν ποιησάμενος ἐξῆλθον ἐν κρυφῇ καθ' ἑαυτὸν καὶ ἀπελθὼν ἐκρύβην ἐν οἰκήματι μιᾶς γυναικὸς χήρας ἡμέρας ἑπτά, ἐν οἷς ἡ ἀείμνηστος γραῦς ἐκείνη ἦν φέρουσα τὰς ἀποκρίσεις καὶ γνωρίζουσά μοι τὸν κλαυθμὸν αὐτῶν καὶ τὴν ἄφατον ἀπόκρυψίν μου. Ἐπὶ τούτοις οὖν τοῖς γινομένοις μετὰ τὰς ἑπτὰ ἡμέρας τῇ ἐπιφωσκούσῃ μέσης τῆς νυκτὸς ἀνεχώρησα ἐκ τὴν κέλλαν τῆς χήρας δοξάζων τὸν θεόν. ὁ δὲ Κύριος ὁ μὴ καταλιμπάνων τινά, ἀλλὰ χεῖρα δοὺς τοῖς ἐπικαλουμένοις τὸ ὄνομα αὐτοῦ ἀπέστειλέν μοι τὸν ἄγγελον αὐτοῦ Ραφαὴλ ἐν σχήματι ἀνδρὸς γέροντος ὁδεύοντος καὶ συνοδοιποροῦντός μοι, ἐν οἷς καὶ ἐρώτησα αὐτόν· ποῦ πορεύῃ, πάτερ; ὁ δέ· ὅπου καὶ σὺ τὸν νοῦν ἔχεις κἀγὼ ἐκεῖσε πορεύομαι. ἐγὼ δὲ εἶπον· Κύριε, ὁδήγησόν με εἰς τὴν ὁδὸν τῆς ζωῆς, καὶ κατηκολούθουν αὐτῷ λαμβάνων καὶ ἐντολὴν εἰς τὰς κώμας εἰς διατροφὴν ἡμῶν. καὶ βαδίσαντες πᾶσαν τὴν ὁδὸν ἔδειξέν μοι ὁ ἄγγελος Κυρίου τὸν ἐν σχήματι γέροντος ὅτι ἦν ἄγγελος Κυρίου ὁ ὁδηγῶν με. ἡ δὲ πορεία ἡμῶν

μοι καθ' ἑκάστην τοὺς λόγους αὐτῶν καὶ τὸν κλαυθμὸν καὶ τὴν ἄδηλον ἀποκρυβήν μου. Ἐπὶ πολὺ οὖν ὅμως ζητήσαντές με καὶ μὴ εὑρόντες ἐποίησαν θρῆνον μέγαν καὶ κοπετὸν πολύν, ἐγὼ δὲ μετὰ τὰς ἑπτὰ ἡμέρας ἀναστὰς μέσης νυκτὸς ἐδόξασα τὸν θεὸν καὶ εὐχαριστήσας τῇ πενιχρᾷ χήρᾳ ἐξῆλθον τῆς κέλλης αὐτῆς ἐπὶ τὴν δημοσίαν ὁδόν. ὁ δὲ φιλάνθρωπος θεὸς ὁ μὴ καταλιμπάνων τινά [1]) πώποτε, ἀλλὰ χεῖρα βοηθείας διδοὺς πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἀπέσταλέ μοι τὸν ἄγγελον αὐτοῦ Ραφαὴλ ἐν σχήματι ἀνδρὸς γέροντος ὁδεύοντος καὶ συνοδοιποροῦντός μοι, ἐν οἷς καὶ ἐρώτησα αὐτόν· ποῦ πορεύῃ, τίμιε πάτερ; ὁ δὲ εἶπέν μοι· ὅπου αὐτὸς ἔχεις τὸν νοῦν σου ἐκεῖσε κἀγὼ πορεύομαι. ἐγὼ δὲ εἶπον· Κύριε, ὁδήγησόν με εἰς τὴν ὁδὸν τῆς ζωῆς, καὶ κατηκολούθησα αὐτῷ πᾶσαν τὴν ὁδόν. ζητοῦντες δὲ εἰς τὰς κώμας ἄρτον καὶ ὕδωρ ἐλαμβάνομεν εἰς διατροφὴν ἡμῶν. καὶ βαδίσαντες πᾶσαν τὴν ὁδὸν ἣν καὶ ὑμεῖς ἐθεάσασθε ἔδειξέ μοι ὁ ἄγγελος Κυρίου ὁ ἐν σχήματι γέροντος συνπεριπατῶν μοι καὶ ὁδηγῶν μοι ταῦτα πάντα. ἡ δὲ πορεία ἡμῶν καὶ ὁ χρόνος γέγονεν

[1]) Cod. τινι.

καὶ ὁ χρόνος ἐγένετο ἔτη τρία ἕως τῆς προκειμένης ὁδοῦ οὗ ἐμέλλομεν ἀναπαύεσθαι ἐν οἷς καὶ ἐκοιμήθημεν ἐν τούτῳ τῷ τόπῳ. καὶ ἐν μιᾷ τῶν ἡμερῶν κοιμωμένων ἡμῶν ἅμα διύπνησα καὶ οὐκ εἶδον αὐτὸν οὐκέτι καὶ ἠρξάμην κλαίειν καὶ λυπεῖσθαι, καὶ εὐθέως ἐμφανίζει μοι λέγων· ἐγώ εἰμι Ραφαὴλ ὁ ἀρχάγγελος Κυρίου ὁ ἀγαγών σε ἐνταῦθα ἐν σχήματι γέροντος ὡς ὁ Κύριος ἐκέλευσεν, ἀλλὰ ἀποθέμενος τὴν λύπην σου μηδὲν δειλιάσῃς, ἀλλὰ δὸς δόξαν τῷ θεῷ σου καθὰ καὶ τὴν ἡμέραν· ἰδοὺ διῆλθες τὰ σκοτεινὰ καὶ εἶδες πάντα τὰ θαυμάσια τοῦ θεοῦ καὶ τὰς κρίσεις τῶν ἁμαρτωλῶν καὶ τοὺς τόπους τῶν ἁγίων καὶ τὴν ἀθάνατον πηγὴν καὶ ἐλήλυθας εἰς τὸ φῶς τῆς ζωῆς. Καὶ ταῦτα εἰπὼν Ραφὴλ ὁ ἄγγελος Κυρίου ἤρθη ἐξ ὀφθαλμῶν μου καὶ ἄφαντος ἐγένετο. ἐγὼ δὲ ἠρξάμην ὁδεύειν καὶ εὐθὺς ὑπήντησέν μοι ὄναγρος βοσκομένη καὶ ὥρκωσα αὐτὴν λέγων· θεὸν ἔχεις τόν σε κτίσαντα, δεῖξόν μοι οἰκητήριον ἀνθρώπων. καὶ εὐθέως ἔστη καὶ ὠγκήσατό μοι καὶ ἐπορεύετο ἔμπροσθέν μου κἀγὼ ἠκολούθουν [1]) αὐτῇ ἡμέρας δύο. καὶ ἀπαντᾷ ἡμῖν πάλιν ἔλαφος μέγας καὶ

[1]) Cod. ἠκολούθον.

ἔτη τρία ἕως τῆς προκειμένης ὁδοῦ οὗ ἐμέλλομεν ἀναπαύεσθαι. καὶ ἀποκαταστήσας με ὁ ἄγγελος Κυρίου εἰς τὸ σπήλαιον τοῦτο καὶ εἰσελθόντες ἔνδον ἐκοιμήθημεν οἱ δύο ἅμα ἐν τῷ τόπῳ τούτῳ. ἐγὼ δὲ διυπνήσας οὐκέτι εἶδον αὐτὸν καὶ ἀρξάμενος ῥαθυμεῖν καὶ λυπεῖσθαι καὶ κλαίειν. εὐθέως ἐμφανίζει μοι ἑαυτὸν ὁ ἄγγελος λέγων· ἐγώ εἰμι ὁ ἀρχάγγελος Κυρίου Ραφαὴλ ὁ ἀγαγών σε ἐνταῦθα ἐν σχήματι γέροντος ὡς ὁ Κύριος ἐκέλευσεν, ἀποθέμενος οὖν τὴν λύπην σου μηδὲν δειλιάσῃς, ἀλλὰ δὸς δόξαν τῷ θεῷ· ἰδοὺ γὰρ διῆλθες τὰ σκοτεινὰ καὶ εἶδες πάντα τὰ θαυμάσια τοῦ θεοῦ καὶ τὰς κρίσεις τῶν ἁμαρτωλῶν καὶ τοὺς κόπους τῶν δικαίων καὶ τὴν ἀθάνατον πηγὴν καὶ ἐλήλυθας εἰς τὸ φῶς τῆς ζωῆς. μηκέτι οὖν λυποῦ μηδὲ σκυθρώπαζε, ἀλλὰ μᾶλλον χαῖρε καὶ δόξαζε τὸν θεὸν καθ' ἑκάστην τὸν ῥυσάμενόν σε ἐκ τῆς ματαίας πλάνης καὶ ἀπάτης τῶν ἀνθρώπων τοῦ κόσμου. Καὶ ταῦτα εἰπὼν ἤρθη ἐξ ὀφθαλμῶν μου· ἐγὼ δὲ ἠρξάμην ὁδεύειν καὶ εὐθέως ὑπήντησέ με ὄναγρος βοσκομένη καὶ ὥρκισα αὐτὴν λέγων· τὸν θεὸν τὸν κτίσαντά σε δεῖξόν μοι ἀνθρώπινον οἰκητήριον. καὶ εὐθέως ἔστη καὶ ὠγκήσατο ἔμπροσθέν

ἰδὼν ἡ [1]) ὄναγρος τὸν ἔλαφον ἀνεχώρησεν εἰς τὸν ἴδιον τόπον, καὶ πάλιν ἡ ἔλαφος ὡδήγησέν με ἐπὶ ἡμέρας τρεῖς καὶ ἰδοὺ πάλιν ἀπαντᾷ μοι δράκων συρόμενος. καὶ ἰδοῦσα ἡ ἔλαφος ἀνεχώρησεν κἀγὼ φοβηθεὶς τὸν δράκοντα ἠρξάμην ὁρκίζειν αὐτὸν τοῦ μὴ ἀδικῆσαί με. καὶ ἀνορθώσας ἑαυτὸν ὁ δράκων καὶ σταθεὶς ἐπὶ τὴν οὐρὰν αὐτοῦ, ἀνοίξας τε τὸ στόμα αὐτοῦ ἐλάλει μοι ἀνθρωπίνως λέγων· καλῶς ἐλήλυθας ἐνταῦθα, δοῦλε τοῦ θεοῦ Μακάρι [2]), ἔτη γάρ εἰσιν δύο καὶ δέκα ἀφ' οὗ ἐκδέχεταί σε τὸ ὄρος τοῦτο· ἰδοὺ γὰρ καὶ οἶκον κατοικητήριον ἡτοίμασά σοι κελευσθεὶς παρὰ Ραφαὴλ τοῦ ἀρχαγγέλου, σὺ γὰρ εἶ Μακάριος ὃν καὶ προεμήνυσέν μοι, ἀλλὰ καὶ ἱστόρησέν μοι τὴν ἰδέαν σου καὶ τὰ βήματά σου καὶ τὴν λαλιὰν καὶ ἰδοὺ ἑώρακά σε σήμερον. εἰσὶ γὰρ ἡμέραι δέκα ἀφ' οὗ προσεδεχόμην σε μήτε ἐπὶ βρώσεως μήτε ἐπὶ πόσεως ἀνελθὼν ἐντεῦθεν καὶ τὴν ἑσπέραν ταύτην εἶδόν σε καθήμενον ἐπὶ νεφέλης φωτεινῆς καὶ φωνὴ ἦλθέν μοι λέγουσα· ἀνάστα λοιπὸν δέξαι τὸν δοῦλον τοῦ θεοῦ Μακάριον. ἀλλὰ νῦν δεῦρο ἀκολούθει μοι καὶ ἴδε τὸν τόπον σου καὶ δόξαζε τὸν θεόν. Καὶ

[1]) Cod. ὁ. [2]) Cod. μάκαρι.

μου καὶ ἠκολούθουν αὐτῇ ἡμέρας δύο. καὶ πάλιν ἀπαντᾷ με ἔλαφος μέγας καὶ ἰδὼν ἡ ὄναγρος τὸν ἔλαφον ἀνεχώρησε καὶ ὑπέστρεψε εἰς τὸν ἴδιον τόπον καὶ ὡδήγησέ με ὁ ἔλαφος ἡμέρας γ'. καὶ (ἰ)δοὺ πάλιν ἀπαντᾷ με δράκων μέγας συρόμενος, καὶ ἰδὼν ὁ ἔλαφος τὸν δράκοντα ἀνεχώρησε καὶ αὐτός. ἐγὼ δὲ φοβηθεὶς τὸν δράκοντα ἠρξάμην ὁρκίζειν αὐτὸν κατὰ τοῦ θεοῦ τοῦ ζῶντος τοῦ μὴ ἀδικῆσαί με. καὶ ἀνορθώσας ἑαυτὸν ὁ δράκων καὶ σταθεὶς ἐπὶ τὴν οὐρὰν αὐτοῦ καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ παραχρῆμα ἐλάλει μοι ἀνθρωπίνως λέγων· καλῶς ἐλήλυθας ἐνταῦθα, δοῦλε τοῦ θεοῦ Μακάριε, ἔτη γάρ εἰσι δώδεκα ἀφ' οὗ ἐκδέχεταί σε τὸ ὄρος τοῦτο· ἰδοὺ γὰρ καὶ οἶκον κατοικητηρίου ἡτοίμα(σά) σοι κελευσθεὶς παρὰ Ραφαὴλ τοῦ ἀρχαγγέλου, σὺ γὰρ εἶ Μακάριος ὃν καὶ προεμήνυσέ μοι ὁ αὐτὸς ἀρχάγγελος, ἀλλὰ καὶ ἱστόρησέν μοι τὴ(ν) ἰδέα(ν) σου καὶ προϋπέδειξέ μοι τοῦ προσώπου σου τὴν θέαν καὶ τὴν λαλιάν σου καὶ ἰδοὺ ἠξιώθην ἰδεῖν σε σήμερον. εἰσὶ γὰρ ἡμέραι δέκα ἀφ' οὗ προσεδεχόμην σε μήτε ἐπὶ βρώσεως μήτε ἐπὶ πόσεως πούποτε ἀπελθὼν καὶ τὴν ἑσπέραν ταύτην εἶδόν σε καθήμενον ἐπὶ νεφέλης ὑψηλῆς

λαλήσας ταῦτα ὁ δράκων θεωροῦντός μου αὐτὸν οὕτως περιεπάτει ἔμπροσθέν μου ὡς ἀνὴρ νεανίσκος. καὶ ἐλθόντων ἡμῶν ἔστησέ με ἐπὶ τὴν θύραν τοῦ σπηλαίου καὶ εὐθέως ἀφανὴς ἐγένετο ἐξ ὀφθαλμῶν μου. ἐγὼ δὲ ἐν τῷ σπηλαίῳ εὗρον λέαιναν νεκρὰν κειμένην καὶ τὰ σκυμνάρια αὐτῆς ἐπικείμενα αὐτῇ καὶ κλαίοντα καὶ μὴ εὑρίσκοντα γάλα θηλάσαι. καὶ λαβὼν ἐγὼ τὰ δύο σκυμνάρια ἀνέθρεψα αὐτὰ ἐκ τῶν ἀκροδρύων ὡς τέκνα μου γνήσια, τὴν δὲ μητέρα αὐτῶν ἐκβαλὼν ἔξω ἔθαψα εἰς τὴν γῆν καὶ ἠρξάμην δοξάζειν τὸν φιλάνθρωπον θεόν. Καὶ ἔτι ἡμῖν ὁμιλοῦντος ταῦτα ἰδοὺ κόραξ ἐπέστη καὶ ἐκάθισεν ἐν μέσῳ ἡμῶν ἔχων ἐπὶ τοῦ στόματος αὐτοῦ ἕνα ἥμισυ ἄρτον καὶ ἔθηκεν αὐτὸν ἐνώπιον ἡμῶν καὶ ἀπῆλθεν. καὶ ἀπεκρίθη ἡμῖν ὁ γέρων· νῦν ἔγνων ὅτι οὐκ ἐγκατέλιπεν ἡμῖν (=ἡμᾶς) ὁ Κύριος, ἀλλὰ καὶ ἡμῶν (sic) καὶ ὑμῶν ἀπέστειλεν τὴν τροφήν, ἰδοὺ γὰρ ἕως σήμερον ἔτη εἰσὶν ἱκανὰ ἀφ' οὗ δέχομαι τὴν τροφὴν παρὰ τοῦ πετεινοῦ τούτου καθ' ἡμέραν ἥμισυ ἄρτου παρὰ τοῦ μόνου παντοδυνάμου θεοῦ, φαγώμεθα οὖν καὶ ἀναγγείλω ὑμῖν τὰς ἁμαρτίας μου. Καὶ ποιησάντων ἡμῶν εὐχὴν καὶ καθεσθέν-

καὶ ἦλθε φωνὴ πρός με λέγουσα· ἀνάστα δέξαι τὸν δοῦλον τοῦ θεοῦ Μακάριον. καὶ νῦν δεῦρο ἀκολούθει μοι καὶ ὑποδείξω σοι τὸν ἴδιόν σου τόπον τοῦ δοξάζειν σε ἀπαύστως τὸν θεὸν ἐν αὐτῷ. Ταῦτα τοίνυν λαλήσας ὁ δράκων θεωροῦντός μου αὐτὸν οὕτως περιεπάτει ἔμπροσθέν μου ὡς νεανίσκος, καὶ ἐλθόντων ἡμῶν ἐπὶ τὴν θύραν τοῦ σπηλαίου τούτου στήσας με ἐν αὐτῷ ἄφαντος ἐγένετο ἀπ' ἐμοῦ. ἐγὼ δὲ ὁ ἁμαρτωλὸς εἰσελθὼν ἐν τῷ σπηλαίῳ εὗρον λέαιναν νεκρὰν κειμένην ἐπὶ τοῦ ἐδάφους καὶ τὰ δύο αὐτῆς σκύμνα ἐπικείμενα αὐτῆς καὶ κλαίοντα μὴ εὑρίσκοντα γάλα θηλάσαι. καὶ λαβὼν ἐγὼ τὰ δύο σκυμνάρια ἀνέθρεψα αὐτὰ ἐκ τῶν ἀκροδρύων ὡς τέκνα μου ἀγαπητά, τὴν δὲ μητέρα αὐτῶν ἐκβαλὼν ἔξω ἔθαψα ἐν τῇ γῇ καὶ ἠρξάμην δοξάζειν τὸν θεόν. Καὶ ἔτι ἡμῖν ὁμιλοῦντος τοῦ ἁγίου ταῦτα ἰδοὺ κόραξ ἐπέστη καὶ ἐκάθισεν ἐν τῷ μέσῳ ἡμῶν ἔχων ἐπὶ τοῦ στόματος αὐτοῦ ἄρτους δύο καὶ ἔθηκεν αὐτοὺς ἔμπροσθεν ἡμῶν καὶ ἀπῆλθεν. καὶ ἀπεκρίθη ἡμῖν ὁ γέρων λέγων· νῦν ἔγνων, ἀδελφοί, ὅτι οὐκ ἐγκατέλιπεν ἡμᾶς ὁ Κύριος, ἀλλὰ καὶ ὑμῶν καὶ ἐμὲ ἀπέστειλε τὴν τροφήν· ἰδοὺ γὰρ ἕως σήμερον

των ἐκορέσθημεν τῆς τροφῆς καὶ μετὰ τοῦτο ἤρξατο ἡμῖν διηγεῖσθαι· ὅτι Μετὰ τὸ ποιῆσαί με ἐνταῦθα, τεκνία μου, ἔτη δώδεκα ἐξῆλθον περὶ ὥραν ἑβδόμην καὶ ἐκαθέσθην ἅμα μετὰ τῶν σκύμνων καὶ ὁ σατανᾶς ἤρξατο πειράζειν με· καὶ ἰδοὺ ὡς σουδάριον γυναικὸς ποιήσας ἑαυτὸν πάνυ ὑψηλότατον καὶ ἔντιμον ἐπικείμενον ὡς ῥάκος ἀπέναντί μου χαμαί, ἐγὼ δὲ ὁ ταλαίπωρος πορωθεὶς τὸν λογισμὸν καὶ μὴ νοήσας εὑρὼν αὐτὸ ἐπῆρα καὶ ἐθέμην αὐτὸ ἔσω εἰς τὸ σπήλαιον καὶ διελογισάμην ἐν ἑαυτῷ τὸ πόθεν ἐστὶν τοῦτο. καὶ τῇ ἑξῆς ἐξῆλθον καὶ εὑρίσκω πάλιν ἕτερον γυναικεῖον εἶδος καὶ ἄρας καὶ αὐτὸ ἐθέμην πρὸς τὸ σουδάριον καὶ πάλιν πορωθεὶς ἀσφράγιστος ἔμεινα. τῇ δὲ τρίτῃ ἡμέρᾳ ὄρθρου ἐξελθὼν προσκυνῆσαι τῷ θεῷ μου καὶ οὐκ ἐσφράγισα ἑαυτὸν εἴ πως διὰ τοῦ τιμίου σταυροῦ ἐκφύγω τὴν ἀνομίαν μου καὶ πάλιν θεωρῶ φαντασίαν τοῦ ἐχθροῦ· καὶ ἰδοὺ γυνὴ ἐπάνω λίθου ἐκάθητο κεκοσμημένη ἐν ἱματισμῷ καὶ χρυσίῳ πολυτελεῖ, τοῦ δὲ κάλλους αὐτῆς οὐκ ἦν κόρος, καὶ ἔκλαιεν πικρῶς ὥστε κἀμοὶ κλαῦσαι κεκίνηκε. [1]

[1] Cod. ordinem turbavit: πικρῶς, καὶ εἶπον... παραγέγονας; ὥστε καμοὶ κλαῦσαι κεκίνηκε.

ἔτη εἰσὶν ἱκανὰ ἀφ' οὗ δέχομαι τὴν τροφὴν ἀπὸ τοῦ πετεινοῦ τούτου καθ' ἡμέραν ἥμισυ ἄρτου. ἐδεξάμεθα [1]) οὖν σήμερον ἕκαστος ἡμῶν ἀνὰ ἥμισυ ἄρτου, φαγώμεθα οὖν καὶ ἀναγγελῶ ὑμῖν τὰς ἁμαρτίας μου, τούτου γὰρ ἕνεκα καὶ ἀπεστάλητε πρός με τὸν ταπεινὸν καὶ ἁμαρτωλὸν παρὰ τοῦ θεοῦ. Καὶ ποιησάντων ἡμῶν εὐχὴν καὶ καθεσθέντων ἐκορέσθημεν τροφῆς καὶ ἐδοξάσαμεν τὸν Κύριον, μετὰ δὲ ταῦτα ἤρξατο πάλιν ἡμῖν διηγεῖσθαι λέγων οὕτως· ὅτι Μετὰ τὸ οἰκῆσαί με ἐνταῦθα καὶ ποιῆσαι ἔτη δώδεκα ἐξῆλθον ἐν μιᾷ ἔξω τοῦ σπηλαίου μου περὶ ὥραν ἑβδόμην καὶ ἐκαθέσθην μετὰ τῶν δύο λεόντων· καὶ ἰδοὺ ὁ σατανᾶς ἤρξατό με πειράζειν καὶ ποιήσας ἑαυτὸν ὁ πονηρὸς σουδάριον γυναικὸς πάνυ ἔντιμον καὶ ψιλὸν ἔκειτο ἀπέναντί μου χαμαί, ἐγὼ δὲ ὁ ταλαίπωρος πορωθεὶς τὸν λογισμὸν καὶ μὴ νοήσας τὸν δόλον τοῦ πονηροῦ λαβὼν αὐτὸ ἔθηκα ἔνδον τοῦ σπηλαίου καὶ διελογιζόμην ἐν ἑαυτῷ, τί ἐστι τοῦτο καὶ πόθεν; καὶ περιφρονήσας οὐ κατεσφράγισα ἐμαυτόν· ὁ γὰρ ἅγιος σταυρὸς φυγαδευτήριον δαιμόνων ἐστίν. καὶ πάλιν τῇ ἐπαύριον ἐξελθὼν εὑρίσκω

[1] Cod. ἐδεξόμεθα.

καὶ εἶπον πρὸς αὐτήν· πόθεν ὧδε παραγέγονας; καὶ λέγει μοι· ἐγὼ ἡ ταλαίπωρος γυνή εἰμι ὀνόματι Μαρία, θυγάτηρ πέλουσα Ρωμαίου τινός· καὶ ἠνάγκασάν με οἱ γονεῖς μου γαμηθῆναι, κἀγὼ μὴ βουλομένη συναφθῆναι ἀνδρὶ λαθοῦσα τοὺς χορεύοντας καὶ τὸν ἄνδρα ἀπὸ τοῦ παστοῦ ἔφυγα μηδενὸς γινώσκοντος καὶ μὴ γνωρίζουσα τὴν εὐθεῖαν ὁδὸν πελαζομένη δι' ἐρημίας καὶ ὄρεσι ἰδοὺ πάρειμι ὧδε μὴ γινώσκουσα ποῦ ἔρχωμαι. Ἐγὼ δὲ ὁ ταπεινὸς ἔτι ὑπάρχων πεπορωμένος ἐπίστευον αὐτῇ ὅσα ἐλάλει μοι, τῇ δὲ τέχνῃ ἐδελεάζε τὴν ταπεινήν μου ψυχήν, καὶ ἐπιλαβόμενος αὐτῆς τῆς χειρὸς εἰσήγαγον αὐτὴν ἐν τῷ σπηλαίῳ τούτῳ καὶ συμπαθήσας διὰ τὴν πεῖναν ἔδωκα αὐτῇ φαγεῖν ἐκ τῶν ἀκροδρύων τούτων μή πως λιμῶσα ἀποθάνῃ. καὶ τὰ δάκρυα αὐτῆς οὐκ ἐστέλλοντο καὶ ἐμοῦ ἡ ψυχὴ ἄπνους ἔμεινε καὶ ἦν πεπορωμένη καὶ ἀσφράγιστος. καὶ ὅτε ὀψὲ ἐγένετο καὶ ἐποίησα τὴν εὐχὴν πεπορωμένος ὢν καὶ παρὰ προαίρεσιν καὶ τὸν ἑσπερινὸν ὕμνον τοῦ Χριστοῦ ἐκτελέσας ἔθηκα ἐμαυτὸν ἐπὶ τὴν γῆν ὀλίγον ἡσυχᾶσαι· ἐμοῦ δὲ τοῦ ἀθλίου καθευδοντος κἀκείνη εὐθὺς ἔρχεται ἔγγιστά μου καὶ διανοίξασα ὑπόδημα ἀληθινὸν γυναικός, περιφρονήσας δὲ τοῦ μὴ κατασφραγισθῆναι, ἀλλὰ μᾶλλον ἐπαρὼν καὶ αὐτὸ ἔθηκα πρὸς τὸ σουδάριον. καὶ πάλιν πορωθεὶς τῇ καρδίᾳ ἔμεινα ἀσφράγιστος. τῇ δὲ τρίτῃ ἡμέρᾳ ἐξῆλθον τοῦ σπηλαίου προσκυνῆσαι τὸν φιλάνθρωπον θεὸν καὶ πορωθεὶς ὑπὸ τοῦ σατανᾶ οὐ κατεσφράγισα ἑαυτὸν εἴ πως διὰ τοῦ τιμίου σταυροῦ ἐκφύγω τὴν ἀνομίαν μου καὶ πάλιν θεωρῶ ἄλλην φαντασίαν τοῦ ἐχθροῦ· ἰδοὺ γὰρ ἐκάθητο ὁ διάβολος ἐπάνω λίθου ὥσπερ γυνὴ κεκοσμημένη ἐν ἱματισμῷ καὶ χρυσίῳ πολυτελεῖ, τοῦ δὲ κάλλους αὐτῆς οὐκ ἔστι κόρος, καὶ ἔκλαιε πικρῶς ὥστε κἀμὲ κινῆσαι εἰς τὸ κλαῦσαι, καὶ εἶπον πρὸς αὐτήν· γύναι, πόθεν παραγέγονας; ἡ δὲ εἶπε πρός με· ἐγὼ ἡ ταλαίπωρος γυνή εἰμι ὀνόματι Μαρία, θυγάτηρ πέλουσα Ρωμαίου τινός, καὶ ἠνάγκασάν [1]) με οἱ γονεῖς μου συναφθῆναι ἀνδρὶ κἀγὼ μὴ βουλομένη τοῦτο ποιῆσαι προφάσει γαστρὸς λαθοῦσα τοὺς χορεύοντας καὶ τὸν ἄνδρα ἀπὸ τοῦ παστοῦ ἔφυγον μηδενὸς γινώσκοντος καὶ μὴ γνωρίζουσα τὴν εὐθεῖαν ὁδὸν πλανομένη διὰ τῶν ὀρέων καὶ τῶν κρεμνῶν

---

[1]) Cod. ἠνέγκασαν.

τὸν ἐπενδύτην μου ἔβαλεν τὴν χεῖρα αὐτῆς καὶ κατεμάνθανέν μου ὅλον τὸ σῶμα καὶ ἤμην ἐν τῷ ὕπνῳ μου ὅλος βεβαρημένος. ἐγὼ δὲ ὁ ταλαίπωρος ὁ μηδέπω ἐνθυμηθεὶς κακίαν ἢ πορωθεὶς ἢ κινηθείς ποτε τὴν αὐτὴν ὥραν ἠρξάμην ταράσσεσθαι εἰς ἁμαρτίαν καὶ ἐβουλήθην συγγενέσθαι εἰς τὴν ἁμαρτίαν αὐτῆς ὡς ἐρασθεὶς αὐτῆς, ἐκείνη δὲ ἄφνω ἀφανὴς ἐγένετο ἀπ' ἐμοῦ. Καὶ ἀπορηθεὶς ἐγὼ ὁ ἄθλιος τῷ νοήματι ἐκείμην ὕπτιος ἐπὶ τῆς γῆς ὥσπερ ἀπὸ ὕπνου βαθυτάτου καὶ ὅτε ἀνένηψα ἐκ τῆς πλάνης τοῦ διαβόλου ἦλθον εἰς ἐμαυτὸν καὶ ἔγνων μου τὴν αἰσχύνην καὶ ἐξελθὼν ἐκ τοῦ σπηλαίου ἔκλαυσα σφόδρα. τὰ δὲ λεοντάρια ταῦτα οὐκ ἤρχοντο πρός με ἐπὶ ἡμέρας δέκα οὐδὲ ὑπετάσσοντό μοι γνῶτα τὴν αἰσχύνην μου καὶ τὴν ἁμαρτίαν μου. ἐγὼ δὲ ὁ ταλαίπωρος θεωρήσας ἀπὸ μακρόθεν τὰ δύο λεοντάρια μετὰ δακρύων πολλῶν παρεκάλεσα εἰσελθεῖν σὺν ἐμοὶ ἐν τῇ γωνίᾳ τοῦ σπηλαίου τούτου καὶ ὀρύξαι ἐν αὐτῷ λάκκον βαθύν, καὶ ὤρυξαν τοῖς ὄνυξιν ἑαυτῶν λάκκον βαθὺ(ν) ὡς ἀνδροηλίκων δύο καὶ ἔῤῥιψα ἐμαυτὸν ἐκεῖ καὶ ἐπὶ ἡμέρας πέντε κείμενος ἔκλαιον παρακαλῶν αὐτοὺς ὅπως χώ-

μόλις πάρειμι ὧδε μὴ γινωσκουσα ποῦ ἔρχωμαι. ἐγὼ δὲ ὁ ταπεινὸς ἔτι ὢν πεπορωμένος ἐπίστευον αὐτῇ ὅσα ἐλάλει μοι, τῇ δὲ τέχνῃ τῆς ἀπατελῆς μεθόδου ἐδελεάζε τὴν ταπεινήν μου ψυχήν· καὶ ἐπιλαβόμενος τῆς χειρὸς αὐτῆς εἰσήγαγον αὐτὴν ἐν τῷ σπηλαίῳ τούτῳ. τὰ δὲ δάκρυα αὐτῆς καὶ οἱ στεναγμοὶ οὐδ' ὅλως ἐπαύοντο. καὶ συμπαθήσας αὐτῇ διὰ τὴν πεῖναν δέδωκα αὐτῇ φαγεῖν ἐκ τῶν ἀκροδρύων τούτων μή πως λιμῷ ἀποθάνῃ καὶ κηλιδώσῃ μου τὴν ψυχήν, ὅμως ἔτι ἦν ἡ ψυχή μου πεπορωμένη καὶ ἀσφράγιστος. καὶ γενομένης ἑσπέρας ἐποίησα παρὰ προαίρεσιν τὸν ἑσπερινὸν ὕμνον καὶ εἶθ' οὕτως ἔθηκα ἐπὶ τὴν γῆν ὀλίγον ἀφυπνῶσαι. ἐμοῦ δὲ τοῦ ἀθλίου καθεύδοντος ἐκείνη ἐλθοῦσα ἔγγιστά μου καὶ ἐπάρασα μικρὸν τὸν ἐπενδύτην μου λαβοῦσα ἔσωθεν τὴν χεῖρα αὐτῆς ἐψηλάφισέ μου ὅλον τὸ σῶμα καὶ ἤμην ἐν τῷ ὕπνῳ μου ὅλος βεβαρημένος. ἐγὼ δὲ ὁ ἄθλιος καὶ ταλαίπωρος ὁ μηδέποτε ἐνθυμηθεὶς κακὴν πρᾶξιν ἢ κινηθεὶς εἰς ἐπιθυμίαν πορνείας τὴν αὐτὴν ὥραν ἠρξάμην ταράττεσθαι εἰς ἁμαρτίαν ἐρασθεὶς αὐτῆς καὶ προσλαβόμενος αὐτὴν πρὸς ἐμαυτὸν ἐβουλήθην συγγενέσθαι αὐτῇ εἰς ἁμαρτίαν,

σωσι καὶ σκεπάσωσί με· καὶ μόλις δάκρυα βάλλοντα ἀνθρώπινα κἀκεῖνοι ἔχωσάν με καὶ ἔμεινα κεχωσμένος ἔτη τρία καὶ ἐγενόμην ὅλος γῆ καὶ οὐκ ἀπέθνησκον ὅτι Κύριος ἀντιλήπτωρ μου ἦν. μετὰ οὖν τὰ τρία ἔτη γίνεται χειμὼν μέγας καὶ κατὰ βούλησιν θεοῦ τρυπᾶται τὸ σπήλαιον ἄνωθεν τῆς κεφαλῆς μου κατὰ τῆς ὄψεώς μου καὶ τοῦ σταγόνος κατερχομένου ἀπεγύμνωσέ μου τὴν ὄψιν καὶ τὴν ὀπὴν τοῦ σπηλαίου, καὶ εἶδον τὸ φῶς καὶ ἐδόξασα τὸν φιλάνθρωπον θεὸν τὸν ἐξαλείψαντά μου τὴν δεινὴν ἀνομίαν θελήσει τοῦ Κυρίου εἰπόντος· οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν. Ἡμεῖς δὲ οἱ ταπεινοὶ ταῦτα ἀκούσαντες παρὰ τοῦ ἁγίου ἀνδρὸς ἐκείνου ἐξέστημεν καὶ ἐδοξάσαμεν τὸν θεόν, καὶ ἰδοὺ ἐξαίφνης ἤρχοντο τὰ δύο λεοντάρια περὶ ὧν ὁ λόγος ἐκ τῆς ἐρήμου καὶ ἐπιθεὶς αὐτοῖς τὰς χεῖρας ηὐλόγησε [1]) αὐτὰ καὶ πεσόντα χαμαὶ προσεκύνησαν ἡμᾶς. καὶ λέγει ἡμῖν ὁ ὄντως Μακάριος· ἐπίτεθε τὰς χεῖρας ὑμῶν ἐπ' αὐτά. Εἶτα εἴπομεν τῷ ἁγίῳ Μάκαρι· δὸς ἡμῖν εὐλογίαν, ὅσιε καὶ ἅγιε πάτερ, ἵνα πορευθέντες εἰς τὸν κόσμον ἐκείνη δὲ ἄφ(ν)ω ἀφανὴς ἐγένετο ἀπ' ἐμοῦ. ἐγὼ δὲ ὁ ἄθλιος ὡς πορωθεὶς τῷ νοὶ εὑρέθην ὕπτιος κείμενος ἐπὶ τὴν γῆν ὥσπερ ἀπὸ ὕπνου βαθυτάτου καὶ ὅτε ἀνένηψα ἐκ τῆς πλάνης τοῦ διαβόλου καὶ ἦλθον εἰς ἐμαυτὸν ἐπιγνοὺς τὴν αἰσχύνην μου καὶ τὴν δεινὴν καὶ ἀφόρητον ἁμαρτίαν ὅτι μεγάλη ἐστὶν ἐξελθὼν ἐκ τοῦ σπηλαίου ἔκλαυσα πικρῶς σφόδρα. καὶ νοήσαντες οὗτοι οἱ λέοντες τὴν ἀνομίαν μου καὶ τὴν ἁμαρτίαν μου ἐπὶ ἡμέρας ι' οὐχ ὑπετάσσοντό μοι οὐδὲ ἤρχοντο πρός με. ἐγὼ δὲ ὁ ἄθλιος καὶ ταλαίπωρος θεωρήσας ἀπὸ μακρόθεν τὰ δύο λεοντάρια ἔκλαυσα πικρῶς καὶ παρεκάλεσα τὸν φιλάνθρωπον θεὸν τοῦ συγχωρῆσαί μοι τὴν ἀνομίαν ταύτην. ὁ δὲ εὔσπλαγχνος καὶ ἐλεήμων θεὸς ἀπέστειλε τὰ δύο λεοντάρια πρός με μετὰ τὰς ι' ἡμέρας καὶ εἰσελθόντα σὺν ἐμοὶ εἰς τὸ σπήλαιον παρεκάλεσα αὐτὰ τοῦ ὀρύξαι μοι λάκκον βαθύν, καὶ ὤρυξαν τοῖς ὄνυξιν αὐτῶν βάθος ἀνδρομήκου. τότε ἔρριψα ἐμαυτὸν εἰς τὸν λάκκον καὶ ἐπὶ ἡμέρας πέντε κείμενος ἐκεῖ ἔκλαιον πικρῶς παρακαλῶν αὐτοὺς ὅπως χώσωσί με ἕως τραχήλου· καὶ μόλις δάκρυα κἀκεῖνοι βάλλοντες ἔχωσάν με καὶ ἔμεινα ἐκεῖ χωσμένος ἐπὶ τῆς

[1]) Cod. ηὐλόγησα.

ἀπαγγείλωμεν τὰ περί σου καὶ τὴν ἁγίαν σου πολιτείαν κηρύξωμεν. Καὶ ποιήσας ἡμῖν εὐχὴν καὶ ἀσπασάμενος παρέδωκεν ἡμᾶς τῷ θεῷ τοῦ διασῶσαι καὶ ὁδηγῆσαι, παρέδωκεν δὲ ἡμῖν τοῦ ἀποσῶσαι τὴν ὁδὸν τὰ λεοντάρια καὶ τοῦ Κυρίου συνεργοῦντος ἀπέσωσαν ἡμᾶς πᾶσαν τὴν ὁδὸν καὶ ἐξήγαγον ἡμᾶς ἕως τὰ σκοτεινὰ καὶ εἴδομεν πάλιν τὴν ἀψίδα τοῦ Ἀλεξάνδρου. καὶ κλίνοντες [1]) τὰς κεφαλὰς αὐτῶν οἱ δύο λέοντες προσεκύνησαν ἡμᾶς καὶ ὑπέστρεψαν πρὸς τὸν ὅσιον. Ὁ δὲ φιλάνθρωπος θεὸς διεφύλαξεν ἡμᾶς ἀκινδύνους ἀπὸ πάντων τῶν ἐθνῶν ἐν οἷς καὶ φθάσαντες τὴν χώραν τῶν Περσῶν ὀνόματι Κτησιφῶντα [2]) καὶ περάσαντες τὸν Τίγριν ποταμὸν ἐνετύχομεν χριστιανοῖς, ἐν οἷς καὶ ἐρωτηθέντες ἀπεκαλύψαμεν αὐτοῖς τὰ τῆς ὁδοιπορίας ἡμῶν μυστήρια καὶ τοῦ ἁγίου ἀνθρώπου ἐκείνου τὴν πολιτείαν ἐν οἷς ἦν καὶ διάστημα τῆς ὁδοῦ ἡμῶν ἕως ἡμερῶν πεντήκοντα πέντε. καὶ εἰσελθόντες εἰς τὴν ἁγίαν πόλιν Ἱερουσαλὴμ προσεκυνήσαμεν τὴν ἁγίαν ἀνάστασιν καὶ τοὺς λοιποὺς ἁγίους τόπους. καὶ ἐξελθόντων ἡμῶν ἀπ-

[1]) Cod. κρίνοντες. [2]) Cod. Κτησεφῶντα.

γῆς ἔτη τρία διὰ τὴν δεινήν μου ἁμαρτίαν καὶ ἐγενόμην γῆ καὶ σποδὸς καὶ οὐκ ἀπέθνησκον ὅτι Κύριος ἀντιλήπτωρ μου ἦ(ν). μετὰ δὲ τοὺς τρεῖς χρόνους κατὰ πρόνοιαν θεοῦ γίνεται χειμὼν μέγας καὶ κατὰ βούλησιν αὐτοῦ τρυπᾶται τὸ σπήλαιον ἄνωθεν τῆς κεφαλῆς καὶ τῆς ὄψεώς μου καὶ τοῦ σπαλαγμοῦ κατερχομένου ἐπλάτυνε τὴν τρύπα(ν) τοῦ σπηλαίου καὶ εἶδον τὸ φῶς τῆς ἡμέρας καὶ ἐδόξασα τὸν θεὸν τὸν ἐξαλείψαντά μου τὴν δεινὴν ἁμαρτίαν καὶ εἰπόντα· οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν. τότε ἐκτείνας τὴν χεῖρά μου διὰ τῆς τρύπης ἔξω τοῦ σπηλαίου ἐθέρισα βοτάνην καὶ ἔφαγον ἐξ αὐτῆς καὶ ἐνεπλήσθην εἰς κόρον. θελήσει δὲ τοῦ Κυρίου εἰσῆλθον καὶ οἱ δύο λέοντες εἰς τὸ σπήλαιον καὶ ἰδόντες τὴν κεφαλήν μου καὶ τὴν ὄψιν ἐπένθησάν μου τὸ σῶμα καὶ ἀνορύξαντες τοῖς ποσὶν αὐτῶν ἐξῆλθον κἀγὼ ἐκ τοῦ ὀρύγματος ὅλος ὑγιὴς προστάξει τοῦ φιλανθρώπου θεοῦ καὶ εἶχον τὴν ἰσχύν μου διαπλάσιον τῆς πρώτης καὶ εὐξάμενος ἐδόξασα τὸν εὔσπλαγχνον καὶ ἐλεήμονα θεὸν καὶ ἐξῆλθον ἐκ τοῦ σπηλαίου. καὶ κλίνας τὰ γόνατα ἐπὶ τὴν γῆν ἡμέρας μʹ ἀναστὰς εἶτα ἀπὸ τῆς γῆς παρ-

εσώσαμεν τῇ χάριτι τοῦ θεοῦ εἰς τὸ μοναστήριον ἡμῶν καὶ προσεκυνήσαμεν πάντας τοὺς ἀδελφοὺς οὓς εὕραμεν καὶ τὸν ὅσιον ἡγούμενον ἡμῶν Ἀσκλήπιον ἐξηγούμενοι αὐτοῖς πάντα τὰ καθ' ἡμῶν. Ὅτι αὐτῷ πατρὶ καὶ τῷ μονογενεῖ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

ἔκυψα εἰς τὸ σπήλαιον καὶ εἶδον τὰς τέσσαρας γωνίας τοῦ σπηλαίου ἐχούσας φωταγωγίαν μεγάλην, ἐν δὲ τῷ μέσῳ τοῦ σπηλαίου ὑπῆρχε λα(μ)πρότερον φῶς τῶν ἡλιακῶν ἀκτίνων καὶ μέσον ἑστῶτα τοῦ φωτὸς ἐκείνου ὁρῶ τὸν σωτῆρα Χριστὸν ἐν σχήματι ἀνθρώπου· καὶ ἦν φορῶν ἐπάνω τῆς κεφαλῆς αὐτοῦ στέφανον χρυσοῦν ἀπὸ λίθων τιμίων καὶ ἔψαλλεν ᾠδὴν θαυμαστὴν καὶ οὐράνιον. ἦν δὲ καὶ ἡ φωνὴ αὐτοῦ μεγάλη καὶ ἰσχυρά. καὶ ὡς ἐπλήρωσε τὴν ᾠδὴν ἦλθεν ἄλλη φωνὴ [1]) ἐκ τοῦ οὐρανοῦ λέγουσα τρίτον· ἀμήν, ἀμήν, ἀμὴν εἰς αἰῶνα αἰῶνος. καὶ πάλιν εἰσελθοῦσα νεφέλη πυρὸς εἰς τὸ σπήλαιον ἀνιμήσατο ἐκ μέσου τοῦ σπηλαίου τὸ φοβερὸν ἐκεῖνον καὶ ὑπέρλαμπρον φῶς καὶ ἀνερχομένης τῆς νεφέλης εἰς τὸν οὐρανὸν ἐγένοντο μεγάλοι σεισμοὶ καὶ ἀστραπαὶ καὶ βρονταὶ καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ ἕκαστος κατὰ τὴν ἰδίαν φωνὴν ἔκραζον· ἅγιος, ἅγιος, ἅγιος Κύριος. Ἐξέστην δὲ ἐγὼ καὶ ἄφωνος ἐγενόμην ἡμέρας πολλὰς καὶ τότε ἐπείσθην ὅτι ὁ δεσπότης Χριστὸς μετὰ νεφέλης πυρὸς ἦλθεν εἰς τὸ σπήλαιον καὶ ἡγίασεν αὐτό. ἐγὼ δὲ ὁ ταλαίπωρος καὶ ἁμαρτωλὸς θαυμάζων πῶς εὐτελὴς καὶ ἁμαρτωλὸς ὢν ἠξιώθην ταῦτα θεάσασθαι· καὶ ἐκτοτέ εἰσιν ἔτη ἑβδομήκοντα ἢ καὶ πλεῖον, ἤμην δὲ τότε ἐτῶν τεσσαράκοντα ὀκτώ. Καὶ ἰδού, πατέρες τίμιοι, ὡς καλοὺς καὶ γνησίους μου ἀδελφοὺς πάντα ὅσα ἔπραξα ἀνήγγειλα ταῦτα ὑμῖν καὶ εἰ μὲν δύνασθε βαστάζειν καὶ ὑπομένειν τοὺς πειρασμοὺς τοῦ διαβόλου καρτερήσατε ἐνταῦθα, εἰ δὲ μὴ δύνασθε, ὁ Κύριος ἐν εἰρήνῃ διαφυλάξει ὑμᾶς. Ταῦτα ἀκούσαντες παρὰ τοῦ ἁγίου ἀνδρὸς ἐκείνου ἐξέστημεν καὶ ἐδοξάσαμεν τὸν θεόν. καὶ ἰδοὺ ἐξαίφνης ἔρχονται οἱ δύο λέοντες ἐκ τῆς ἐρήμου καὶ ἐπιθεὶς αὐτοῖς τὰς χεῖρας εὐλόγει αὐτοὺς καὶ πεσόντες χαμαὶ προσεκύνησαν ἡμᾶς, ἡμεῖς δὲ φοβηθέντες προσεκυνήσαμεν τὸν ἅγιον. ὁ δὲ λέγει ἡμῖν·

---

[1]) Cod. φηνή.

ἐπίθετε [1]) καὶ ὑμεῖς τὰς χεῖρας ἐπ' αὐτοῖς, καὶ ἐπεθήκαμεν τὰς χεῖρας φόβῳ πολλῷ καὶ ὁ Κύριος ἡμέρωσεν αὐτοὺς τοῦ μὴ ἀδικῆσαι ἡμᾶς. Τότε εἴπομεν πρὸς τὸν ἅγιον· δὸς ἡμῖν εὐχὴν καὶ εὐλογίαν, ὅσιε πάτερ, ἵνα ὑποστρέψαντες εἰς τὸν κόσμον ἀπαγγείλωμεν τὰ περί σου καὶ τὴν ἁγίαν σου πολιτείαν κηρύξωμεν πανταχοῦ. ὁ δὲ ποιήσας εὐχὴν ὑπὲρ ἡμῶν καὶ ἀσπασάμενος παρέδοτο [2]) ἡμᾶς τῷ θεῷ τοῦ διασῶσαι καὶ ὁδηγῆσαι ἡμᾶς ἐν παντὶ ὁδῷ, παρέδωκεν δὲ ἡμῖν τοὺς δύο λέοντας τοῦ ἀποσῶσαι ἡμᾶς ἐν ὁδῷ ἱκανῇ καὶ τοῦ θεοῦ συνεργοῦντος ἀπέσωσαν ἡμᾶς οἱ λέοντες ἕως τῆς σκοτεινῆς. Ἰδόντες δὲ ἡμεῖς πάλιν τὴν ἀψῖδα τοῦ Ἀλεξάνδρου καὶ γνωρίσαντες τὸν τόπον κλίναντες τὰς κεφαλὰς αὐτῶν οἱ λέοντες προσεκύνησαν ἡμᾶς καὶ ὑπέστρεψαν πρὸς τὸν ἅγιον. Ὁ δὲ φιλάνθρωπος θεὸς διεφύλαξεν ἡμᾶς ἀκινδύνους ἀπὸ πάντων τῶν ἐθνῶν. καὶ φθάσαντες εἰς τὴν χώραν τῶν Περσῶν εἰσήλθομεν εἰς τὴν πόλιν τὴν καλουμένην Κνησιφὼν καὶ προσεκυνήσαμεν τοὺς ἁγίους τρεῖς παῖδας καὶ περάσαντες τὸν Τίγριν ποταμὸν ἐτύχομεν χριστιανοὺς καὶ ἐρωτήσαντες παρ' αὐτῶν ἀπηγγείλαμεν αὐτοῖς πάντα. καὶ περιπατήσαντες ἐπὶ ἡμέρας τεσσαράκοντα πέντε εἰσήλθομεν εἰς τὴν ἁγίαν πόλιν Ἱερουσαλὴμ καὶ προσκυνήσαντες τὴν ἁγίαν ἀνάστασιν τοῦ Χριστοῦ καὶ τοὺς λοιποὺς ἁγίους καὶ σεβασμίους τόπους ἤλθομεν εἰς τὸ ὄρος τῶν Ἐλαιῶν καὶ ἐξηγησάμενοι τὴν μεγάλην καὶ ἀκατάληπτον δύναμιν τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τοῦ ὁσίου καὶ ἁγίου Μακαρίου τὴν πολιτείαν· καὶ πάντες οἱ ἀκούσαντες ἐδόξασαν τὸν θεὸν καὶ συνέταξαν εἰς βίβλους πᾶσαν τὴν πολιτείαν τοῦ ἁγίου Μακαρίου. καὶ ἐξελθόντες ἐκεῖθεν ἀπήλθομεν εἰς Μεσοποταμίαν τῆς Συρίας εἰς τὸ μοναστήριον ἡμῶν καὶ εἰσελθόντες ἐν τῇ μονῇ προσεκυνήσαμεν πάντας τοὺς ἀδελφοὺς καὶ τὸν ὅσιον ἡγούμενον ἡμῶν Ἀσκλήπιον ἀφηγησάμενοι αὐτοῖς πάντα τὰ καθ' ἡμῶν σὺν ἅμα καὶ τὴν τοῦ ἁγίου Μακαρίου ἔνδοξον πολιτείαν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ αὐτοῦ πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ αὐτοῦ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

---

[1]) Cod. ἐπίθετο. [2]) Cod. παρέθετο.

11. Житiе Зосимы.

Βίος καὶ πολιτεία τοῦ μακαρίου Ζωσίμου καὶ ὅπως ἐδεήθη τοῦ θεοῦ καὶ εἰσῆλθεν πρὸς τοὺς μάκαρας καὶ ἔλαβεν τὰς διοικήσεις αὐτῶν. Μηνὶ Ἰαννουαρίῳ ιθ' [1]).

Κατ' ἐκεῖνον τὸν καιρὸν ἐν [2]) ἐρήμῳ ἦν ἀνὴρ ὀνόματι Ζώσιμος ὃς οὐκ ἔφαγεν ἄρτον ἔτη [3]) τεσσαράκοντα καὶ οἶνον οὐκ ἔπιεν καὶ πρόσωπον ἀνθρώπου οὐχ ἑώρακεν. οὗτος ἦν παρακαλῶν τὸν θεὸν ἵνα ἴδῃ τὴν διοίκησιν τῶν μακάρων [4]). καὶ ἰδοὺ ἄγγελος Κυρίου ἐπέστη αὐτῷ λέγων [5])· Ζώσιμε, ἄνθρωπε τοῦ θεοῦ, ἰδοὺ ἀπεστάλην ἀπὸ τοῦ [6]) θεοῦ τοῦ ὑψίστου εἰπεῖν σοι ὅτιπερ πορεύσῃ πρὸς τοὺς μάκαρας [7]) καὶ οἰκήσῃς μετ' αὐτῶν, ἀλλὰ μὴ ὑψώσῃς [8]) τὴν καρδίαν σου εἰπὼν ὅτι τεσσαράκοντα ἔτη ἄρτον οὐκ ἔφαγον· ὁ γὰρ λόγος τοῦ θεοῦ ὑπὲρ ἄρτον ἐστίν [9]), τὸ γὰρ εἰπεῖν σε [10]) ὅτι πρόσωπον ἀνθρώπου οὐκ εἶδον, ἰδοὺ τὸ πρόςωπον τοῦ μεγάλου βασιλέως Χριστοῦ ἔγγιστά σου [11]). Ὁ δὲ μακάριος Ζώσιμος ἔφη· ἐγὼ [12]) οἶδα ὅτι ὅσα θέλει ὁ Κύριος πάντα [13]) δύναται. ὁ δὲ ἄγγελος ἔφη· γνῶθι καὶ τοῦτο ὅτι πρὸς ἕνα τῶν γημάντων [14]) οὐκ εἶ [15]) ἄξιος, πλὴν ἀναστὰς πορεύου. Ἐγὼ δὲ [16]) Ζώσιμος ἐξελθὼν ἐκ τοῦ σπηλαίου τοῦ θεοῦ μου οὐκ ᾔδειν ποῦ

---

[1]) Varias exscripsi lectiones e codicibus Mosquensibus, qui conservantur in bibl. sanctissimae Synodi (Cnfr. Fr. Matthaei: Accurata codicum graecorum mss. bibl. Mosquens... recensio. Lipsiae 1805). A=351 ineunte s. XV (fol. 353—360), B=290 sec. fere XVI (fol. 112—118). Titul. in A: Βίος καὶ πολιτεία τοῦ μ. Ζ. καὶ ὅπως ἐδεήθην τοῦ θεοῦ καὶ εἰσῆλθον πρὸς τοὺς μακαρίους καὶ ἔλαβον τὰς διοικήσεις αὐτῶν. Εὐλόγησον πάτερ. Longe aliter B: Διήγησις Ζωσίμου μοναχοῦ περὶ τῶν πατέρων ἤτοι τῶν Βρα(χ)μάνων οὓς εὗρεν Ἀλέξανδρος καὶ Φίλιππος (sic) καὶ διελέχθη πρὸς αὐτοὺς γυμνοὺς ὡς ὄφεις ὄντας. δεῖξαι οὖν βούλομαι ἐκ ποίας φυλῆς ἀποσπασθέντες κατῴκησαν τὰς τῶν μακάρων νήσους. [2]) ἐν τῇ B, ὑπῆρχεν ἀνὴρ ἐν ἐρ. A [3]) ἐπὶ ἔτη A, ἄρτον ἕτοιμον omisso τεσσαρ B. [4]) τῶν μακάρων τὴν δ. B [5]) λέγων αὐτῷ B, λ. αὐτόν A. [6]) τοῦ om. A. [7]) μακάρους AB. [8]) ἀλλὰ καὶ μὴ ὑψώσῃ A, ὑψωθῇς τῇ καρδίᾳ μηδὲ εἴπῃς ὅτι B. [9]) ὑπὲρ ἄρτον οὐκ ἔστιν καὶ τὸ πνεῦμα τοῦ θεοῦ ὑπὲρ οἶνον οὐκ ἔστιν B. [10]) σοί B. [11]) τοῦ ὑψίστου βασιλέως ἔγγ. σου A, ἔγ. σου ἦν B. [12]) κἀγώ B. [13]) πάντα om. A. [14]) ἡτοιμάτων A, γιγάντων B. [15]) εἷς B. [16]) καὶ εὐθὺς ἐγώ B.

ἀπέλθω [1]) ἐπὶ ἡμέρας καὶ ὠλιγοψύχησε [2]) τὸ πνεῦμά μου καὶ ἐξελύθη [3]) τὸ σῶμά μου καὶ ἀκηδιάσας ἐκαθέσθην καὶ ἤμην προσευχόμενος ἐν τῷ τόπῳ ἐκείνῳ ἐπὶ ἡμέρας τρεῖς· καὶ ἰδοὺ ἦλθεν ζῶον ἐκ τῆς ἐρήμου ὀνόματι [4]) κάμηλος καὶ θεὶς [5]) τὰ γόνατα αὐτῆς ἔλαβέν με ἐν τῷ τραχήλῳ αὐτῆς [6]) καὶ ἐπορεύθη εἰς τὴν ἔρημον [7]) καὶ ἀπέθετό [8]) με ἐκεῖ καὶ ἦν ὀλολυγμὸς τῶν θηρίων ἐκεῖ πολὺς καὶ βρόμος καὶ ἰὸς θανατηφόρος [9]). φοβηθεὶς δὲ ἐγὼ προσηυξάμην [10]) πρὸς Κύριον· καὶ ἐγένετο σεισμὸς [11]) ἐν τῷ τόπῳ ἐκείνῳ πολὺς μετὰ ἤχου [12]) καὶ ἐφύσησε λαῖλαψ ἀνέμου καὶ ἐκίνησέν με ἀπὸ τῆς γῆς καὶ ὕψωσέ με εἰς τὸ πτερύγιον αὐτοῦ καὶ ἤμην προσευχόμενος σὺν τῷ ἀνέμῳ καὶ οὐκ ᾔδειν ποῦ [13]) ἐπορευόμην· καὶ ἔστησέ με ἐπὶ τοῦ ποταμοῦ καὶ ὄνομα τῷ ποταμῷ Εὔμηλος [14]). καὶ ἰδοὺ βουλομένου μου διέρχεσθαι τὸν ποταμὸν ἐβόησε τὸ ὕδωρ· Ζώσιμε, ἄνθρωπε [15]) τοῦ θεοῦ, οὐ δύνασαι διελθεῖν δι' ἐμοῦ [16]), οὐ γὰρ δύναται ἄνθρωπος τὰ ὕδατά μου διακόψαι, ἀλλὰ κατανόησον [17]) καὶ ἴδε ἀπὸ τῶν ὑδάτων ἕως τοῦ οὐρανοῦ. καὶ κατανοήσας εἶδον τεῖχος νεφέλης κρατουμένης ἀπὸ τῶν ὑδάτων ἕως τοῦ οὐρανοῦ, καὶ εἶπεν ἡ νεφέλη· Ζώσιμε, ἄνθρωπε τοῦ θεοῦ, δι' ἐμοῦ οὐ διέρχεται πετεινὸν ἐκ τοῦ κόσμου τούτου οὐδὲ πνοὴ ἀνέμου οὐδὲ ὁ πειράζων ἐν τῷ κόσμῳ τούτῳ δύναται [18]) διελθεῖν δι' ἐμοῦ [19]). ἐγὼ δὲ ἐξέστην [20]) ἐπὶ τοῖς ῥήμασι τούτοις καὶ ἐπὶ τῇ φωνῇ τῇ λεγούσῃ μοι ταῦτα. Καὶ προσευχομένου μου ἰδοὺ [21]) δένδρα δύο ἀπεφύησαν ἀπὸ τῆς γῆς καλοειδῆ [22]) καὶ εὐπρεπέστατα γέμοντα καρποῦ εὐωδίας [23]) καὶ κλιθὲν τὸ δένδρον τὸ ἐντεῦθεν ἔλαβέ με εἰς τὴν κορυφὴν αὐτοῦ καὶ ἀνυψώθην [24]) σφόδρα καὶ ἐκλίθη ἀναμέσον τοῦ ποταμοῦ καὶ

---

[1]) ἐξῆλθον ἐκ τοῦ σπ. καὶ οὐκ εἶδον ποῦ ὑπάγω B. [2]) ἡμ. οὖν τεσσαράκοντα ὁδεύοντός μου ὠλ. B. [3]) ἐξελύθην (omisso καί) A. [4]) ὄνομα αὐτῷ B. [5]) θήσασα B. [6]) ἐπὶ τὸν τράχηλον αὐτοῦ B. [7]) ἐν τῇ ἐρήμῳ B. [8]) ἀπέθεντο A, ἐπέθετο B. [9]) εἰς τόπον τινὰ καὶ ἦν ἐν τῷ τόπῳ ἐκείνῳ ὀλ. καὶ βρυγμὸς καὶ εἶδος θανατηφόρον. B. [10]) ηὐξάμην AB. [11]) σ. μέγας (loco πολύς) B. [12]) ἤχους B. [13]) ἐπὶ τὴν γῆν καὶ ἤμην προσευχόμενος σὺν τῷ ἀνέμῳ καὶ ὕψωσέν με ἐπὶ τὸ πτερ. αὐτοῦ καὶ οὐκ οἶδον ποῦ B. [14]) ἐπί τινα ποταμὸν καὶ ἦν ὁ ποταμὸς Εὔμηλος A. ἐπὶ ποταμόν, ὄνομα τῷ ποταμῷ ἐκείνῳ Εὐμελής B. [15]) ὕδωρ λέγων· ἄνθρ. B. [16]) μετ' ἐμοῦ A. [17]) κατανόησαι A. [18]) οὔτε πνοὴν ἀνέμου οὔτε αὐτὸς ὁ ἥλιος, ἀλλ' οὐδὲ ὁ πειράζων δύναται B. [19]) μετ' ἐμοῦ A. [20]) ἔστην B. [21]) ἤμην προσευχόμενος καὶ ἰδού B. [22]) καλά A, (ἀνεφύησαν...) καλὰ τῷ εἴδει B. [23]) καρπὸν εὐ. A, καρπὸν εὐωδέστατον B. [24]) ἀνετέθη A, ἀνυψώθη B.

ὑπήντησέ με τὸ ἄλλο [1]) δένδρον καὶ ἐδέξατό με ἐν τοῖς κλάδοις αὐτοῦ καὶ κλιθὲν ἔστησέ [2]) με ἐπὶ τῆς γῆς, καὶ ὑψώθησαν τὰ ἀμφότερα δένδρα καὶ ἔστησάν με ἀπὸ τοῦ ποταμοῦ πέρα [3]). καὶ ἀνεπαυσάμην ἡμέρας τρεῖς ἐν τῷ τόπῳ ἐκείνῳ καὶ πάλιν ἀναστὰς ἐπορευόμην [4]) ὅπου δ' ἂν οὐκ ἐγίνωσκον. Καὶ ἦν ὁ τόπος ἐκεῖνος πλήρης εὐωδίας πολλῆς καὶ οὐκ ἦν ὅρος ἔνθα καὶ ἔνθα, ἀλλ' ἦν [5]) ὁ τόπος ἐκεῖνος ὅλος πεδινὸς ἀνθοφόρος, ὅλος ἐστεφανωμένος [6]) καὶ πᾶσα ἡ γῆ εὐπρεπής. καὶ εἶδον ἐκεῖ ἄνθρωπον [7]) γυμνὸν καθήμενον καὶ εἶπον ἐν ἑαυτῷ· ἄρα μὴ [8]) οὗτός ἐστιν ὁ πειράζων; καὶ ἐμνήσθην τῆς φωνῆς τῆς νεφέλης ὅτι εἶπέν μοι ὅτι οὐ διέρχεται δι' ἐμοῦ οὐδὲ ὁ πειράζων ἐν τῷ κόσμῳ [9]). καὶ οὕτως θαῤῥήσας εἶπον πρὸς αὐτόν [10])· χαίροις, ἀδελφέ. καὶ αὐτὸς εἶπέν μοι· ἡ χάρις τοῦ θεοῦ μετά σου. καὶ πάλιν εἶπον πρὸς αὐτόν· εἰπέ μοι, ἄνθρωπε τοῦ θεοῦ, τίς εἶ; καὶ ἀποκριθεὶς εἶπέν μοι· σὺ γὰρ τίς εἶ; κἀγὼ ἀποκριθεὶς εἶπον αὐτῷ πάντα τὰ περὶ ἐμοῦ· ὅτι ηὐξάμην πρὸς Κύριον καὶ ἤνεγκέ με ἐν τῷ τόπῳ τούτῳ. καὶ ἀποκριθεὶς εἶπέν μοι [11])· κἀγὼ γινώσκω ὅτι ἄνθρωπος τοῦ θεοῦ εἶ, εἰ δὲ μή γε, οὐκ ἂν διῆλθες [12]) τὴν νεφέλην καὶ τὸν ποταμὸν καὶ τὸν ἀέρα· τὸ γὰρ πλάτος τοῦ ποταμοῦ ὡς ἀπὸ μιλίων λ' [13]), ἡ δὲ νεφέλη ἕως τοῦ οὐρανοῦ [14]), τὸ δὲ βάθος τοῦ ποταμοῦ ἕως τῶν ἀβύσσων [15]). Καὶ πληρώσας τὸν λόγον τοῦτον ὁ ἄνθρωπος εἶπεν πάλιν· σὺ ἐκ τῆς ματαιότητος τοῦ κόσμου ἦλθες ὧδε; ἐγὼ δὲ εἶπον αὐτῷ [16])· διὰ τί γυμνὸς εἶ; καὶ πάλιν λέγει· εἰ ἔγνως ὅτι αὐτὸς γυμνὸς ὑπάρχεις; σὺ γὰρ φορῶν δέρματα προβάτων τί ὑπάρχεις; καὶ αὐτὰ φθείρονται σὺν τῷ σώματί σου [17]), ἀλλὰ κατανόησον ἐν τῷ ὑψώματι τοῦ οὐρανοῦ καὶ θέασαι τὸ

---

[1]) ἄλλον B. [2]) ἔθηκε B. [3]) κλιθὲν ἀπέθεντό με ἐπὶ τὴν γῆν καὶ ἔστησέ με ἀπὸ τοῦ ποταμοῦ πέραν καὶ ἀνυψώθησαν αὐτὰ ἀμφότερα A. [4]) ἐπορεύθην καὶ ἀπερχόμην A. [5]) ὄρος ἔνθα, ἀλλ' ὁ τόπος A, ἔνθεν ἢ ἔνθεν B. [6]) ἀνθηφόρος στεφανωμένος A, ὃς ὅλος ἦν πεδινός, ὅλος εὐωδίας μεστός, ὅλος ἀνθοφόρος, ὅλος στεφανωμένος καὶ ἡ γῆ (om. πᾶσα) B. [7]) ἄνθρ. ἐκεῖ A. καὶ ἰδοὺ ἐκεῖ ἄνθρ. γυμ. ἑώρακα B. [8]) μὴ ἄρα AB. [9]) μετ' ἐμοῦ οὔτε ὁ πειράζων ἐν τῷ κόσμῳ τούτῳ A. [10]) εἶπον αὐτῷ B. [11]) περὶ ἐμοῦ καὶ πῶς παρεκάλεσα τὸν θεὸν ἵνα ἴδω τὴν διοίκησιν τῶν μακάρων καὶ ἰδοὺ ἤνεγκέ με ἐν τῷ τόπῳ αὐτοῦ. Καὶ αὐτὸς εἶπέν μοι B. [12]) εἶ τοῦ θεοῦ σύ, ἐπειδὴ ἦλθες B. [13]) τριάκοντα A. [14]) τὸν οὐρανόν B. [15]) τὴν ἄβυσσον B. [16]) αὐτόν A. [17]) καὶ αὐτὸς λέγει· ἔγνω ὅτι γυμνὸς ὑπάρχω. σὺ φορῶν δέρματα τῶν ἐρίφων καὶ σὺν τῷ σώματί σου φθείρονται καὶ αὐτά B.

ἔνδυμά μου ὁποῖόν ἐστιν. καὶ ἐθεασάμην ἐγὼ ἐν τῷ οὐρανῷ καὶ εἶδον [1]) τὸ πρόσωπον αὐτοῦ ὡσεὶ πρόσωπον ἀγγέλου καὶ τὸ ἔνδυμα αὐτοῦ ὡς ἀστραπὴν ἐξ [2]) ἀνατολῶν εἰς [3]) δυσμὰς πορευόμενον καὶ ἐφοβήθην νομίσας [4]) ὅτι ὁ υἱὸς τοῦ θεοῦ ἐστιν καὶ ἐγενόμην ἔντρομος [5]) καὶ ἔπεσον ἐπὶ τὴν γῆν, καὶ δεδωκώς μοι χεῖρα [6]) ἀνέστησέ με λέγων· κἀγὼ εἷς εἰμι τῶν μακάρων, δεῦρο [7]) ἀπάξω σε πρὸς τοὺς πρεσβυτέρους. καὶ κρατήσας τῆς χειρός μου συνπεριεπάτησέν μοι [8]) καὶ ἤγαγέ με ἐπί τινα ὄχλον καὶ ἦσαν ἐν τῷ ὄχλῳ ἐκείνῳ πρεσβύται ὅμοιοι τῷ υἱῷ τοῦ θεοῦ καὶ ἦσαν παριστάμενοι νεανίσκοι τοῖς πρεσβυτέροις. ἀπελθόντος δὲ ἐμοῦ ἔγγιστα αὐτῶν εἶπον [9])· οὗτος ἐκ τῆς ματαιότητος τοῦ κόσμου ἐλήλυθεν [10]), δεῦτε [11]) δεηθῶμεν τῷ Κυρίῳ καὶ φανερώσει ἡμῖν τὸ μυστήριον τοῦτο· μὴ ἄρα τὸ τέλος ἔφθασεν ὅτι ἄνθρωπος τῆς ματαιότητος ἐλήλυθεν ὧδε. καὶ ἀναστάντες ἐδεήθησαν τῷ Κυρίῳ ὁμοθυμαδὸν καὶ ἰδοὺ ἄγγελοι δύο κατέβησαν ἐκ τῶν οὐρανῶν καὶ εἶπον [12])· μὴ φοβηθεῖτε τὸν ἄνδρα διότι ἀπέσταλκεν [13]) αὐτὸν ὁ θεὸς ἵνα ποιήσῃ [14]) ἑπτὰ ἡμέρας καὶ λάβῃ τὰς διοικήσεις ὑμῶν καὶ τότε ἐκπορεύεται [15]) εἰς τὸν τόπον αὐτοῦ. οἱ δὲ ἄγγελοι τοῦ θεοῦ εἰπόντες ταῦτα ἀνέβησαν [16]) εἰς τὸν οὐρανὸν ἐνώπιον τῶν ὀφθαλμῶν ἡμῶν. Τότε παρέδωκάν με [17]) οἱ πρεσβύτεροί τινι τῶν ὑπηρετῶν [18]) λέγοντες· φύλαξον αὐτὸν ἕως ἡμερῶν ἑπτά [19]). παραλαβὼν δέ με ὁ ὑπηρέτης ἀπήγαγεν [20]) εἰς τὸ σπήλαιον αὐτοῦ καὶ ἦμεν ὑποκάτω δένδρων [21]) διοικούμενοι. ἀπὸ γὰρ ἕκτης ὥρας καὶ μετὰ τὴν ἐννάτην τότε ἠσθίομεν [22]) καὶ ὕδωρ ἐξήρχετο ἀπὸ τῆς ῥίζης τοῦ δένδρου [23]) γλυκὺ ὑπὲρ μέλι καὶ ἐπίομεν [24]) πρὸς τὸν κόρον ἡμῶν καὶ πάλιν τὸ ὕδωρ ἐδίδυσκεν [25]) εἰς τὸν τόπον αὐτοῦ.

---

[1]) θεασάμενος ἐγὼ ἐν τ. οὐ. εἶδον B. [2]) ἀπό A. [3]) πρός B. [4]) λογιζόμενος B. [5]) σύντρομος A. [6]) ἐκεῖνος χεῖραν B. [7]) ἀλλὰ δεῦρο B. [8]) κρατ. με τῆς χειρὸς συνπεριεπατήσαμεν B. [9]) εἶπεν B. [10]) ὑπάρχει A, ἐλήλυθεν ὧδε B. [11]) δ. καί B. [12]) ἄγγελος Κυρίου κατέβη ἐκ τ. οὐρ. λέγοντα B. [13]) ἀπέστειλεν A, ἄνδρα τοῦτον, ὁ θεὸς γὰρ ἀπέστειλεν αὐτόν B. [14]) ἵνα π. μεθ᾽ ὑμῶν A. [15]) ἐκπορεύσεται A, ἐκπορεύεται καὶ ἀπελεύσεται (ἐν τῷ τόπῳ) B. [16]) ὁ δὲ ἄγγελος... εἶπον (sic) τ. καὶ ἀνέβη B. [17]) μοί A. [18]) ἐνὶ τ. ὑ. αὐτῶν B. [19]) τῶν ζ′ ἡμ. B. [20]) παρέλαβέν με ὁ ὑπ. ἐκεῖνος καὶ ἀπήγαγέν με B. [21]) ἤμεθα ὑ. τοῦ δένδρου B. [22]) ἕκτης (ὥρας) ἢ ἕως ἐννάτης τότε ἠσθ. τοῦ καρποῦ τῶν δένδρων A, ἕ. ὥρας ἕως ὥρας ἐννάτης ἤμεθα προσευχόμενοι καὶ τότε ἐσθ. B. [23]) ῥίζ. αὐτῶν A. [24]) καλὸν καὶ γλυκὺ ὑπὲρ μέλιτος καὶ ἐπίνομεν B. [25]) ἀπεδίδυσκεν A.

Ἤκουσε δὲ πᾶσα ἡ πατρὶς [1]) ἐκείνη περὶ ἐμοῦ ὅτι ἦλθεν ἄνθρωπος ἐκ τῆς ματαιότητος τοῦ κόσμου ὧδε καὶ [2]) ἐσαλεύθη καὶ ἦλθον ἰδεῖν με ὅτι ξένον αὐτοῖς ἐφάνη. ἦσαν οὖν ἐπερωτῶντές με [3]) πάντα κἀγὼ ἤμην ἀναγγέλλων αὐτοῖς καὶ ὠλιγοψύχησα τῷ πνεύματι καὶ τῷ σώματι καὶ παρεκάλεσα τὸν ἄνθρωπον τοῦ θεοῦ ὑπηρετοῦντά μοι καὶ εἶπον πρὸς αὐτόν [4])· παρακαλῶ σε, ἀδελφέ, ἐὰν ἔλθωσιν ἰδεῖν με ἀνάγγειλον αὐτοῖς ὅτι οὐκ ἔστιν ὧδε, ἵνα ἀναπαύσωμαι [5]) μικρόν. Καὶ ἀνεβόησεν ὁ ἄνθρωπος τοῦ θεοῦ [6])· οἴμοι, ὅτι [7]) ἡ ἱστορία τοῦ Ἀδὰμ ἐν ἐμοὶ ἀνεκεφαλαιώθη· ἐκεῖνον γὰρ διὰ τῆς Εὔας ἠπάτησεν ὁ σατανᾶς καὶ ἐμὲ ὁ ἄνθρωπος οὗτος διὰ τῆς κοιλίας αὐτοῦ ψεύστην ἀπεκατέστησεν. ὄντος αὐτοῦ ὁ δὲ εἶπεν ὅτι ψεῦσαι οὐκ ἔστιν ὧδε [8]) καὶ εἶπεν τοῖς ὄχλοις· ἀπαγάγετε αὐτὸν ἐντεῦθεν ἐπεὶ [9]) φεύξομαι τὴν κώμην [10]), ἰδοὺ γὰρ βούλεται κατασπεῖραι ἐν ἐμοὶ σπέρματα τοῦ κόσμου τῆς ματαιότητος. Καὶ κατεπανέστησάν μοι [11]) πᾶς ὁ ὄχλος καὶ οἱ πρεσβύτεροι καὶ εἶπαν [12])· ἄπελθε ἀφ' ἡμῶν, ἄνθρωπε τοῦ θεοῦ [13]), οὐκ οἴδαμεν πόθεν ἐλήλυθας πρὸς ἡμᾶς. ἐγὼ δὲ ἔκλαυσα κλαυθμῷ μεγάλῳ καὶ ἀπέστη ἀπ' ἐμοῦ ἡ φρόνησις καὶ ἐβόησα πρὸς τοὺς πρεσβυτέρους λέγων· συγχωρήσατέ μοι, κύριοι. καὶ οἱ πρεσβύτεροι κατέπαυσαν [14]) τοὺς νεωτέρους καὶ ἐποίησαν ἡσυχίαν μεγάλην· τότε ἐξηγησάμην αὐτοῖς τὰ ἀπ' ἀρχῆς ἕως τοῦ δευτέρου καὶ ὅτι εἶπον τῷ θεῷ ἐλθεῖν πρὸς ὑμᾶς [15]). Καὶ οἱ πρεσβύτεροι εἶπον· καὶ νῦν τί θέλεις [16]) ποιήσωμέν σοι; ἐγὼ δὲ εἶπον αὐτοῖς· θέλω λαβεῖν ἐξ ὑμῶν τὰς διοικήσεις [17]) ὑμῶν. οἱ δὲ ἐχάρησαν χαρὰν μεγάλην καὶ ἄραντες πλάκας λίθινας [18]) κατέγραψαν τοῖς ὄνυξιν αὐτῶν οὕτως· Ἀκούσατε, ἀκούσατε, υἱοὶ

---

[1]) πατριά B. [2]) ἥτις καί A. [3]) ἐρωτῶντά με A. [4]) τὸν ἄνθ. ἐκεῖνον τὸν ὑπηρ. με καὶ εἶπα B. [5]) ἀναπαύσομαι (omisso ἵνα) A. [6]) θεοῦ ἐκεῖνος καὶ εἶπεν B. [7]) ὅτι om. B. [8]) ψεῦσται οὐκ εἰσὶν ὧδε A, διὰ τῆς μαλακίας αὐτοῦ ψεύστην με ἀπεκατέστησεν· ὄντος γὰρ αὐτοῦ σὺν ἐμοὶ εἶπέ μοι ψεύσασθαι οὐκ ἔστιν ὧδε τοιοῦτον B. [9]) ἐπεὶ ἐγώ A. [10]) τὰ κατ' ἐμοῦ B. [11]) καταπ. με A, τῆς ματαιότητος τοῦ κόσμου αὐτοῦ. Ταῦτα εἶπεν πρὸς τὸν ὄχλον. καὶ ἀκούσας ἅπας B. [12]) εἶπον AB. [13]) ὦ ἄνθρωπε B. [14]) κατ. τοὺς ὄχλους καὶ A, καὶ εὐθὺς κατ. τοὺς ὄχλους καὶ ἡσυχίαν παρέσχον B. [15]) τὰ ἀπ' ἀρ(χῆς) ἠκολουθηκότα μέχρι τέλους καὶ ὅτι ἐδεήθην τοῦ θεοῦ ἐλθεῖν πρὸς ὑμᾶς καὶ ἰδοὺ κατηξίωσέ με ἀκούσας τῆς φωνῆς μου B. [16]) θέλεις ἵνα B. [17]) τὴν διαγωγὴν ὑμῶν καὶ τ. δ. B. [18]) λιθίνους A, λιθίνας (ἔγραψαν) B.

τῶν ἀνθρώπων, ἡμῶν τῶν μακάρων.[1] ὅτι καὶ ἡμεῖς ἐξ ὑμῶν ἐσμεν· ὅτε[2] γὰρ ἐκήρυξεν Ἱερεμίας ὁ προφήτης ὅτι ἡ πόλις ἡμῶν παραδοθήσεται εἰς χεῖρας ὀλοθρευτῶν διέῤῥηξεν αὐτοῦ τὰ ἱμάτια καὶ περιεζώσαντο[3] σάκκον ἐπὶ τὴν ὀσφὺν αὐτοῦ καὶ κατεπάσατο[4] σποδὸν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ καὶ χοῦν ἔβαλεν ἐπὶ τῆς κλίνης αὐτοῦ καὶ εἶπεν πάντα τὸν λαὸν ἀποστρέφειν[5] ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς. ἤκουσεν δὲ ὁ πατὴρ ἡμῶν Ρηχὰβ ὁ υἱὸς Ἀμηναδὰμ[6] καὶ εἶπεν πρὸς ἡμᾶς· ἀκούσατε, υἱοὶ Ρηχάβ, τοῦ πατρὸς ὑμῶν καὶ θυγατέρες ἀποδύσασθε[7] τὰ ἱμάτια ἐκ τοῦ σώματος ὑμῶν καὶ κεράμιον οἴνου οὐ πίεσθε καὶ ἄρτον ἐκ πυρὸς οὐ φάγεσθε καὶ σίκερα καὶ μέλι οὐ πίεσθε ἕως οὗ ἀκούσῃ[8] Κύριος ὁ θεὸς τῆς δεήσεως ὑμῶν. Ἡμεῖς δὲ εἴπομεν αὐτῷ· ὅτι εἴ τι ἐὰν[9] εἴπῃς ἡμεῖς ποιήσομεν. καὶ ἀπεῤῥιψάμεθα ἀπὸ τοῦ σώματος ἡμῶν τὴν περιβολὴν ἡμῶν[10] καὶ οὐκ ἐφάγομεν[11] ἄρτον ἐκ πυρός καὶ οὐκ ἐπίομεν κεράμιον οἴνου οὔτε μέλι καὶ[12] σίκερα καὶ ἐκλαύσαμεν κλα(υ)θμῷ μεγάλῳ καὶ ἐδεήθημεν τοῦ Κυρίου καὶ ἐπήκουσεν τῆς προσευχῆς[13] ἡμῶν καὶ ἀπέστρεψε τὴν ὀργὴν αὐτοῦ ἀπὸ τῆς πόλεως ἡμῶν καὶ ἐγενήθη τῇ πόλει Ἱερουσαλὴμ ἔλεος παρὰ Κυρίου καὶ ἐλέησεν τὸν λαὸν αὐτοῦ καὶ ἀπέστρεψε τὴν ὀργὴν αὐτοῦ τὴν θανατηφόρον καὶ μετὰ ταῦτα ἀπέθανεν ὁ βασιλεὺς τῆς πόλεως Ἱερουσαλὴμ καὶ ἀνέστη βασιλεὺς ἕτερος. καὶ συνηθροίσθη πᾶς ὁ λαὸς πρὸς αὐτὸν καὶ κατάδηλον ἐποίησαν πρὸς αὐτὸν περὶ[14] ἡμῶν καὶ εἶπον[15]· εἰσί τινες ἐκ τοῦ λαοῦ οἵτινες ἤλλαξαν[16] τὴν δόξαν αὐτῶν ἀφ' ἡμῶν[17]. καὶ καλέσας ἡμᾶς ὁ βασιλεὺς ἐπηρώτησεν[18] ἡμᾶς· τίνος ἐστὲ καὶ ποίας πατριᾶς[19]; καὶ εἴπομεν αὐτῷ· ἡμεῖς ἐκ τοῦ λαοῦ ἐσμεν παῖδές

---

[1]) οἱ υἱοὶ τ. ἀν., ἀκούσατε ἡμῶν τῶν λεγομένων μ. B. [2]) καὶ ὅτε B. [3]) διέῤῥηξαν αὐτοί... περιεβάλλοντο A, ἐθνῶν ὀλοθρευόντων διαῤῥήξας τὰ ἱμάτια αὐτοῦ ὁ βασιλεὺς καὶ περιεζωσάμενος B. [4]) κατεπάσαντο A. [5]) παντὶ τῷ λαῷ τοῦ ἀποστρέφειν A, ἐπέθηκε χοῦν ἐπὶ τὴν κεφαλὴν καὶ εἶπεν παντὶ τῷ λαῷ αὐτοῦ ἀπ. B. [6]) Ραχὰμ (passim) υἱός Ἰοναδάμ B. [7]) αἱ θυγ. ὑποδύσασθε A, αἱ θ. ἀπ. B. [8]) εἰσακούσῃ B. [9]) ἄν B. [10]) ἀπεῤῥίψαμεν ἐκ τοῦ σ. ἡμῶν τὰς περιβολάς B. [11]) ἐφάγαμεν A. [12]) οὔτε A, ἐκ πυρὸς καὶ σίκερα καὶ μέλι οὐκ ἐπίομεν B. [13]) τοῦ θεοῦ καὶ εἰσήκουσε τῆς δεήσεως B. [14]) τὰ περί B. [15]) εἶπον· ὅτι B. [16]) ἠλλάξαντο B. [17]) ἡμῶν. κάλεσον οὖν αὐτοὺς καὶ ἀναγγειλάτωσαν ἕνεκεν τίνος πεποιήκασι τοῦτο B. [18]) καὶ μετακαλέσατο ἡμᾶς ὁ βασιλεὺς καὶ ἐπερώτησεν B. [19]) πατρίδος B.

σου ἐκ πόλεως Ἱερουσαλήμ. καὶ εἶπεν ὁ βασιλεύς· καὶ τίνος ἐστὲ ὑμεῖς; καὶ εἴπομεν αὐτῷ· οἱ υἱοί ἐσμεν τοῦ παιδός σου, πατὴρ δὲ ἡμῶν Ρηχὰβ ὁ υἱὸς Ἀμηναδάμ. Καὶ ὅτε [1]) ἐκήρυξεν Ἱερεμίας ὁ προφήτης; ζῶντος τοῦ πατρός σου, βασιλεῦ [2]), ἐν τῇ πόλει Ἱερουσαλήμ· ὅτι ἔτι τρεῖς ἡμέραι καὶ εὐθὺς ἡ πόλις [3]) θανατωθήσεται. Ἀκούσας [4]) δὲ ὁ βασιλεὺς μετέγνω ἐν ταῖς ἁμαρτίαις αὐτοῦ [5]) καὶ ἐξέθετο δόγμα πᾶσιν [6]) ἀποστρέψαι ἕκαστον ἀπὸ τῆς ὁδοῦ αὐτῶν τῆς πονηρίας [7]). Ἀκούσας δὲ ὁ πατὴρ ἡμῶν Ρηχὰβ ἐνετείλατο ἡμῖν [8]) λέγων· κεράμιον οἴνου οὐ πίεσθε καὶ ἄρτον ἐκ πυρὸς οὐ φάγεσθε ἕως οὗ εἰσακούσῃ Κύριος τῆς δεήσεως ὑμῶν. ἡμεῖς δὲ ἠκούσαμεν τῆς ἐντολῆς αὐτοῦ καὶ ἐγυμνώσαμεν τὰ σώματα ἡμῶν καὶ κεράμιον οἴνου οὐκ ἐπίομεν καὶ ἄρτον ἐκ πυρὸς οὐκ ἐφάγομεν καὶ προσευξάμεθα [9]) πρὸς Κύριον περὶ τῆς πόλεως Ἱερουσαλήμ [10]), καὶ ἠλέησε Κύριος τὸν λαὸν αὐτοῦ καὶ ἀπέστρεψε τὴν ὀργὴν αὐτοῦ καὶ εἴδομεν ὅτι ἡδύνθη [11]) ἡ ψυχὴ ἡμῶν καὶ καλόν ἐστιν εἶναι ἡμᾶς [12]) οὕτως. Καὶ εἶπεν ὁ βασιλεὺς πρὸς ἡμᾶς· καλῶς πεποιήκατε, νῦν δὲ καταμίχθητε καὶ δοξάσατε τὸν Κύριον [13]) καὶ ἔστε ὑπακούοντες θεῷ [14]) καὶ βασιλεῖ. ἡμεῖς δὲ εἴπομεν ὅτι οὐ μὴ παρακούσομεν τὴν ἐντολὴν [15]) τοῦ πατρὸς ἡμῶν. Τότε ὀργισθεὶς ὁ βασιλεὺς ἔθετο [16]) ἡμᾶς εἰς φυλακήν [17])· καὶ ἰδοὺ φῶς ἔλαμψεν ἐν τῇ φυλακῇ καὶ παρεγένετο ἄγγελος Κυρίου καὶ κατέστρεψε τὸ οἴκημα καὶ ἐκράτησεν τῆς χειρὸς ἡμῶν [18]) καὶ ἐξήγαγεν ἡμᾶς ἐκ [19]) τῆς φυλακῆς καὶ ἔθετο ἡμᾶς εἰς ἀέρα καὶ ἤγαγεν ἡμᾶς πρὸς τὸ ὕδωρ [20]) τοῦ ποταμοῦ καὶ εἶπεν πρὸς ἡμᾶς·

---

[1]) A: ὅτε omisso καί. [2]) βασιλεύς A. [3]) ἡ Ἱερουσαλὴμ ἡ π. A. [4]) ἀκούων A. [5]) τίνος οἱ υἱοὶ ἐστε; ἡμεῖς δὲ εἴπομεν· υἱοὶ ἐσμεν παιδὸς τοῦ πατρὸς ἡμῶν Ραχάμ, υἱοὶ υἱῶν Ἀβαλά· τότε ἐκήρυξεν Ἰ. ὁ πρ. Ζ. τοῦ π. τοῦ βασιλέως, ἐκήρυξεν θάνατον τῇ πόλει Ἱερουσαλήμ· ὅτι ἔτι τρεῖς ἡμ. καὶ πᾶσα ἡ πόλις θαν. καὶ εὐθὺς ὁ βασιλεὺς μ. ἐπὶ ταῖς ἁμ. ἡμῶν B. [6]) πᾶσιν om. A, π. τοῦ B. [7]) πονηρᾶς AB. [8]) ἡμῶν B. [9]) ἐφάγαμεν καὶ προσηυξάμεθα A. [10]) πόλ. ἡμῶν B. [11]) ὠδυνήθη A, ἐδυνήθην B. [12]) ἡμᾶς εἶναι A, ἡμῶν ἐποιήσαμεν καὶ εἴπομεν· καλὸν ἡμᾶς εἶναι B. [13]) νῦν οὖν κατ. τῷ λαῷ μου καὶ φάγετε ἄρτον καὶ πίετε οἶνον καὶ δοξάσατε τὸν θεὸν ὑμῶν B. [14]) τῷ θεῷ AB. [15]) τῆς ἐντολῆς B. [16]) ἔθεντο A. [17]) ἐν τῇ φυλακῇ καὶ ἡμεῖς ἦμεν διανυκτερεύοντες τῇ νυκτὶ ἐκείνῃ B. [18]) ἐν τῷ οἰκήματι ἐκείνῳ καὶ παραγένετο ὁ ἄγγ. Κ. καὶ ἀπετάγησαν τὴν φυλακὴν καὶ ἥψατο τῆς κορυφῆς ἡμῶν B. [19]) ἔξω B. [20]) τὸν ἀέρα καὶ ἤνεγκεν ἡμᾶς ἐπὶ τὸ ὕδωρ B, εἰς τὸ ὕδ. A.

ὅπου πορεύεται τὸ ὕδωρ [1]) πορεύεσθε. καὶ ἐβαδίσαμεν [2]) ἐν τῷ ὕδατι [3]) σὺν τῷ ἀγγέλῳ. ὅτε οὖν [4]) ἤγαγεν ἡμᾶς εἰς τὸν τόπον τοῦτον παραχρῆμα ἐψύγη ὁ ποταμὸς καὶ ἀπώλετο τὸ ὕδωρ ἀπὸ [5]) τῆς ἀβύσσου καὶ περιετείχισε τὴν πατρίδα ταύτην [6]). Ἀκούσατε, ἀκούσατε, οἱ υἱοὶ [7]) τῶν ἀνθρώπων, τὴν διοίκησιν τῶν μακάρων· ἔθετο [8]) γὰρ ἡμᾶς ὁ θεὸς ἐπὶ τῆς γῆς ταύτης, καὶ γάρ ἐσμεν [9]) ἀναμάρτητοι, οὐ γὰρ ἀθάνατοι [10]). ἀνέτειλεν [11]) γὰρ ἡμῖν [12]) καρπὸν εὐωδίας καὶ ἐξέρχεται ἀπὸ τῆς ῥίζης τῶν δένδρων ὕδωρ γλυκύτερον ὑπὲρ μέλι [13]) καὶ τοῦτο [14]) ἡμῖν [15]) ἐστι βρῶσις καὶ πόσις. ἐσμὲν δὲ [16]) προσευχόμενοι νυκτὸς καὶ ἡμέρας [17])· πᾶσα οὖν [18]) ἡ σπουδὴ ἡμῶν τοῦτό ἐστιν. παρ' ἡμῖν γὰρ ἄμπελος οὐκ ἔστιν οὔτε ἔργον τῶν ξύλων οὔτε σιδήρου οὔτε οἶκός ἐστιν ἡμῖν οὔτε [19]) οἰκοδομὴ οὔτε ξύλον οὔτε πῦρ οὔτε ξίφος οὔτε ἀργὸς σίδηρος οὔτε εἰργασμένος [20]) οὔτε χρυσίον οὔτε ἀργύριον οὔτε ἀὴρ βαρύτατος. εἰσὶ δέ τινες ἐξ ἡμῶν λαμβάνοντες ἑαυτοῖς [21]) γυναῖκας ἕως οὗ ποιήσωσι δύο τέκνα καὶ μετὰ τὸ ποιῆσαι τὰ δύο τέκνα ἀφίστανται ἀφ' ἑαυτῶν [22]) καὶ εἰσὶν ἐν ἁγνείᾳ μὴ γινώσκοντες ὅτι ἦσάν ποτε ἐν συνηθείᾳ τοῦ γάμου, ἀλλ' ὅτι [23]) ἀπ' ἀρχῆς ἐν παρθενίᾳ ὑπάρχοντες. καὶ μένει τὸ ἓν τέκνον εἰς τὸν γάμον, τὸ δὲ ἓν [24]) ἐν τῇ παρθενίᾳ. Καὶ οὐκ ἔστιν ἐν ἡμῖν ἀριθμὸς χρόνων [25]) καὶ ἑβδομάδων καὶ μηνῶν καὶ ἐνιαυτῶν [26]), πᾶσα γὰρ ἡμέρα ἡμῶν μία ἐστίν. ἐπὶ δὲ τῶν σπηλαίων ἡμῶν ἀπόκεινται φύλλα τῶν [27]) δένδρων μεγάλα ὡσὰν τῶν ὑφαινόντων [28]) ταχὺ μὴ διαφθειρόμενα καὶ αὕτη ἐστὶν ἡ κοίτη ἡμῶν ὑποκάτω [29])

---

[1]) ὕδωρ ἐκ τοῦ ποταμοῦ A, ὕδ. τοῦ ποταμοῦ πορεύεσθε καὶ ὑμεῖς B. [2]) βαδίσαμεν B. [3]) τὸ ὕδωρ A. [4]) ὁποῦν A, καὶ ὅτε B. [5]) παρά A. [6]) τόπον τοῦτον ἐφρίγη ὁ ποταμὸς καὶ ἀπάλετο (=ώλ-) τὸ ὕδωρ καὶ ἐῤῥάγη ὁ τόπος καὶ ἀνῆλθεν ὕδωρ ἀπὸ τῆς ἀβύσσου καὶ ἐτείχισεν τὴν πατρίδα ταύτην καὶ ἦλθεν τύπος νεφέλης καὶ ἐπεσκίασεν ἐπάνω τοῦ ὕδατος καὶ οὐκ ἔσπειρεν ἡμᾶς ἐπὶ πᾶσαν τὴν γῆν, ἀλλ' ἔδωκεν ἡμῖν τὴν πατρίδα ταύτην B. [7]) Ἀκούσατε, υἱοὶ A, Ἀκ. οἱ υἱοὶ τῶν ἀνθρ., ἀκούσατε B. [8]) ἔθεντο A. [9]) ἔθετο γοῦν ὁ θ. ἐν τῷ τόπῳ τούτῳ ἡμᾶς καί ἐσμεν B. [10]) ἀθ. ἐσμεν B. [11]) ἐνετείλατο A. [12]) (ἀν.) δὲ ἡ γῆ B. [13]) γλυκερὸν ὑ. μέλιν A, γλ. μέλιτος B. [14]) ταῦτα B. [15]) ἡμῶν A. [16]) γάρ A. [17]) ἡμέρας καὶ νυκτός A. [18]) καὶ πᾶσα B. [19]) ἐν ἡμῖν οὐδέ A. [20]) ἐργασία B. [21]) ἑαυτῶν A. [22]) ποιήσ. δύο τέκνα καὶ τότε ἀφίστανται ἀπ' ἀλλήλων B. [23]) ἀλλ' ὡς B. [24]) ἕτερον AB. [25]) καὶ χρ. A. [26]) οὔτε ἑβδομάδος οὔτε μὴν οὔτε ἐνιαυτοί B. [27]) ἀπὸ τῶν B. [28]) φαινόντων A, ὑφανόντων (παχεῖα) B. [29]) διαφθ. πώποτε καὶ ἔστιν ἡμῖν ἡ οἴκησις ὑποκ. B.

τῶν δένδρων. οὐκ ἐσμὲν δὲ [1]) γυμνοὶ τῷ σώματι ὡς διαλογίζεσθε ὑμεῖς, ἔχομεν γὰρ τὸ ἔνδυμα τῆς δικαιοσύνης καὶ οὐκ αἰσχυνόμεθα ἀλλήλους [2])· ἕκτῃ δὲ ὥρᾳ ἐσθίομεν· κατέρχεται γὰρ [3]) καρπὸς τῶν δένδρων ἐν τῇ ἕκτῃ ὥρᾳ, ἀφ' ἑαυτοῦ καὶ ἐσθίομεν καὶ πίνομεν πρὸς τὸν κόρον ἡμῶν καὶ πάλιν τὸ ὕδωρ διδύσκει [4]). οἴδαμεν δὲ καὶ ὑμᾶς τοὺς ἐν τῷ κόσμῳ τοὺς δικαίους καὶ τοὺς ἐν ἁμαρτίαις ὄντας καὶ τὰ ἔργα ὑμῶν ὅτι καθ' ἑκάστην ἡμέρας [5]) οἱ ἄγγελοι τοῦ θεοῦ ἔρχονται καὶ λέγουσιν ἡμῖν καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν ὑμῶν [6]) καὶ εὐχόμεθα πρὸς τὸν θεὸν [7]) ὑπὲρ ὑμῶν ὅτι καὶ ἡμεῖς ἐξ ὑμῶν ἐσμεν, ἀλλ' ὅτι ἐξελέξατο ἡμᾶς ὁ θεὸς καὶ ἔθετο [8]) ἡμᾶς ἐν τῷ τόπῳ τούτῳ ἀναμαρτήτους καὶ οἱ ἄγγελοι τοῦ θεοῦ οἰκοῦσιν μεθ' ἡμῶν καὶ χαίρομεν μετὰ τῶν ἀγγέλων ἐπὶ τὰ ἔργα τῶν δικαίων, ἐπὶ δὲ τὰ ἔργα τῶν ἁμαρτωλῶν λυπούμεθα καὶ κλαίοντες προσευχόμεθα πρὸς τὸν θεὸν ἵνα [9]) παύσητε [10]) τῆς ὁρμῆς τῶν ἁμαρτημάτων [11]) ὑμῶν. ὅτε δὲ ἔρχεται ὁ χρόνος τῆς τεσσαρακοστῆς [12]) πάντα παύονται τὰ δένδρα ἀπὸ τῶν καρπῶν [13]) καὶ βρέχει τὸ μάννα ἐκ τοῦ οὐρανοῦ ὅπερ ἔδωκε τοῖς πατράσιν ἡμῶν ἐν τῇ ἐρήμῳ καὶ ἔστι τὸ μάννα ὑπὲρ τὸ μέλι γλυκύ, καὶ οὕτως [14]) γινώσκομεν ὅτι ἤλλακται ὁ καιρὸς τοῦ ἐνιαυτοῦ [15]). Ὅταν δὲ ἔλθῃ τὸ Πάσχα, τότε πάλιν τὰ δένδρα ἀνατέλλει τὸν καρπὸν αὐτῶν, καὶ οὕτως γινώσκομεν ὅτι ἀρχὴ τοῦ ἐνιαυτοῦ ἐστιν. ἡ δὲ ἑορτὴ τῆς ἀναστάσεως ἀγρυπνία ἐστίν [16])· ἐσμὲν γὰρ ἀγρυπνοῦντες ἡμέρας τρεῖς. Οἴδαμεν δὲ καὶ τὸν χρόνον ἡμῶν τῆς τελειώσεως [17]), οὐ γάρ ἐστιν αἰκισμὸς καὶ βάσανος καὶ ὄκλασις τῷ σώματι ἡμῶν καὶ ἀκηδία, ἀλλ' ἐστὶν εἰρήνη καὶ ἀναίτωσις [18])

---

[1]) γάρ A, om. B. [2]) ἀλλήλοις οὐκ αἰσχ. B. [3]) κατ. δὲ ὁ. A. [4]) ἐνδιδύσκεται εἰς τὸν τόπον αὐτοῦ B. [5]) οἴδ. δὲ καὶ ὑμᾶς τοὺς ἁμαρτωλούς, ἀλλὰ καὶ τὰ ἀγαθὰ ὑμῶν γινώσκομεν, καθ' ἑκ. γὰρ ἡμ. B. [6]) καὶ ἀναγγέλλουσιν ἡμῖν πάντα, ἀλλὰ καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν οὐκ ἀγνοοῦμεν B. [7]) θεὸν ἡμῶν A. [8]) ἔθεντο B. [9]) ὅπως A. [10]) παύσησθε B. [11]) ἁμαρτιῶν B. [12]) ὅταν δέ... τῆς ἁγίας τεσ. B, σαρακοστῆς A. [13]) τῶν κ. (omisso ἀπό) A. [14]) ἔστι δὲ τὸ μάννα τοῦ μέλιτος γλυκύτερον παρὰ πᾶσι καὶ ἐκ τούτου B. [15]) χρόνου A. [16]) ἤλ. ὁ καιρὸς τῶν νηστειῶν. τῇ δὲ ἑορτῇ τῆς Χριστοῦ ἀναστάσεως πάλιν ἀνατέλλουσιν τὸν καρπὸν τῆς εὐωδίας καὶ τότε γινώσκομεν τὸν χρόνον ὅτι ἀρχὴ ἐνιαυτοῦ ἐστιν καὶ ἀγρυπνία γίνεται ἐφ' ἡμέρᾳ τῆς Χριστοῦ ἀναστάσεως B. [17]) ἡμ. γ΄ καὶ νύκτας γ΄, ἀλλὰ καὶ τὸν χρόνον τῆς τ. οὐκ ἀγνοοῦμεν B. [18]) ἄνεσις A, οὔτε βάσανος οὔτε κόπος τῶν σωμάτων ἡμῶν οὔτε ἀκηδία οὔτε ἀῤῥωστία, ἀλλὰ εἰρήνη καὶ ἀγάπη B.

πολλή· οὔτε γὰρ ἄχθεται [1]) ἡ ψυχὴ ἡμῶν τοῦ ἐξελθεῖν ὑπὸ ἀγγέλων [2]), χαίρουσι γὰρ οἱ ἄγγελοι [3]) ὅταν παραλαμβάνουσιν ἡμᾶς, χαίρουσι δὲ καὶ αἱ ψυχαὶ ἡμῶν σὺν τοῖς ἀγγέλοις ὅταν βλέπωσιν [4]) αὐτούς. ὥσπερ δὲ ἐκδέχεται νύμφη τὸν νυμφίον, οὕτως ἐκδέχεται καὶ ἡ ψυχὴ τὸν καλὸν εὐαγγελισμὸν τῶν ἁγίων ἀγγέλων [5]) οὐδὲν περισσὸν λέγοντες εἰ μὴ τοῦτο· καλεῖ [6]) σε ὁ Κύριος. τότε ἡ ψυχὴ ἐξέρχεται ἐκ τοῦ σώματος καὶ προσέρχεται τοῖς ἀγγέλοις, καὶ ἰδόντες τὴν ψυχὴν ἄσπιλον ἐξερχομένην χαίρουσιν οἱ ἄγγελοι καὶ ἁπλώσαντες τὰς στολὰς αὐτῶν δέχονται αὐτὴν λέγοντες [7])· μακαρία ἐσύ [8]), ψυχή, ὅτι ἐπλήρωσας τὸ θέλημα τοῦ θεοῦ [9]). Ὁ δὲ χρόνος ἡμῶν [10]) οὗτός ἐστιν πάντοτε· τοῦ ἐξερχομένου ἐκ τοῦ σώματος αἱ ἡμέραι τῆς ζωῆς αὐτοῦ ἐντεῦθεν ἔτη ἑπτακόσια ὀγδοήκοντα ὀκτώ, δεδήλωνται δὲ ἡμῖν ὑπὸ τῶν ἁγίων ἀγγέλων αἱ ἡμέραι τῆς συμπληρώσεως ἡμῶν [11]). ὅταν γὰρ ἔλθωσιν οἱ ἄγγελοι οὗτοι λαβεῖν [12]) ἡμᾶς, πορευόμεθα πρὸς τοὺς πρεσβυτέρους καὶ οἱ πρεσβύτεροι ἰδόντες τοὺς ἀγγέλους [13]) συνάγουσι πάντα τὸν λαὸν καὶ ἀπερχόμεθα μετὰ τῶν ἀγγέλων ψάλλοντες ἕως [14]) ἀπέλθωσιν οἱ ἄγγελοι ἐπὶ τὸν τόπον τῆς κατοικήσεως [15]) ἡμῶν· διὰ δὲ τὸ μὴ ἔχειν ἡμᾶς σκεύη [16]) οἱ ἄγγελοι τοῦ θεοῦ δι' ἑαυτῶν ποιοῦσι τὴν θήκην τοῦ σώματος ἡμῶν, καὶ οὕτως ἀνέρχεται πρὸς τὸν θεὸν ὁ καλούμενος [17]) πάντες δὲ ἀσπαζόμεθα [18]), αὐτὸν ἀπὸ μικροῦ ἕως μεγάλου προπέμποντες καὶ συντασσόμενοι [19]). ἡμεῖς δὲ θεωροῦμεν τὸ εἶδος τῆς ψυχῆς ὡς εἶδος φωτὸς πλῆρες πεπληρωμένον. ὅτε οἱ ἄγγελοι λαμβάνουσι τὴν ψυχὴν καὶ ᾄδουσι σὺν αὐτοῖς ᾆσμα [20]) καὶ ὕμνον

[1]) ὠχθηται A. [2]) ἀπὸ ἀγγέλου A, ὀχλοῦνται αἱ ψυχαὶ ὑπὸ τῶν ἁγίων ἀγγ. ἐξ. B. [3]) κἀκεῖνοι B. [4]) βλέπουσιν AB. [5]) ἐκδέχονται αἱ ψυχαὶ ἡμῶν ὑπὸ τῶν ἁγίων ἀγγ. B. [6]) ἀλλ' ἢ τοῦτο μόνον· ὅτι καλεῖ B. [7]) ἀπὸ τοῦ σώματος καὶ προσδέχονται αὐτὴν οἱ ἄγγελοι ἄσπ. ἐξερχομένη(ν) καὶ τὰς στολὰς αὐτῶν ὑφαπλοῦντες δέχ. αὐτ. καὶ μακαρίζουσιν λέγοντες B. [8]) εἶ σύ B. [9]) Hic desinit A. τὸ θ. τοῦ θ. ἐπλήρ. ἐν σοί B. (quae abinde sequuntur in notis desumpta sunt ex B). [10]) τῆς ζωῆς ἡμῶν (...πάντοτε om.). [11]) ὁ μὲν ἐκ νεότητος ἐξερχόμενος ἐκ τοῦ σώματός ἐστιν ἡ ζωὴ αὐτοῦ ἐνταῦθα τριακόσια καὶ ἓξ ἔτη, ὁ δὲ ἐν γήρατι ἐξερχόμενός εἰσιν ἔτη ψπη'. δηλοῦνται δὲ ἡμῶν αἱ ἡμέραι ὑπὸ τῶν ἁγ· ἀγγ. τῆς τελειώσεως ἡμῶν τῶν καιρῶν. [12]) ὅτε... οἱ ἅγιοι ἄγγ. τοῦ λαβεῖν. [13]) τοὺς ἁγίους ἀγγ. [14]) ἕως ἄν. [15]) κατοικίας. [16]) σκεῦός τι ἡμᾶς. [17]) ποιοῦντες τὴν τοῦ σώματος ἡμῶν κατοίκησιν καὶ κατέρχεται ὁ καλούμενος ὑπὸ τοῦ θεοῦ. [18]) συνᾳσόμεθα δὲ πάντες καὶ ἀσπ. [19]) συν(τ)ασσόμενοι. τότε ἡ ψυχὴ ἐξέρχεται ἐκ τοῦ σώματος καὶ ἀσπάζονται αὐτὴν οἱ ἅγιοι ἄγγελοι. [20]) φωτὸς πεπληρωμένου καθ' ὅλου τοῦ σώματος. Τότε οἱ ἄγγελοι λαλοῦσιν ᾆσμα.

ψάλλοντες τῷ θεῷ καὶ πάλιν ἄλλα τάγματα τῶν ἀγγέλων μετὰ σπουδῆς ἀπαντῶσι τὴν ψυχὴν εἰς τὰ στερεώματα τοῦ οὐρανοῦ. καὶ ὅτε ἔλθῃ εἰς τὸν τόπον [1]), ἐν ᾧ δεῖ προσκυνεῖν τὸν Κύριον, αὐτὸς ὁ υἱὸς τοῦ θεοῦ μετὰ τῶν ἀγγέλων αὐτοῦ δέχεται τὴν ψυχὴν τοῦ μάκαρος καὶ προσφέρει τῷ ἀχράντῳ πατρί [2]). καὶ πάλιν ὅταν [3]) ψάλλωσιν οἱ ἄγγελοι ἄνω καὶ ἡμεῖς κάτω ὑπακούομεν [4]) καὶ ὅταν ψάλλωμεν πάλιν ἡμεῖς αὐτοὶ ὑπακούουσιν [5]). ὅταν δὲ ἡ ψυχὴ τοῦ μάκαρος πεσοῦσα προσκυνεῖ τὸν Κύριον, τότε καὶ ἡμεῖς πεσόντες προσκυνοῦμεν τὸν Κύριον. καὶ ὅτε ἀνίσταται καὶ ἡμεῖς ἀνιστάμεθα καὶ ὅτε ἀπέρχεται εἰς τὸν ὡρισμένον τόπον καὶ ἡμεῖς ἀπερχόμεθα εἰς τὴν ἐκκλησίαν πληροῦντες τὴν εὐχαριστίαν τῷ Κυρίῳ.

Ταῦτα τοίνυν γράψαντες καὶ πᾶσαν τὴν διοίκησιν ἡμῶν ἐδώκαμεν [6]) τῷ ἀδελφῷ ἡμῶν Ζωσίμῳ καὶ προπέμψαμεν αὐτὸν ἕως τοῦ τόπου τῶν δικαίων πρὸς τῷ στάμνῳ. Ἐγὼ δὲ Ζώσιμος ἐδεήθην τῶν μακάρων ἵνα δεηθῶσι τῷ Κυρίῳ ὑπὲρ ἐμοῦ καὶ δέξωνταί με πάλιν τὰ δένδρα [7]) τοῦ περᾶσαί με. Καὶ κράξαντες πρὸς Κύριον εἶπον· ὁ θεὸς ὁ δείξας ἡμῖν τὰ θαυμάσιά σου καὶ ποιήσας ἐλθεῖν τὸν δοῦλόν σου Ζώσιμον πρὸς ἡμᾶς ἐκ τῆς ματαιότητος τοῦ κόσμου [8]) πάλιν ἀποκατάστησον αὐτὸν εἰς τὸν τόπον αὐτοῦ [9]). Καὶ πληρωσάντων αὐτῶν τὴν εὐχὴν εὐθέως ἔκλιναν τὰ δένδρα [10]) καὶ ἐδέξαντό με καθὼς τὸ πρότερον καὶ ηὐξάμην [11]) κἀγὼ πρὸς Κύριον καὶ ἦλθε λαῖλαψ ἀνέμου [12]) καὶ ἔλαβέν με ἐπὶ τὸ πτερύγιον αὐτοῦ καὶ ἤγαγέν με ἕως τοῦ τόπου οὗ εὗρεν [13]). καὶ ἄρας φωνὴν εἶπεν ὁ ἄνεμος· μακάριος εἶ, Ζώσιμε, ὅτι κατηριθμήθης

---

[1]) ἀπαντῶσι ἀσπαζόμενοι ταύτην προσδεχόμενοι ἐπὶ τὰ στερεώματα. καὶ ὅτε ἐπέλθῃ εἰς τὸν τόπον ἐκεῖνον. [2]) ἀποφέρει αὐτὴν πρὸς τὸν ἄχραντον πατέρα τὸν αἰώνιον [3]) ὅτε. [4]) κάτω ὄντες ἀκούομεν. [5]) ὑπ. ἡμῶν ἐν τῷ οὐρανῷ καὶ οὕτως ἀναμέσον ἡμῶν καὶ (cod. οἱ) τῶν ἀγγέλων ἀνέρχεται ἡ δόξα τῆς ὑμνῳδίας ἡμῶν. [6]) διοίκησιν τῶν μακάρων δεδώκαμεν. [7]) δένδρη. [8]) τοῦ δούλου σου τοῦ Ζ... ἐκ τοῦ κόσμου τοῦ ματαίου. [9]) αὐτοῦ. ἐν εἰρήνῃ οὖν κέλευσον κλιθῆναι τὰ δένδρη εἰς τὸ περᾶσαι αὐτόν. [10]) πληρώσαντες τὴν εὐ. εὐθ. ἔκλιναν τὰ δένδρη τὰ τρία ἐνώπιον αὐτῶν. [11]) πρότερον. καὶ σταθεὶς περὶ τοῦ ποταμοῦ ἔκραξαν (=ἔκραξα) φωνὴν μεγάλην· οἱ υἱοὶ τῆς δικαιοσύνης, οἱ ὄντες ἀδελφοὶ τῶν ἀγγέλων, δότε μοι εὐχὴν μετ᾿ εἰρήνης, ἰδοὺ γὰρ πορεύομαι ἀφ᾿ ὑμῶν. καὶ ποιήσαντες προσευχὴν ἔκραξαν λέγοντες· εἰρήνη, εἰρήνη, εἰρήνη σοι, ἀδελφέ. Τότε ηὐξάμην. [12]) ὁ λαῖλαψ τοῦ ἀνέμου. [13]) αὐτοῦ καὶ εἵλκυσέ με καὶ ἦρέ με ἕως τόπου ὅπου εὗρέ με τὸ πρότερον καθήμενον, καὶ ἀνέλυσάν με μετ᾿ εἰρήνης.

μετὰ τῶν μακάρων. Καὶ ἦλθεν τὸ ζῶον τῆς ἐρήμου ὀνόματι [1]) κάμηλος καὶ ἔλαβέν με ἐπὶ τὸν τράχηλον αὐτοῦ καὶ ἔθηκέν με εἰς τὸν τόπον ὅπου εὗρεν καὶ ἀπέλυσεν ἐν εἰρήνῃ λέγων [2])· μακάριος εἶ, Ζώσιμε, ὅτι συγκατηριθμήθης μετὰ τῶν [3]) μακάρων. Ἰδὼν δέ με ἐγκωμιαζόμενον διάβολος ἠθέλησέν με πειρᾶσαι. καὶ ἦλθεν ἄγγελος [4]) Κυρίου καὶ εἶπέν μοι· Ζώσιμε, ἰδοὺ ἔρχεται διάβολος [5]) τοῦ πειρᾶσαί σε, ἀλλ' ἔσεται [6]) πολεμῶν ὑπέρ σου Κύριος [7]). Καὶ ἐφάνη αὐτῷ πάλιν ἕτερος ἄγγελος Κυρίου κράζων καὶ λέγων· καλῶς ἦλθες, μάκαρι, τοῦ Κυρίου γνήσιε δοῦλε, δεῦρο [8]) ἀπάξω σε ἐπὶ τὸ σπήλαιον τὸ γενόμενον κατοικητήριον τοῦ σώματός σου. ἐστὶ γὰρ τὸ σπήλαιόν σου μαρτύριον [9]) τῆς ἐρήμου καὶ ἴασις τῶν προσερχομένων [10]). καὶ κρατήσας τῆς χειρός μου ἤγαγέν με εἰς τὸ σπήλαιον ἐν ᾧ πρώην κατῴκουν. καὶ ἤμην αὐλιζόμενος ἔκτοτε μετὰ τῶν ἀγγέλων τοῦ θεοῦ. Τότε ἔθηκα τὰς πλάκας τὰς δοθείσας μοι παρὰ τῶν μακάρων ἐπὶ τοῦ βήματος τοῦ θυσιαστηρίου καὶ ἰδοὺ παραγίνεται [11]) ὁ διάβολος ἔχων σχῆμα ἄγριον [12]) καὶ εἶπεν πρός με· ἐγώ σε ἀπολέσω καὶ τὴν βίβλον ταύτην ἣν ἤνεγκας [13]). Ταῦτα εἰπὼν ὁ διάβολος ἐπορεύθη καὶ μεθ' ἡμέρας ὀκτὼ συνῆξεν μετ' αὐτοῦ χιλίους τριακοσίους ἑξήκοντα δαίμονας καὶ [14]) ἥρπασάν με ἀπὸ τοῦ σπηλαίου προσευχομένου μου καὶ ἔτυπτόν με σφαιρίζοντες [15]) ἐπὶ ἡμέρας μ' καὶ μετὰ τὰς τεσσαράκοντα ἡμέρας ἔκλαυσεν ὁ διάβολος λέγων· οἴμοι, ὅτι

[1]) καὶ εὐθὺς ἦλθεν Ζ. ἐκ τῆς ἐρ. ὄνομα αὐτοῦ. [2]) εἰς τὸν τράχ. αὐτῆς καὶ ἤνεγκέ με πε' μονὰς καὶ ἔθηκέ με ἐπὶ τόπου πεδινοῦ καὶ ἀνέλυσεν κράζων. [3]) τῶν ἁγίων. [4]) ἦλθεν δὲ ὁ ἄγ. [5]) σατανᾶς. [6]) ἔσται. [7]) Κ. ἡ δόξα τῆς πίστεώς σου νικῆσαι ἔχειν τὸν σατανᾶν. [8]) καλῶς ἐλήλυθας, ὦ μάκαρ τοῦ Χριστοῦ, δεῦρο. [9]) μαρτυρία. [10]) πρ. ἀσθενῶν, πειρατήριον καὶ ὁ βάσανος τῶν δαιμόνων. [11]) ἤγ. με δι' ἡμερῶν μ' εἰς τὸ σπ. ἐν ᾧ ἤμην κατοικῶν. καὶ ἐτέθη ἡ τράπεζα τῆς δικαιοσύνης καὶ ἤμην αὐλιζόμενος... θεοῦ. παραγένετο οὖν. [12]) σχῆμα ἔχων (ἄγριον) καὶ θυμοῦ χολῆς γέμων. [13]) προς μέ· ἐγὼ δὴ ᾔδειν ὅτι ὁ θεὸς ἐποίησέ σοι ὡς τοὺς μάκαρας ἁπλῶς εἰπεῖν καὶ ἅπαντα ἄνθρωπον καὶ εἶχον μεῖναι ἀναμάρτητοι καὶ αὐτοὶ καὶ λοιπὸν καὶ αὐτοὶ εὑρίσκονται ὡς οἱ ἄγγελοι καὶ διὰ ταῦτα εἰσήνεγκα πονηρία(ν) καὶ εἰσελθὼν εἰς τὸ σκεῦος τοῦ ὄφεως πανοῦργον ἐποίησα τοῦτον καὶ δι' αὐτὸ τοῦτο ἐποίησα παραβῆναι τὸν πρῶτον ἄνθρωπον καὶ γεύσαθαι ἀπὸ τοῦ ξύλου τῆς ζωῆς. ἐπειδὴ παρήγγειλεν αὐτοῖς ὁ θεὸς τοῦ μὴ φαγεῖν ἀπ' αὐτοῦ, ἐποίησα δὲ αὐτοὺς παραβῆναι καὶ θάνατον καὶ ἁμαρτίαν ἐδέξαντο καὶ ἐξέπεσον οἱ ἄνθρωποι ἀπὸ τῆς δόξης τοῦ θεοῦ καὶ τῶν ἁγίων ἀγγέλων καὶ πάλιν ἀπελθὼν καὶ σὺ ἤνεγκας τὴν ἐντολὴν ταύτην καὶ ἤνεγκας (sic). [14]) καὶ ἐλθόντες. [15]) μὲ τρίζοντες τοὺς ὀδόντας αὐτῶν.

δι' ἕνα ἄνθρωπον τὸν κόσμον ἀπώλεσα! [1]) καὶ ἤρξατο ἀποτρέχειν [2]), ἐγὼ δὲ κρατήσας αὐτὸν ἔστησα εἰς τὸν χαρακτῆρα Κυρίου [3]) καὶ εἶπον αὐτῷ· οὐ μὴ ἀποδράσῃς ἀπ' ἐμοῦ ἕως ἂν [4]) ὀμόσῃς μοι [5]) τοῦ μηκέτι ἄλλον πειρᾶσαι. καὶ κλαύσας κλαυθμῷ μεγάλῳ ὤμοσέ μοι κατὰ τοῦ στερεώματος [6]) τοῦ οὐρανοῦ· ὅτι ἕως οὗ ἡ κατοικία σοῦ ἐστιν [7]) οὐ μὴ ἐπέλθω τινί [8]). τότε ἀπολύσας αὐτὸν ἔπεμψα [9]) εἰς τὸ πῦρ τὸ αἰώνιον. Καὶ ἐλθὼν ὁ ἄγγελος ὁ συνευδοκήσας μοι ἤγαγέ με εἰς τὸ σπήλαιον μετὰ δόξης πολλῆς καὶ ἔδωκα [10]) τὴν διοίκησιν τῶν μακάρων τοῖς πατράσι τοῖς ἐν ἐρήμῳ. Μετὰ δὲ τὴν συμπλήρωσιν τῶν τριάκοντα ἓξ ἐτῶν [11]) παρεγένοντο οἱ ἄγγελοι τοῦ θεοῦ [12]) καθ' ὃν τρόπον καὶ πρὸς τοὺς μάκαρας [13]) καὶ συνήχθησαν πάντες οἱ μοναχοὶ καὶ ἀνεγνώσθη ἡ διαθήκη αὕτη καὶ ἐδόξασαν ἅπαντες τὸν θεὸν ὅτι ἐν τοιαύτῃ πολιτείᾳ καὶ δόξῃ ἐξῆλθεν ἐκ τοῦ σώματος αὐτοῦ ὁ μακάριος Ζώσιμος. Εγὼ δέ, ἀγαπητοί, ἐκ τῆς βρώσεως τῆς ἐρήμου ἐκλαβὼν ἔδωκα [14]) πᾶσι τοῖς θέλουσιν μαθεῖν καὶ ὠφελεῖσθαι. Οἱ οὖν ἄγγελοι τοῦ θεοῦ συνεκόμισαν τοῦ μακαρίου Ζωσίμου τὸ λείψανον καὶ ἠσπασάμεθα [15]) τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τὸν ἥλιον λάμπουσαν [16]). ἀνέβησαν δὲ εἰς τὸν τόπον ἐκεῖνον παραχρῆμα φοίνικες ἑπτὰ καὶ ἐπισκίασαν ἐπὶ τὸ σπήλαιον [17]). ἀνέβη δὲ καὶ πηγὴ ὕδατος ἐπὶ τοῦ τόπου ἐκείνου [18]), ὕδωρ ἅγιον ὅ ἐστιν ἕως τῆς ἡμέρας ταύτης ἴασις καὶ σωτηρία· τῶν προσερχομένων ἀσθενούντων θεραπεία καὶ ὠφέλεια τοῖς προστρέχουσι καὶ θέλουσι βοηθεῖσθαι. εἰρήνη πᾶσι τοῖς ἀκούουσι τὴν διοίκησιν τῶν μακάρων, ἐστὶ γὰρ

---

[1]) καὶ μετὰ ταῦτα ἔκλαυσεν ὁ διάβολος ἐνώπιόν μου καὶ εἶπέ μοι· οὐαί μοι! διὰ γὰρ ἕνα ἄνθρωπον τὸν κόσμον ὅλον ἀπώλεσα· ἐνίκησέ με γὰρ διὰ τῆς προσευχῆς καὶ τῆς ὑπομονῆς αὐτοῦ. [2]) ἀποχωρεῖν ἀπ' ἐμοῦ. [3]) Cod. Κύριον. [4]) οὗ. [5]) μέ. [6]) κλ. μ. καὶ βοήσας ὤμοσε ἐπὶ τὸ στερέωμα. [7]) κατοίκησίς σοῦ ἐστιν μετά σε. [8]) ἀπέλθω εἰς τὸν τόπον ἐκεῖνον. [9]) ἔλυσα αὐτὸν ἐκπέμψας αὐτὸν καὶ τοὺς μετ' αὐτόν. [10]) ἦλ. ὁ συνευδ. με ἄγγελος ἐπὶ τῆς τραπέζης μου καὶ ἤμεθα ἀγαλλόμενοι μετὰ δόξ. ἐν τῷ σπηλ. μου. Καὶ μετὰ ταῦτα ἔζησα ἔτη λς΄ καὶ διηγησάμην. [11]) χρόνων. [12]) θεοῦ πρός με. [13]) μακάρους. [14]) συνήχθησαν δὲ πάντες ὁμοθυμαδὸν καὶ πάντες ἀκούσαντες καὶ ἀναγνῶ πᾶσιν τὴν (cod. ἡ) διοίκησιν τῶν μακάρων τοῖς πατράσι τοῖς ἐν τῇ ἐρήμῳ ὧν καὶ λαβὼν δέδωκα. [15]) συνεκ. τὸ σῶμα τοῦ ἁγίου Ζ. ὡς πολύτιμον μύρον καὶ ἐθεασάμεθα. [16]) πεφωτισμένη(ν) ἑπταπλάσιον. [17]) ἐπεσκίασαν τὸ σπ. [18]) πηγὴ ὕδατος καί ποτε ὕδωρ οὐκ ἦν ἐκεῖσε. 'Επὶ τούτοις οὖν πᾶσι τοῖς θαύμασι δοξάσωμεν πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων, ἀμήν.

Κύριος ὁ θεὸς συνήγορος καὶ ὄφελος πάντων ἡμῶν νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰώνους τῶν αἰώνων, ἀμήν.

---

12. Преніе панагіота съ азимитомъ.

Panagiotae cum azymita disputatio.

Ἐπὶ τῆς βασιλείας Μιχαὴλ τοῦ Παλαιολόγου ἀρχιερατεύοντος Ἀρσενίου τοῦ οἰκουμενικοῦ πατριάρχου καὶ ἀνθυπατεύοντος κύρου Εὐφροσύνου ἐν Κωνσταντινουπόλει [1]) ὁπότε ἐξῆλθεν Ἰωάννης ἀπὸ τοῦ πάπα σελλωχαλινωμένην ἔχων τὴν μούλαν καὶ ἐπάνωθέν ἐστιν θίβη καὶ ἔσωθεν τῆς στήλης ἐστὶν ὁ πάπας. ὁ δὲ Βέκκων [2]) φορῶν τὴν μίτραν, ἣ [3]) λέγεται, δακτυλίδιον εἰς τὸν δάκτυλον αὐτοῦ ἤγουν τὸ σημεῖον τοῦ πάπα. Καὶ ἐλθόντων ἐν τῷ παλατίῳ ἐξῆλθεν ὁ βασιλεὺς καὶ ἵστατο ἔσωθεν τῆς πόρτας τοῦ παλατίου καὶ ἔξωθεν οἱ γαρδυνάλιοι μὲ τῆς μούλας. καὶ ἐλθὼν ὁ βασιλεὺς ἐπίασεν τὸ χαλινάρι τῆς μούλας καὶ οἱ μὲν ἓξ γαρδυνάλιοι ἵστα(ν)το ἐκ δεξιῶν, οἱ δὲ ἕτεροι (ἓξ) ἐξ εὐωνύμων. ἐπροσκύνησεν ὁ βασιλεὺς τὴν στήλην τοῦ πάπα λέγων· εἰς πολ(λ)ὰ ἔτη, δέσποτα. ταῦτα ἐπροσκύνησαν καὶ τὸν Παλαιολόγον οἱ δώδεκα γαρδυνάλιοι λέγοντες πρὸς τὸν βασιλέα· πολυχρόνιον ποιήσῃ ὁ θεὸς τὴν ἁγίαν βασιλείαν σου, δέσποτά μου ἅγιε. Γρηγόριος ὁ πάπας χαιρετεῖ τὴν ἁγίαν βασιλείαν σου, δέσποτά μου ἅγιε. Καὶ εὐλόγησαν αὐτὸν καὶ τὸν βασιλέα οἱ δώδεκα γαρδυνάριοι. εἶθ' οὕτως ἀπῆρθεν ὁ βασιλεὺς ἐσέβασέν τους εἰς τὴν αὐλὴν τοῦ παλατίου καὶ ἐμνημόνευσεν τοῦτον εἰς τὰ δίπτυχα καὶ εἰς τὰς ἐκφωνήσεις καὶ εἰς τὴν ἐ(υ)φήμην. Ὅδε (=τότε?) λέγουσιν οἱ γαρδυνάλιοι πρὸς τὸν βασιλέα· Γρηγόριος ὁ πάπας, ἄκρον ἀρχιερεὺς τῆς πρεσβυτέρας Ῥώμης ἔστειλέν μας πρὸς τὴν βασιλείαν σου εἰς τὸ μεταλαβεῖν ἅπαντας τοὺς χριστιανοὺς τῆς ἀζύμου αἱρέσεως. καὶ προσκυνήσας αὐτὸν ὁ βασιλεὺς συνήθροισεν δὲ ἅπαντας ἐν τῷ παλατίῳ μετὰ τοῦ ὁμόφρονος Βέκκου. Καὶ μεταλαβόντων αὐτῶν τῆς ἀζύμου αἱρέσεως ἦν πρῶτος ὁ μὲν λογοθέτης

---

[1]) Cod. ἐν Κ-εως. [2]) Cod. Κένων. [3]) Cod. ἥν.

Θεόδωρος ὁ Μουζάλος, ὁ Τζακανδύλις καὶ ὁ πενθερὸς αὐτοῦ καὶ Ἰωάννης ὁ Πάπυλος ὁ ψιλός, ὡσεὶ Μελέτης, κύρος ὁ Γεν(ν)άδιος καὶ ὁ Μαλέας ὁ πρωτο(πα)πὰς καὶ ἕτεροι τῶν ἀφρόνων αὐτῶν. τοῦ δὲ χριστονύμου λαοῦ ὑπέρμαχος ἦν Ὁ(λο)βόλος μετὰ τῶν μαθητῶν αὐτοῦ ὧν τὸν ἀριθμὸν τριακόσιοι τριάκοντα ἕξ, ὃν διὰ τὴν ἀκροβυστία(ν) συντηρήσας. καὶ ὥσπερ λέων ἐνώπιον αὐτῶν ἐστιν καθελὼν αὐτὸν ἀπὸ τὴν βασιλείαν. ὁ δέ ἐστιν ἐνώπιον αὐτῶν ὁ παναγιώτης [1]) κὺρ Κωνσταντῖνος ὅςτε ἐποίησεν μὲ τὸν πρῶτον γαρδυνάλιον ἔλεγξι(ν) [2]). τοῦτον δὲ ὁ Παλαιολόγος τοῖς γαρδυναλίοις ἐκδέδωκεν, μᾶλλον δὲ εἰπὼν ἐπάφησεν (sic)· μὴ δέξασθέ τινας εἰς διάλεξιν εἰ μὴ βλέπῃ αὐτὸς αὐτὸν πρόσωπον πρὸς πρόςωπον οἱ δύω καὶ λόγον [3]) συνάραι πρὸς αὐτὸν οὐκ ἠθέλησεν εἰ μὴ τῆς κορτύνας ἔξω γίνεσθαι [4]). Ἐπεὶ δὲ καὶ τοῦτο γέγονεν, ἐνάλοδαν (sic) αὐτοῦ τὴν δουλομένην διαλεχθῆναι ἔλεγον. ὅθεν καὶ ὁ Κωνσταντῖνος κύρου παναγιωτάτου (sic) μέσον στὰς τοῦ βήματος ἐνώπιον τοῦ βασιλέως καὶ τῆς πανδήμους (συνάξεως?) τὴν διέλεγξιν οὕτως ἐποίησεν. Εἶπεν πρὸς τὸν γαρδυνάλιον· τί ζητεῖς, τί γυρεύεις; λέγει ὁ γαρδυνάλις· πρῶτον ἕνα σε ἐρωτῶ. λέγει ὁ παναγιώτης· ὅπερ θέλεις λέγε. Λέγει πρῶτον ὁ γαρδυνάλις· εἴχαμεν χραμβία καὶ ἐδέναμεν εἰς τὴν ῥίζαν τους ρβʹ φαρία καὶ ἐχλημίτιζαν καὶ ἕνα τοῦ ἄλ(λ)ου τὴν φωνὴν δὲν ἤκουε. Λέγει αὐτῷ ὁ παναγιώτης· ἡμεῖς εἴχαμεν ἑκατὸν δύο χαλκωματάδες καὶ ἐχάλκευαν χάλκωμα ἕνα καὶ εἷς τοῦ ἑτέρου τὴν φωνὴν οὐκ ἤκο(υ)εν. καὶ γελάσας ὁ γαρδυνάλις λέγει [5]) αὐτῷ ὁ παναγιώτης· τί γελᾷς, γαρδυνάλιε; τὰ τοιοῦτα λάχανα εἰς τοιοῦτα τζουκάλια βράζουν. Λέγει ὁ γαρδυνάλις· πόσας φύσεις ὁμολογεῖς; λέγει αὐτῷ ὁ παναγιώτης· πόθεν με ἐρωτᾷς, πλὴν τὴν ἔνσαρκον οἰκονομίαν ἢ ἀπὸ τῆς Χριστοῦ γεννήσεως καὶ ἕως ἄρτι; ἀποκριθεὶς ὁ γαρδυνάλις λέγει· ἀπὸ τῆς Χριστοῦ γεννήσεως καὶ ἕως ἄρτι. ἀποκριθεὶς ὁ παναγιώτης ὑπὲρ δʹ· φύσεις μὲν δύο ἤγουν θεότης καὶ ἀνθρωπότης, ὑποστάσεις δὲ τρία· πατὴρ, υἱὸς καὶ ἅγιον πνεῦμα, τὰ τρία ἓν (καὶ ἓν) τριάς, οὐσία μία. ἀκατάληπτος γάρ ἐστιν ἡ

---

[1]) Locus turbatus; legendum esse videtur, inversa ordine, nisi quid praetermissum putes: συντηρήσας καθελὼν αὐτὸν ἀπὸ τὴν βασιλείαν. Καὶ ὥσπερ λέων ἐνώπιον αὐτῶν ἐστιν (an ἔστη?) ὁ παναγιώτης κτλ. [2]) Cod. ἐλέγξει. [3]) Cod. λέγει. [4]) Cod. γήνεσται. [5]) Cod. λέγων.

θεότης καθὼς καὶ ὁ προφήτης Δαυὶδ λέγει· καὶ ἔκλινεν ἐκ τούτου εἰς τοῦτο, πλὴν ὁ τρυγίας αὐτὸν οὐκ ἐξεκενώθη. Λέγει ὁ γαρδυνάλις· τὸ πνεῦμα τὸ ἅγιον τὸ κύριον τὸ ζωοποιὸν τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον ἢ συμπορευόμενον; λέγει ὁ παναγιώτης· ὁ πατὴρ οὐδ' ὅλως κατῆλθεν ἐπὶ τῆς γῆς, ἀλλὰ τὸ πνεῦμα τὸ ἅγιον καὶ ὁ υἱὸς ἐσαρκώθη. καὶ πάλιν ὁ γαρδυνάλις λέγει· ἐρωτῶ σε. ἄβροχος καιρὸς ποταμὸν κατηβάζει καὶ ὁ ποταμὸς πόρον οὐκ ἔχει. Ὁ παναγιώτης λέγει· ἄβροχος καιρός ἐστιν ὑπεραγία μου θεοτόκος, ὁ ἀπέραστος ποταμός ἐστιν ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, οὐκ ἠμπορεῖ ἄνθρωπος ἐξαριθμῆσαι τὴν θεότητα. Λέγει ὁ γαρδυνάλις· ζεύγη βοῶν δώδεκα, παρασπαρτάδες δ' ἐθέρισαν τὸ χωράφιον καὶ ἐποίησαν μώδια γ'. λέγει αὐτῷ ὁ παναγιώτης· τὰ ζεύγη τῶν βοῶν εἰσιν οἱ δώδεκα ἀπόστολοι. οἱ παρασπαρτάδες εἰσὶν οἱ τέσ(σ)αροι εὐαγγελισταί. τὰ μώδια τὰ γ' ὁ πατήρ, υἱὸς καὶ τὸ ἅγιον πνεῦμα. Καὶ ὁ γαρδυνάλις λέγει· ἡ θεότης ποῦ ἐπαναπαύεται; λέγει ὁ παναγιώτης· ὅπου ἐθέλησεν αὐτοῦ ἡ βασιλεία καὶ ἐπὶ τοὺς ἀγαθοὺς ἀνθρώπους, καὶ τὸ πονηρὸν πνεῦμα ἐπαναπαύεται ἐπὶ τοὺς πονηροὺς ἀνθρώπους. Καὶ ὁ γαρδυνάλις (λέγει)· αἱ ψυχαὶ τῶν δικαίων ποῦ εἰσιν; ὁ παναγιώτης λέγει· εἰς τὸν παράδεισόν εἰσιν, αἱ δὲ τῶν ἁμαρτωλῶν εἰς τὴν κόλασιν. καὶ πάλιν ὁ παναγιώτης λέγει· ὅτι ὡσεὶ περιστεραί εἰσιν τῶν δικαίων αἱ ψυχαὶ καὶ ἡ ῥητορικὴ λέξις λέγει ὡς τρυγῶναί εἰσιν εἰς τὸν παράδεισον, ἡ δὲ Γραφὴ λέγει ὥσπερ μειράκιόν εἰσιν αἱ ψυχαὶ τῶν δικαίων καὶ καθαραὶ εἰς τὸν παράδεισον καὶ ἀγάλλονται, τῶν δὲ ἁμαρτωλῶν αἱ ψυχαὶ ὡς χελώναις εἰσὶν καὶ ὡς χανδόχειροι εἰς τὴν κόλασιν καὶ ὡς νυκτοκέρακοι μιμιταὶ τοῦ διαβόλου· καθὼς ἐποίησαν τὰ ἔργα αὐτοῦ τοῦ ἀντιχρίστου, οὕτως εἰσὶν εἰς τὴν κόλασιν καὶ τρικυμίζονται. Λέγει ὁ γαρδυνάλις· καὶ πόσοι οὐρανοί εἰσιν; ὁ παναγιώτης λέγει· εἷς οὐρανός ἐστιν αὐτοειδὴς [1]) καὶ σφαιροειδὴς καὶ ὥσπερ σφῦρα χαλκὸς καὶ ὥσπερ πάγος, οὕτως ἐστὶν ὁ οὐρανός. Λέγει ὁ ἀζυμίτης· καὶ πῶς ψάλλουσιν Αἰνεῖτε αὐτὸν οἱ οὐρανοὶ τῶν οὐρανῶν; λέγει ὁ παναγιώτης· τοὺς ἀποστόλους τοὺς δώδεκα καλεῖ καὶ ζ' [2]) αἰῶνας καὶ τοὺς ἀνθρώπους καὶ τὰς ἐκκλησίας καὶ πᾶν

[1]) Cod. αὐτοειδός. [2]) Cod. οζ'.

ὄρος ἀνθρώπινον οὐρανοὺς αὐτοὺς λέγων. Καὶ ὁ ἀζυμίτης λέγει· καὶ ἐπάνω τοῦ οὐρανοῦ τί ἐστιν; λέγει ὁ παναγιώτης· ὕδωρ καὶ ἐπάνω σκότος καὶ πῦρ καὶ ἐπάνω τόξος καὶ ἐπάνω θρόνος καὶ ἐπάνω τοῦ θρόνου ἡ θεότης καὶ ἐπάνω φῶς ἀέναον. Καὶ ὁ ἀζυμίτης λέγει· καὶ ὑποκάτω τοῦ οὐρανοῦ τί ἐστιν; ὁ παναγιώτης λέγει· ἀήρ, αἰθὴρ καὶ νεφέλαι. Καὶ ὁ ἀζυμίτης· ὑποκάτω τῆς γῆς τί ἐστιν; ὁ παναγιώτης λέγει· ὕδωρ καὶ ὑποκάτω σκότος καὶ ὑποκάτω πῦρ καὶ ὑποκάτω ᾅδης καὶ ὑποκάτω ἔρεβος [1]) εἶτα ὁ τάρταρος ὃν κληρονομοῦσιν οἱ ἁμαρτωλοί. Πάλι(ν) λέγει ὁ παναγιώτης. τί ἔναι αὐτὰ τά με ἐρωτᾷς, ὦ γαρδυνάλι(ε); ἐγὼ χάριτι τοῦ Χριστοῦ μου καὶ δι' εὐχῶν τῶν γονέων μου καὶ τοῦ διδασκάλου μου γινώσκω πόσας πιθαμὰς ἔχει ἡ θάλασσα τὸ βάθος καὶ τὰ θεμέλια τοῦ οὐρανοῦ καὶ τὰ συστήματα τῶν ὑδάτων καὶ τὰ κινούμενα γινώσκω καὶ τὰ τάγματα τῶν ἀγγέλων καὶ τὰς λεγεῶνάς τε καὶ τὰς μυριάδας καὶ τὸν ἀριθμὸν τῶν δαιμόνων. Ὁ ἀζυμίτης εἶπεν· τὰ ἄστρα τοῦ οὐρανοῦ μονά εἰσιν ἢ ζυγά; λέγει ὁ παναγιώτης· ἐὰν ἦσαν ἄλ(λ)α τόσα ἦσαν ζυγά, ἐπειδὴ αὐτὰ ἦν μονά (sic). Ὁ γαρδυνάλις λέγει· πόσα τάγματά εἰσιν τῶν ἀγγέλων; καὶ ὁ παναγιώτης λέγει· δέκα τάγματά εἰσιν τῶν ἀγγέλων, τὸ καθὲν τάγμα [2]) ἔχει δώδεκα λεγεῶνας καὶ ὁ καθὲν λεγεὼν ἔχει ιβ' μυριάδας, ἐξέπεσαν καὶ ἄγγελοι μυριάδας ρμδ' καὶ ἐγένοντο δαίμονες καὶ ἐπέμειναν τάγματα θ'· ἄγγελοι, ἀρχάγγελοι, θρόνοι, κυριότητες, τὰ πολυόμ(μ)ατα σεραφὶμ καὶ τὰ ἑξαπτέρυγα χερουβίμ, εἶτα ἐνέμειναν ἄγγελοι ἀγαθοὶ ͵αρς'. καὶ ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς ͵ϡμς' πιθαμάς, τουτέστιν ἡ πιθαμὴ τοῦ Χριστοῦ μου χιλίας πιθαμὰς ἀνθρωπίναις. καὶ τί εἶπεν ὁ Χριστός; Ἄλ(λ)ος εἶχεν (δέκα) δραχμὰς καὶ ἐπολλύμη (=ἀπώλλυ?) τὴν μίαν καὶ ἐλυπήθη ὑπὲρ τῆς μιᾶς, ἤγουν περὶ τοῦ ἑνὸς τάγματος [3]) ὅπερ ἐξέπεσεν. διὰ τοῦτο καὶ εἰς ἐν(ν)ῆα τάγματα θέλουν κριθῆ(ναι) οἱ ἄνθρωποι· βασιλεῖς, πατριάρχαι, μητροπολῖται, ἐπίσκοποι, ἱερεῖς, ὑποδιάκονοι, διάκονοι, ἀναγνῶσται καὶ πᾶς ὁ χριστόνυμος λαός. Ὁ ἀζυμίτης λέγει· καὶ τῆς θαλάσσης τὸ βάθος πόσον ἐστίν; λέγει ὁ παναγιώτης· ͵αρςς' μυριάδας πιθαμὰς θεϊκάς ἐστιν τὸ βάθος. λέγει ὁ γαρδυνάλις· ποῖον ἐποίησεν ὁ θεὸς πρῶτον, τὸν οὐρανὸν ἢ τὴν γῆν;

---

[1]) Cod. ἔργος [2]) Cod. καθὲν ἃ. [3]) Cod. θαύματος.

ὁ παναγιώτης λέγει· τὸν οὐρανόν, διὰ τοῦτο καὶ ὁ Χρυσόστομος λέγει ὅτι πᾶς [1]) κτίστης πρῶτον θεμελιώνει εἶτα σκέπει, ὁ δὲ θεὸς πρῶτον ἐσκέπασεν εἶτα ἐθεμελίωσεν. Ὁ γαρδυνάλις λέγει· ποῖον ἔναι πλεότερον, ὁ οὐρανὸς ἢ ἡ γῆ; καὶ ὁ παναγιώτης λέγει· (οὐρανὸς) ὅτι πᾶς ὁ σκέπων πλεονάζει [2]) τοῦ σέπους (sic) ἵνα μὴ χαλάσῃ τὸ θεμέλιον καὶ χαθῇ. Καὶ ὁ γαρδυνάλις λέγει· ποῖον ἔναι πλέον, ἡ θάλασσα ἢ ἡ γῆ; ὁ παναγιώτης λέγει· ἡ γῆ ἡ στερεὰ ἔναι ἓν μέρος καὶ ἡ ἔρημος ἓν μέρος καὶ ἡ σκοτεινὴ ἓν μέρος καὶ ἡ θάλασσα τετραμιῶν. Καὶ ὁ γαρδυνάλις λέγει· καὶ ὁ παράδεισος πῶς ἐστιν; ὁ παναγιώτης λέγει· τετραπλοὺς παρὰ τοῦτον ἤγουν μέσον φθορᾶς καὶ ἀφθαρσίας γίνεται. Λέγει ὁ γαρδυνάλις· καὶ ποταπός ἐστιν ὁ παράδεισος; λέγει ὁ παναγιώτης· ἐκ τῆς θαλάσσης πύκτη καὶ ἐνδότερον (ὕδωρ?) ἐρυθρόν, ζυγὸς βουνίων ὁμαλός, στρογγυλόν, χορταρίδες εἰς τοῦτο ὅσον ἀνάγει ἄνθρωπος τεσ(σ)άρους χρόνους καὶ κατάγει χρόνους β'. καὶ ἔξωθεν κάλαμος καὶ ἔσωθεν ὁ παράδεισος ἃ ὀφθαλμὸς οὐκ εἶδεν καὶ οὖς οὐκ ἤκουσεν καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. καὶ ἐν μέσῳ τοῦ παραδείσου ἐστὶν τὸ ξύλον τῆς ζωῆς, ἕως τοῦ οὐρανοῦ ἔνι τὸ δένδρον χρυσοειδὲς καὶ περισκέπει τὸν παράδεισον καὶ ἔχει ἀπὸ ὅλων τῶν φυτῶν τῶν ξύλων κεκωλυσμένων αὐτόν. εἰς τὴν ῥίζαν του εἰσὶν βρύσαις δύο, ἡ μία βρύση ἔχει μέλι καὶ γάλα, ἡ δὲ ἑτέρα ἐστὶν ἡ ἀθάνατος πηγή, ἐξ ἧς ἐξέρχονται ποταμοὶ τέσ(σ)αροι· Φυσών, Γεών, Τίγρις καὶ Ἐ(υ)φράτης καὶ διέρχονται τὸν κόσμον ὅλον. καὶ τὸ ὕδωρ τὸ περικυκλούμενον ἔξω τοῦ παραδείσου ἔχει διάστασιν ἑκατέρωθεν γῆν μίλια ἑκατόν, δι' ὃ ῥωμένοι (=ῥεόμενοι) οἱ ποταμοὶ ἐξέρχων εἰς τοὺς αἰῶνας καὶ μετὰ ταῦτα διαιροῦντες [3]) ἀνώτερον. Καὶ ὁ γαρδυνάλις λέγει· καὶ ὁ κεραυνὸς πόθεν γίνεται καὶ ἡ ἀστραπή; καὶ ὁ παναγιώτης λέγει [4])· φωνὴ τῆς βροντῆς (σ)ου ἐν τῷ τροχῷ. ζωγραφίζουσιν δὲ καὶ ἱστοριογράφοι πρόσωπα τέσ(σ)αρα· ἀνθρώπου, ἀετοῦ, ταύρου καὶ λέοντος, ὥστε εἰσὶν οἱ τέσσαροι εὐαγγελισταὶ καθὼς καὶ Ἱερεμίας φησίν· ᾄδοντα, βοῶντα, κεκραγότα καὶ λέγοντα· ᾄδει ἀετός, βοᾷ ὁ ταῦρος, κραυγεῖ ὁ λέων καὶ λέγει ὁ

---

[1]) Cod. πᾶν. [2]) Cod. πλεονάξει. [3]) Cod. διαιροῦντος [4]) Cod. λέγων.

ἄνθρωπος. Καὶ ἡ φιλοσοφικὴ τέχνη λέγει [1]) ὅτι δύο νεφῶν συγκρουομένων καὶ σπαραττομένων τῶν δύο νεφῶν (sic) ἐξέρχονται δύο ἄνεμοι, ψυχρὸς καὶ θερμός, ὧν συγκρουομένων γίνεται κτύπος. Λέγει δὲ καὶ ἡ ῥητορικὴ λέξις, ὁ Ἑρμογένης ὁ ῥήτωρ τῶν ῥητόρων· ὅτε δὲ τὸ ὕδωρ τοῦ οὐρανοῦ ἀποπίπτεται ἀπὸ ἑνὸς τόπου [2]) καὶ συγκρουομένων (sc. τῶν δύο ὑδάτων) γίνεται ἔκτυπος. Λέγει δὲ ἡ γράμματικὴ λέξις, τὸ δωδεκάσχεδον τοῦ Δημοσθένη καὶ τοῦ Ἀχιλλέως· τριακόσιοι ἄγγελοι κρατοῦσιν τὸν οὐρανὸν καὶ δώδεκα στύλοι καὶ δώδεκα στοάς, καὶ τριακόσιοι ἄγγελοι κρατοῦσιν τὴν γῆν καὶ δώδεκα στύλοι καὶ δώδεκα κάμαρες, καὶ διὰ τοῦτο δωδεκάλοφος καλεῖται ὁ οὐρανὸς καὶ ἑπτάλοφος. καὶ τριακόσιοι ἄγγελοι κρατοῦσιν τὴν θάλασσαν καὶ οἱ δώδεκα στύλοι καὶ οἱ δώδεκα κάμαρες, καὶ τριακόσιοι ἄγγελοι κρατοῦσιν τὴν ἀστραπὴν καὶ βροντήν· γένονται δὲ χίλιοι διακόσιοι ἄγγελοι. συναπαντουμένων δὲ αὐτῶν [3]) καὶ συγκρουομένων γίνεται ἔκτυπος μέγας καὶ ἐκ τῆς ἠχήσεως τοῦ πυρὸς αὐτοῦ γένεται ἡ ἀστραπή· τοῦτον ὁ κεραυνός. Ὁ γαρδυνάλις λέγει· εἰπέ μοι τοῦ ἡλίου τὸν δρόμον, πῶς ἀνατέλ(λ)ει ἐν τῇ ἀνατολῇ καὶ (ὑ)πάγει ἐν τῇ δύσει καὶ πάλιν εὑρίσκεται ἐν τῇ ἀνατολῇ; ὁ παναγιώτης λέγει· ἄκουσον περὶ τοῦ ἡλίου· ὁ ἥλιος καὶ ἡ σελήνη καὶ τὰ ἄστρη καὶ τὰ νέφη καὶ οἱ ἄνεμοι καὶ ἡ πρόορος ἐνθύμησις τοῦ ἀνθρώπου καὶ ἡ σκιὰ καὶ τὸ ἐνύπνιον καλοῦνται σώματα καὶ πρά(γ)ματα· σώματα δὲ ὅτι θεωρῶνται, πράγματα δὲ ὅτι κρατῶνται. ὁ ἥλιος ἀνάπλαστος ἔνι καὶ ἀνθρωπόσαρκος καὶ ἀνθρωπομίμητος καὶ ὁδηγοῦσιν αὐτὸν τὴν ἡμέραν καὶ δεκαπέντε χιλιάδες ἄγγελοι. μερίζεται δὲ ὁ ἥλιος εἰς τρεῖς· σάρκας εἰς μίμησι(ν) τῆς σαρκώσεως τοῦ Χριστοῦ, φῶς καὶ εἰς μίμησι(ν) τῆς σαρκὸς (sic) καὶ εἰς μίμησι(ν) τοῦ πατρός, εἰς ἀκτῖνας τοῦ υἱοῦ καὶ εἰς πῦρ τοῦ ἁγίου πνεύματος. τὸ δὲ πῦρ ἄγγελοί τῳ δίδωσιν ὡς οἱ λαμπτῆρες τῶν ἀκτίνων, στέμ(μ)α θεϊκὸν καὶ χιτῶνά εἰσιν. Ὅταν βασιλεύῃ ὁ ἥλιος ἐκδύουσιν αὐτὸν οἱ ἄγγελοι καὶ παραδίδουσιν τὰς θείας στολὰς αὐτοῦ τὸν ζωοδότην μου Χριστόν, κἀκεῖνος οὖν ἔρχεται παρὰ τῆς θαλάσσης ὅπου σχίζεται ἡ θάλασσα ἀπὸ δυσμῶν ἕως ἀνατολῶν καὶ ἀπελαύνει τοῦτον ἡ θάλασσα μετὰ τῶν κυμάτων αὐτῆς καὶ ἐξημερόνεται

[1]) Cod. λέγων. [2]) Quaedam sunt praetermissa. [3]) Cod. συναπαντούμενοι δὲ αὐτοί.

ἐν τῇ ἀνατολῇ. γυρίζει δὲ ὁ οὐρανὸς τὴ(ν) ἡμέρα(ν) φορὰς τρεῖς, ὁμοίως δὲ καὶ τὴν νύκτα, τροχοειδῶς ὥσπερ μύλος. Καὶ ὁ λατῖνος εἶπεν· καὶ πῶς οὐδὲν γυρίζει ὁ ἥλιος καὶ ἡ σελήνη μετὰ τοῦ οὐρανοῦ; ὁ παναγιώτης εἶπεν· ἄκουσον καὶ περὶ τούτου, ταῦτα θεώρησον· ὅσα κρέμονται εἰς τὸν οὐρανὸν ὑπὸ νεφελῶν εἰσιν ὥσπερ κανδήλια ἐν τῇ ἐκκλησίᾳ καὶ ἀπέχουσιν αὐτὰ ὑπὸ (=ἀπὸ?) τὸν οὐρανὸν τριακοσίας πιθαμάς θεϊκάς. ὁ ἀζυμίτης εἶπεν· καὶ ὁ ἥλιος πῶς ἀνατέλ(λ)ει; ὁ παναγιώτης εἶπεν· ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος δίδει τὸ στέμ(μ)α τῶν ἀγγέλων καὶ ἐνδύουσι τὸν ἥλιον καὶ ἀνατέλ(λ)ει καὶ εὐθὺς δύο ὄρνεα καλούμενα γρύψι, τὸ ἓν καλεῖται φίριξ (=φοίνιξ?) καὶ τὸ ἕτερον χαλέδρις ὡς ἀπὸ πηχῶν ἐ(ν)νέα καὶ βρέχουσιν τὸν ἥλιον ἵνα μὴ καύσῃ τὸν κόσμον· καὶ ἀπὸ τοῦ πυρὸς καίονται αἱ πτέρυγες τῶν ὀρνέων καὶ ἀπομένουσιν μόνον τὰ κρέη. καὶ πάλιν ὑπάγουσιν εἰς τὸν ὠκεανὸν [1]) καὶ λούονται καὶ πάλιν πτεροῦ(ν)ται, καὶ ἀπ' αὐτῶν τῶν ὀρνέων ἐπαίρνουσιν μίμησιν οἱ ἀλέκτορες καὶ ὀνομάζονται καὶ αὐτὰ πρὸς τὴν φύσιν. ἔχουσιν δὲ καὶ αἷμα εἰς τὴν ἀμασχάλην καὶ τρώει (=τρώγει) τους καὶ κνήθονται. γαργαλιζομένων δὲ αὐτῶν ἀπὸ τοῦ αἵματος ἐξυπνοῦσιν καὶ προγνώθη τους κτύπος τῶν ὀρνέων χάριτι τοῦ Χριστοῦ καὶ σημαίνουσιν τὴ(ν) ἀνάστασιν τοῦ Χριστοῦ. Ὁ ἀζυμίτης λέγει· καὶ τί λέγουσιν; ὁ παναγιώτης λέγει· ὁ εἷς λέγει· πορεύου, ὁ ἕτερος· φωτοδότα, ὁ τρίτος· δὸς τὸ φῶς, ὁ τέταρτος· τὸν κόσμον, καὶ ἐνπληροῦσιν οἱ τέσσαροι ἤγουν ὁ Χριστός. ὁ ἀζυμίτης εἶπεν· ἕνα λόγον ἔχω νά σε ἐρωτήσω· μικρὸν ἐρώτημάν ἐστι, ἐπειδὴ τὰ μεγάλεια τοῦ θεοῦ ἠξεύρεις. παναγιώτης εἶπεν· εἰπέ. ὁ ἀζυμίτης εἶπεν· ἠξεύρεις, πόσας κορυφὰς ἔχουν τὰ γένειά μου; ὁ παναγιώτης εἶπεν· χωρικέ, εἰπέ μοι τὰς ῥίζας σὺ καὶ ἐγὼ νὰ εἰπῶ τὰς κορυφάς. πάλιν ὁ παναγιώτης λέγει· ἐγὼ λέγω νά σε ἐρωτήσω τίποτες ἀκριβὸν πρᾶγμα καὶ βαρύ(νο)μαι διὰ τὸ ὅσον ἐρωτᾷς, γινώσκω δὲ ὅτι ἱκανός εἰμι τοῦ ἀποκριθῆναί σε εἰς ὅσο(ν) με ἐρωτᾷς. Ὁ λατῖνος εἶπεν· ἐγὼ οὐ γινώσκω τοῦ ἀποκριθῆναί σε. ὁ παναγιώτης εἶπεν· ἐπεὶ ἠξεύρεις τέχνας ἐξ τῶν γραμμάτων φιλοσοφίαν, ῥητορικήν, γραμματικήν, ῥωμαικὴν καὶ φράγγικα καὶ τὰς διδασκαλίας τοῦ διαβόλου καὶ ἐγὼ μόνον ἠξεύρω

---

[1]) Cod. ὠκιανόν.

τρεῖς καὶ ἄπας (=ἀπάσας) κεκολοβωμένας, ὅτι μαθητής εἰμι, καὶ πῶς πέφυκεν νὰ ἠξεύρω ἐγὼ πλέον παρά σεν (=σε); καὶ ὁ λατῖνος· ἄκουσον, κύρις μου· γέρας τίμιον [1]), οὐ τὸ πολυχρόνιον [2]), καίτοι μικρόν, οὐ μικρὸν ἐδόθη χάρις. Ὁ παναγιώτης λέγει· περὶ τῶν γενείων σοῦ μοι ἐρωτᾷς τὸ πόσας ῥίζας ἔχουσιν; καὶ ὅσας ῥίζας ἔχουσιν τὰ γένειά σου καὶ τὰ μα(λ)λία σου, τόσας ἔχουσι καὶ κορυφάς. Ἐρωτῶ σε καὶ ἐγὼ διὰ τὴν αἵρεσιν ὅπερ ἔχετε ἐσεῖς οἱ φράγγοι· διὰ τί τὴν ὑπεραγίαν Θεοτόκον οὐ Θεοτόκον κηρύττετε, ἀλ(λ)ὰ σάντα Μαρία ἤγουν ἁγίαν ποιεῖτε αὐτήν; ἡμεῖς δὲ ὑπεραγίαν Θεοτόκον κηρύττομεν αὐτὴν διότι ἔτεκεν τὸν βασιλέα οὐρανοῦ τε καὶ γῆς. Διὰ τί τοὺς τρεῖ(ς) σου δακτύλους οὐ βάλ(λ)εις νὰ ἐγκαινῇς τὸ πρόσωπόν σου ἕως τοῦ στήθους καὶ τοῦ ὀμφαλοῦ σου καὶ νὰ ἐνδύεσαι τὸ ὅπλον τοῦ Χριστοῦ μου, τὸν σταυρόν, ἀλλὰ ποιεῖτε τὸν σταυρόν σας ἀνάποδα μὲ τοὺς δύο σας δακτύλους, καὶ τὸ σχῆμα τοῦ Χριστοῦ μου πολεμεῖς; ἀντὶ τοῦ ἠθέλετε [3]) ἐνδύεσθαι ἐσεῖς ἐκδύεσθε αὐτόν. Διὰ τί τὰς ἁγίας εἰκόνας οὐ προσκυνεῖτε νὰ ἀσπάζεσθε αὐτὰς ἐκ πόθου καὶ πίστεως, ἀμὴ στέκεστεν (=σθε) εἰς τὰ γόνατα γονυπετοῦντες καὶ ψιθυρίζοντες καὶ ποιεῖς μὲ τοὺς δύο σου δακτύλους τὸν σταυρὸν εἰς τὴν γῆν καὶ ἀσπάζεσαι αὐτὸν εἶτα καταπατεῖς αὐτὸν καὶ διαβαίνεις καὶ γίνεσαι σταυροπάτης; Διὰ τί τὸ πνικτὸν τρώγετε; διὰ τί φλεβοτομεῖς εἰς τὸ γυαλί σου, εἶτα πλένεις (=πλύ-) αὐτὸ καὶ πίνεις; διὰ τί τοὺς κύνας ταγίζεις εἰς τὰ πινάκιά σας, εἶτα πλένεις τα καὶ τρώγεις; διὰ τί τοὺς κατζοχοίρους τρώγεις καὶ τοὺς βαθράκους, ἄρκους τε καὶ κουρούνας, τὰ βδελυκτὰ καὶ μεμωλυσμένα; Ὁ γαρδυνάλις εἶπεν· ὁ Πέτρος ὅταν ἐπείνασεν οὐκ εἶπεν ὁ ἄγγελος· ἀναστάς, Πέτρε, θύσον καὶ φάγε, ὅταν ἐκατέβην εἰς ὀθόνην; ὁ παναγιώτης εἶπεν· εἰς ἐκεῖνο [4]) ἐμιαροφάγησε ὁ Πέτρος, γαρδυνάλιε, οὐχί, ἀλλὰ αὐτὰ ἀναδοτικὰ καὶ δογματικά εἰσιν· εἶπεν καὶ ὁ ἄγγελος ἐκ δευτέρου· ἃ ὁ θεὸς ἐκαθαίρισε σὺ μὴ κοίνου. εἰπέ μοι, καὶ πῶς ποιεῖτε αἴτιον τὸν Πέτρον ἐσεῖς; Διὰ τί τὴν δευτέρα(ν) τὴν α′ [5]) τῆς σαρακοστῆς τρώ(γε)τε τὸ κρέας καὶ τὸ τυρί, ὅπου οἱ δαίμονες φρίττουσιν

---

[1]) Cod. τιμή. [2]) Excidisse aliquid videtur. [3]) ἠθέλετε melius abesset. [4]) Cod. εἰς σε κίνω. [5]) I. e. πρώτην=τὴν δ. τῆς πρώτης ἑβδομάδος (въ понедѣльникъ первой нед.).

καὶ οἱ ἄγγελοι ἀγάλ(λ)ονται καὶ ἡμεῖς οἱ χριστιανοὶ καὶ τὸ νερὸν νηστεύομεν, καὶ ἐσεῖς χάνετε ὅλην τὴν σαρακοστήν σας; ὁ γαρδυνάλις εἶπεν· καὶ ἐσεῖς οὕτως ποιεῖτε. ὁ παναγιώτης· οὐχί, γαρδυνάλιε, τοῦτο οὐ ποιοῦμεν πῶς λέγεις· ἡμεῖς τὴν κυριακὴν τῆς τ(υ)ρινῆς τὴν ἡμέραν ἀποκρεώνομεν καὶ σεβαίνομεν εἰς τὴν ἁγίαν νηστείαν, ἐσεῖς δὲ τὰς δύο ἡμέρας τρώγετε καὶ χάνετε τὴν σαρακοστήν σας. Ἄλλον. τὸ ἀλληλούϊα οὐ ψάλ(λ)λετε ἕως τὴν μεγάλην παρασκευήν, πορεύεσαι ἀξυπόλυτος καὶ ἐκβάνεις τὸν σταυρὸν ἀπὸ τὴν γωνιά(ν) σου καὶ λέγεις· ἐπῆγεν εἰς Ἱεροσόλυμα καὶ πάλιν ἦλθεν. Ἀλλὰ δὴ καὶ τὸ σα(β)βατοκύριακον τῆς σαρακοστῆς αἱ γυναῖκές σας καὶ τὰ παιδία σας τρώγουσιν τυρὶ καὶ ὠὰ καὶ γάλα καὶ βούτυρον, τὸ δὲ κρέας μόνον νηστεύετε. καὶ ἂν ἀρρωστήσῃ τινάς, λέγετε· ἂς φάγῃ κρέας. Διὰ τί οἱ ἱερεῖ(ς) σας γυναῖκες οὐ λαμβάνουσιν; καθὼς [1]) λέγει μέγας ὁ Βασίλειος, ὅτι οὐδεὶς ἄξιος τῶ(ν) συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις καὶ ἡδοναῖς δουλεύειν σοι, βασιλεὺς τῆς δόξης. ἀλλ' ὁ Χριστὸς διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς ὥρισεν νὰ λαμβάνῃ παρθένος παρθένην καὶ παρθένοι κριθήσονται ὅτι πρῶτον συνοικέσιον (=-κή-) παρθενία καλεῖται, αὐτὸ δὲ ταμεῖο(ν) ἔχει ἡ ἐ(κ)κλησία, διὰ τοῦτο λέγει· οὓς ὁ θεὸς ἔζευξεν ἄνθρωπος μὴ χωριζέτω ὅτι καὶ ἡ ἐκ(κ)λησία ἐπίγειος οὐρανός ἐστιν. διὰ τοῦτο οὐ κωλύει τὸν ἄνθρωπον τὸν ἱερέα ἔχει(ν) γυναῖκα, ἐσεῖς δὲ γυναῖκας οὐ [2]) λαμβάνετε, ἀλλ' ἔχετε πουλακίδας (=παλλ-) καὶ ἀποστέλ(λ)ει τὸν δοῦλον αὐτοῦ καὶ φέρνει τὴν π(ου)λακίδα αὐτοῦ, ἐκεῖνος δὲ σβένει τὸ κερὶ καὶ ἀνέρχεται [3]) αὐτή(ν) ὅλην τὴν νύκτα, εἶτα ἐξέρχεται καὶ ποιεῖ μετάνοια(ν) εἰς αὐτοὺς ὁμοίους αὐτῷ λέγων· [4]) συγχωρήσατέ μοι, ἀδελφοί, ὅτι ἐφαντάστηκα, καὶ λαμβάνει συγχώρησιν καὶ εἰσέρχεται καὶ λειτουργεῖ. Ἄλλον. ὅτι βαστάζει τὸ σῶμα τοῦ Χριστοῦ εἰς τὸ πουγγί του καὶ εἰς τὴν βρακοθηλείαν του καὶ ὑπάγει πρὸς νεροῦ του καὶ εἰς γυναῖκα καὶ ἁμαρτάνει [5]) εἰς τὴν ψυχήν του. καὶ λέγει· νερὸν οὐκ ἔχει. καὶ οὐ βλάπτει λειτουργῶν πέντε φορὰς τὴν ἡμέραν καὶ τὴν νύκτα πέντε δέκα φορὰς εἰς ἓν βῆμα, καὶ ἐὰν εἰσέλθῃ εἰς τὴν λειτουργίαν νὰ ὑπάγῃ εἰς ἀναγ-

---

[1]) Leg. videtur ἀληθῶς. [2]) Cod. οὐ γυναῖκας οὐ. [3]) Omissum videtur καὶ ἔχει. [4]) Cod. ὁμοίως αὐτῷ λέγωσιν. [5]) Cod. ἁρματάνην.

χιόν [1]), ἐκδύεις τὴν ἀλ(λ)αγήν σου καὶ ὑπάγεις εἰς χρεία(ν) τοῦ σώματος καὶ πάλιν εἰσέρχεται... [2])

13. Палея историческая.

Ἱστορία παλαιοῦ περιέχων ἀπὸ τοῦ Ἀδάμ [3]).

Πρὸ πάντων καὶ σὺμ πάντων [4]) [καὶ] διὰ πάντων [5]) χρὴ τὸν ἀληθῆ [6]) χριστιανὸν ἐπιγνῶναι [7]) τίς [8]) θεὸς καὶ ὁσαχῶς [9]) θεὸς [καὶ κατὰ τί εἴρηται θεός]. Θεὸς ὁ πατὴρ ὁ ἄναρχος, ἀπερίγραπτος, [ἀπεριόριστος, ἀγέννητος, ἀόριστος, ἀκατάληπτος], πάντα περιέχων καὶ περιορίζων [καὶ ὑπ' οὐδενὸς ὁριζόμενος]. Θεὸς [10]) ὁ υἱὸς γεννηθεὶς παρὰ τοῦ πατρὸς [πρὸ] τῶν αἰώνων ἀρεύστως, ἐπ' ἐσχάτων [δὲ] σαρκωθεὶς [11]) διὰ οἰκονομίαν [12]) ἐκ παρθένου μητρός, ἀτρέπτος, ἀπερίγραπτος [13]) [κατὰ τὸν πατέρα, περιγραπτὸς] κατὰ τὴν σάρκαν [14]). Θεὸς τὸ πνεῦμα τὸ ἅγιον, ὁμοούσιον τῷ πατρὶ καὶ τῷ υἱῷ, ἐνεργοῦν [15]) τὰ πάντα καὶ διακρατῶν, διέπων καὶ συνέχων· κατ' ἄμφω γὰρ ἐν τοῖς τρισὶν οὐδὲ ἀτελές, [ἀλλὰ] μία βασιλεία, μία θέλησις, μία οὐσία [16]), ἓν φῶς τρισήλιον [δύο φύσεις], θεότητα λέγω καὶ ἀνθρωπότητα [17]).

[Πρῶτον] πιστεύω εἰς ἕνα θεὸν ἤγου(ν) ἄναρχον τὸν πατέρα [καὶ] συνάναρχον τὸν υἱὸν [καὶ] τὸ ἅγιον πνεῦμα συναΐδιον. πιστεύω τὸν πατέρα ἀγέννητον, τὸν υἱὸν γεννητὸν [18]) [καὶ] τὸ πνεῦμα τὸ ἅγιον [19]) [συναΐδιον καὶ] ὁμοούσιον. πιστεύω ἀπερίγραπτον τὸν πατέρα, περιγραπτὸν τὸν υἱόν, τὸ πνεῦμα τὸ ἅγιον ἀκατάληπτον, ἐνεργητικὸν ἐν πᾶσι τοῖς τοῦ πατρὸς [καὶ] υἱοῦ βουλήμασιν.

---

[1]) Cod. ἀναγγῖ. [2]) Reliqua perierunt. [3]) Sic titulum dat cod. Vindobonensis theol. 210 (Lamb. 247), nobis V, quem fundamentum libelli esse voluimus. Cod. Otthobonianus 205, unde variae sumptae sunt lectiones, exhibet Ἀρχὴ σὺν θεῷ ἀπὸ τοῦ παλαιοῦ λόγοι ἐκ πάντων τῶν ὑποθέσεων. Hic codex, qui est nobis O, haud raro et quae sunt in V praetermissa explet—haec uncis rectis [ ] sunt inclusa—et meliores lectiones praebet. [4]) ἐν πᾶσι. [5]) παντῶν V. [6]) ἀληθινόν. [7]) ἐπίστασθαι. [8]) τί ἐστι. [9]) ὡς ἀχώριστος V. [10]) Χριστός V. [11]) σαρκωθῆναι V. [12]) δι' οἰκ. [13]) ἀπεριγραπτόν V. [14]) σάρκα. [15]) ἐνεργῶν. Noster (sive V) ἐνεργοῦντα. [16]) βασ., μία θεότης, μία βουλή. [17]) θεότητος λ. καὶ ἀν—ος. [18]) τὸν ἐκ γενητῶν V. [19]) τὸ ἅγ. πν.

Πόσα ἔργα ἐποίησεν ὁ θεὸς ἐν ταῖς ἓξ ἡμέραις. Τῇ α′ ἡμέρᾳ ἐποίησεν τὸ φῶς ἤγουν τὴν ἡμέραν καὶ τὴν νύκταν. τῇ δευτέρᾳ ἡμέρᾳ τὸν οὐρανὸν καὶ τὴν γῆν [1]). τῇ τρίτῃ ἡμέρᾳ τὰς θαλάσσας, πηγὰς καὶ ποταμοὺς καὶ ἁπλῶς πᾶσαν τὴν ὑδάτων φύσιν. τῇ τετάρτῃ ἡμέρᾳ ἐποίησεν τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς ἀστέρας, νέφη καὶ τὸν ὄμβρον [2]). τῇ αὐτῇ ἡμέρᾳ ἰδὼν ὅ ποτε ἑωσφόρος καὶ νῦν ζοφωμένος [3]) τὸν οὐρανὸν κεκοσμημένον ἐπήρθη τῇ διανοίᾳ καὶ εἶπεν [ἐν] ἑαυτῷ· θήσω τὸν θρόνον μου ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ καὶ ἔσομαι ὅμοιος τῷ ὑψίστῳ. καὶ ἀπε(ῤ)ῥίφη προστάξει θεοῦ τοῦ τάγματος τῶν ἀγγέλων καὶ τῆς ἀγγελικῆς στολῆς ἐστερήθη [4]) καὶ γέγονεν ἀντὶ φωτὸς σκότος ἐζοφωμένον [5]). τινὲς δὲ λέγουσιν ὅτι διὰ τὸ μὴ προσκυνῆσαι τὸν παρὰ θεοῦ πλασθέντα ἄνθρωπον ἀπε(ῤ)ῥίφη· καὶ ληροῦσιν τὰ τοιαῦτα ἀνάθεμα [6]), ὁ γὰρ ἄνθρωπος τῇ ἕκτῃ ἡμέρᾳ ἐπλάσθη, ὁ δὲ ἀντικείμενος ἐξέπεσεν τῇ τετάρτῃ ἡμέρᾳ [7]). Ὁμοίως τῇ πέ(μ)πτῃ ἡμέρᾳ ἐποίησεν ὁ θεὸς τὰ φυτὰ καὶ πάντα τὰ [τετράποδα] ζῶά [τε] καὶ ἑρπετὰ καὶ θηρία. τῇ [δὲ] ς′ ἡμέρα ἔπλασεν τὸν ἄνθρωπον χοῦν λαβὼν ἀπὸ τῆς γῆς. Ἀριθμουμένων τοίνυν τῶν παρὰ [τοῦ] θεοῦ γενομένων [8]) ἔργων ἐν ταῖς ἓξ ἡμέραις γίνονται ἔργα κβ′ [λεγομένων ἔργων οὕτως· (α′) φῶς καὶ τὸ β′ οὐρανὸν καὶ γ′ γῆν, δ′ τὰ ὕδατα, ε′ τοὺς ἰχθύας, ς′ τὰ ἑρπετὰ καὶ θηρία, ζ′ πῦρ, η′ χίονα, θ′ ὄμβρους, ι′ θαλάσσας, ια′ νεφέλας, ιβ′ ἥλιον, ιγ′ σελήνην, ιδ′ ἀστέρας, ιε′ ἀγγέλους, ις′ φυτά, ιζ′ βοτάνας, ιη′ πετεινὰ πτερωτά, ιθ′ ὄρη καὶ βουνούς, κ′ ἑρπιστικά, κα′ ἤτοι ὁμίχλην καὶ [9]) κβ′ τὸν ἄνθρωπον. ταῦτα τὰ κβ′ ἔργα ἐποίησεν ὁ θεὸς ἐν ἓξ ἡμέραις] καὶ διὰ τοῦτο [καὶ] εἴκοσι δύο γράμ(μ)ατα παρ' ἑβραίοις τυ(γ)χάνουσι(ν).

Περὶ τοῦ Ἀδάμ [11]). Πλασθεὶς δὲ ὁ ἄνθρωπος παρὰ θεοῦ καὶ ἡ αὐτοῦ ὁμόζυγος **Εὔα** ἐτέθησαν [12]) παρὰ [τοῦ] θεοῦ τρυφᾶν τὸν μπα-

---

[1]) τὴν γῆν καὶ τὸν οὐρανόν. [2]) ν. τε καὶ τὰς τῶν ὄμβρων χύσεις. [3]) ἐζοφῶμένος. [4]) Ordinem inverti, cod. ἀπερ(ρ)ίφη καὶ τῆς ἀγγελικῆς στ. ἐστ. προστάξ. θ. τοῦ τάγματος τῶν ἀγγέλων. [5]) καὶ ἀπερ. προστάξει θεοῦ τὸ τάγμα τῶν ἀγγέλων καὶ γέγονεν ἀντὶ φωτὸς σκότος καὶ τῆς ἀγγελικῆς φωνῆς ἀπεστερημένος. [6]) τοῖς δὲ λέγουσιν ὅτι μὴ καταδεξάμενος προσκυνῆσαι τὸν Ἀδὰμ διὰ τοῦτο ἐξέπεσεν ψεύδονται. [7]) τῇ τ. ἡμ. ἐξέπεσεν. [8]) γινομένων V. [9]) Cod. καὶ ἤτοι δ̄ῑ κ̄ᾱ. [11]) Titul. deest. [12]) ἐτέθηκαν.

ράδεισον [1]). ὁ δὲ ἀντικείμενος φθόνῳ ληφθεὶς [καὶ] ἐνδυσάμενος τὸν ὄφιν ἦλθεν συντυ(γ)χάνων τῇ Εὔᾳ, ὅθεν [ὡς] μὴ ἐπιστάμενος τὰ ὑπὸ τοῦ θεοῦ αὐτοῖς ἐνταλθέντα ἐπηρώτα [2]) μαθεῖν βουλόμενος, ἡ δὲ γυνὴ ἀπεκρίνατο λέγουσα· ὅτι μόνον τοῦ ξύλου τῆς ζωῆς οὐχ ἀψόμεθα, τὰ δὲ ἄλλα πάντα ἐπ' ἐξουσίας [3]) ἔχομεν. ὅθεν συμβουλεύων ὁ ἀντικείμενος ἔφη πρὸς αὐτήν· [ὅτι] ἐὰν μόνον ἄψεσθε [4]) τοῦ ξύλου γενήσεσθε ὡς θεοὶ εἰδόντες [5]) καλὸν καὶ πονηρόν. Ἰδοῦσα δὲ ἡ γυνὴ τοῦ ξύλου τὴν ὡραιότητα ἐπήρθη τῇ ἰσοθείᾳ καὶ συνεβούλευσεν καὶ τῷ ἀνδρὶ [6]) αὐτῆς τὴν συμβουλὴν τοῦ ὄφεως. ὑπαχθεὶς [7]) καὶ ὁ Ἀδὰμ τῆς συμβουλῆς αὐτῆς [8]) καλόν, ἔφη, τοῦ γενέσθαι ἡμᾶς θεούς. καὶ ἅμα τοῦ γενέσθαι [9]) ταύτην τὴν συγκατάθεσιν εὑρέθησαν οἱ δύο [10]) γυμνοὶ τῆς θεουφάντου στολῆς καὶ οὕτως ἐκ τῆς γυμνώσεως αὐτῶν ἔγνωσαν ὅτι οὐ μόνον τῆς θεόσεως [11]) ἐξέπεσον, ἀλλὰ καὶ τοῦ θεοῦ τῆς ἀγάπης ἐχωρίσθησαν. Πολλοὶ δὲ περὶ τοῦ ξύλου [τῆς ζωῆς] εἰς ἀμφιβολίας τινὰς ἐτράπησαν, καὶ οἱ μὲν δῆθεν ἑρμηνεύοντες εἶδος [ξύλου] μᾶλλον [δὲ ξύλον] αὐτὸ [12]) προσεῖπον [13]) καὶ εἶδος (σ)πόρων τινῶν, καὶ οἱ μὲν σῦκον, οἱ δὲ σταφύλι [14]). ἀμφότεροι δὲ τοῦ ὀρθοῦ σφά(λ)λονται [15]). καὶ ὅτι οὐ στοχαζόμενοι ταῦτα λέγων [16]) μαρτυροῦσι γὰρ αἱ θεῖαι γραφαὶ λέγουσαι [17]) οὕτως· ὅτι διὰ τὴν ἰσοθείαν ἐξεώθησαν τοῦ παραδείσου. καὶ μαρτυρεῖ μοι τῷ λόγῳ καὶ συγγραφεὺς [18]) καὶ τῶν ὕμνων λέγων οὕτως· δράκων ἑρπύσας ἐξ Ἐδὲμ ἐμὲ θεώσεως πόθῳ δελεάσας ἔρ(ρ)ιψεν εἰς γῆν. ὥςτε μαρτυρεῖ οὐ δι' ἄλλο τι ἐξεβλήθησαν τοῦ παραδείσου εἰ μὴ διὰ τὴν ἰσοθείαν· θεότηταν [19]) γὰρ ἐπιθυμήσαντες ἐξέπεσαν [20]). ξύλον γὰρ τῆς ζωῆς οὐδέ(ν) ἄλλον ἐστὶν [21]) εἰ μὴ αὐτὸς ὁ Χριστὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον ὅπερ καὶ ἐνεφαίνετο [22]) τῷ Ἀδὰμ ὡς δένδρον ὑψίκομον ἀφικνούμενον ἕως τῶν οὐρανῶν οὗτινος ἡ θεωρία ὡραιοτέρα [23]) ἦν πάντων τῶν ὄντων. ἐκ τούτου [24]) ἐστὶν

---

[1]) τὸν παρ. [2]) ἐπερώτα. [3]) ἐπεξουσίως V (om. O). [4]) ἄψησθε. [5]) γινώσκοντες. [6]) τὸν ἄνδρα. [7]) ἀπαχθείς. [8]) τῇ συμβουλῇ τοῦ ὄφεως. [9]) συγ(γ)ενέσθαι V. [10]) καὶ ἅμα τῷ γενέσθαι αὐτοῖς ταύτην τὴν συγκατάβασιν, μᾶλλον τὴν συγκατάθεσιν εὑρέθησαν καὶ οἱ δύο. [11]) θεότητος [12]) αὐτοῦ V. [13]) προσειπών V. [14]) ἄλλοι σταφυλήν. [15]) ἀμφ. γὰρ τοῦτο ἐσφά(λ)λοντο. [16]) λέγουσιν. [17]) λέγουσιν V. [18]) Correxi ex συγγράφε V. [19]) θεότητα. [20]) ἐξέπεσον. [21]) οὐδέν ἐστιν ἄλλον. [22]) ἐφάνετο. [23]) ὡραιότερον V. [24]) καὶ τοῦτο.

φανερὸν ὅτι αὕτη ἡ δόξα τοῦ θεοῦ δῆλον ὅτι τὸ πνεῦμα [1]) τὸ ἅγιον ἵσταται μέσον τοῦ παραδείσου θάλπων τὸν μπαράδεισον [2]). διὸ καὶ ὁ διάβολος οὕτως εἶπεν τῇ Εὔᾳ· ὅτι ἐὰν ἅψησθε αὐτοῦ θαυμαστοὶ γενήσεσθε, ὁ γὰρ ἁψάμενος τῆς θεϊκῆς δόξης δοξασθήσεται. διὰ τοῦτο καὶ [3]) ὁ θεὸς ἐντολὴν αὐτοῖς δέδωκεν εἰπών· ὅτι ἐὰν ἅψησθε αὐτοῦ ἀποθανεῖσθε. Καὶ μὴ θαυμάσῃς ὅτι λέλεκται τοῦτο· ἔνθα γάρ ἐστιν θεοῦ ἐμφάνεια τοῦ μὴ ἐγγίσαι προςτέτακται. οὕτως γὰρ ἐν ὑστέρῳ [4]) τῷ Μωϋσῇ ἐν Σινᾶ οὕτω φησίν· ὅτι ἡ δόξα τοῦ θεοῦ ὅταν φανῇ [5]) ἐν τῷ ὄρει [ἐν Σινᾶ οὕτω φησίν·] πᾶς ὁ ἁψάμενος θανάτῳ ἀποθανεῖται. καὶ οὕτως λέλεκται περὶ τῆς δόξης τοῦ θεοῦ τοῦ μὴ ἅψασθαι ταύτης μηδὲ τοῦ [6]) πειρᾶσαι αὐτῆς [7]). Οὕτως καὶ τῷ Ἀδὰμ ἐνετείλατο· ὅτι τὸ ξύλον τῆς ζωῆς τὸ ἐν μέσῳ τοῦ παραδείσου οὐχ ἅψασθε αὐτοῦ. οὕτως γὰρ ἐν τῇ Γενέσει τῇ βίβλῳ [8]) κεῖται, ὅτι [ἀπὸ] παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φαγεῖν, τουτέστιν ἀπὸ τῶν βρωσίμων ξύλων, ἀπὸ δὲ τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν οὐ φάγεσθαι ἀπ' αὐτοῦ. ὥστε δῆλον οὐκ ἦν βρώσιμον ξύλον ὥς τινες λέγουσιν, ἀλλὰ δόξα θεοῦ φυομένη ἐν τῷ παραιδείσῳ, ἧς καὶ παρηγγέλθη ὁ Ἀδὰμ μὴ προςψαῦσαι. παρακούσας δὲ καὶ βουληθεὶς ἅψασθαι εὑρέθη γυμνός, ὥστε δῆλόν ἐστιν ὅτι διὰ τὴν ἰσοθείαν ἐξέπεσαν [9]). τοῖς [10]) δὲ λέγουσιν ὅτι συνουσία τῷ Ἀδὰμ ἐγέγονεν [11]) σὺν τῇ Εὔᾳ ἐντὸς τοῦ παραδείσου ἀνάθεμα [καὶ οὗτοι ψεύδονται μὴ εἰδότες τὴν ἀλήθειαν]. ὁ γὰρ Ἀδὰμ μετὰ τὸ ἐξελθεῖν τοῦ παραδείσου τριάκοντα χρόνους ἐποίησεν πενθῶν καὶ οὕτως [12]) συνεγένετο τῇ Εὔᾳ. ὅθεν καὶ [ὁ] Γρηγόριος ὁ Θεολόγος εἰς τὸ „Χθὲς τῇ λαμπρᾷ τῶν φωτῶν ἡμέρᾳ" οὕτως ἔφησεν [13])· ὅτι Ἰησοῦς τριακονταετὴς βαπτίζεται διὰ τὴν τριακονταετῆ ἁμαρτίαν [14]) τοῦ Ἀδάμ. ὅςτε καὶ αὐτὸς μαρτυρεῖ· ὅτι ἀφ' οὗ ἐξῆλθεν ἐκ τοῦ παραδείσου τριάκοντα χρόνους ἐποίησε καὶ οὕτως συνεγένετο τῇ Εὔᾳ. Τοῖς δὲ ἀπευχταίοις Φουνδαΐταις τοῖς λέγουσιν ὅτι ἀντικείμενος συνῆλθε τῇ Εὔᾳ καὶ [ἐξ αὐτοῦ] ἔτεκεν τὸν Κάϊν ἀνάθεμα. Ἔγνω δὲ Ἀδὰμ Εὔαν τὴν γυναῖκαν [15]) αὐτοῦ καὶ συλλαβοῦσα ἔτεκεν τὸν Κάϊν.

---

[1]) δηλοῖ τὸ πν. [2]) παράδεισον [3]) καὶ διὰ τ. [4]) ἐν ὑστέλῳ V. [5]) ὅτι ὅταν ἡ δ. τ. θ. φανῇ. [6]) τοῦδου μή V. [7]) ταύτην. [8]) τῶν βίβλων V. [9]) ἐξέπεσον. [10]) οἷς, V τινές. [11]) γέγονεν. [12]) οὐ V. [13]) οὕτω φησίν. [14]) τριακονταετίαν V. [15]) γυναῖκα.

Περὶ τοῦ Κάϊν [1]. Γέγονεν δὲ Κάϊν πανβέβηλος [2] καὶ ἀντάρτης θεοῦ [3] καὶ πᾶσαν πονηρὰν πρᾶξιν αὐτὸς ἐκτήσατο. καὶ μαρτυρεῖ μοι τῷ λόγῳ Ἀνδρέας Κρήτης γράφων οὕτως· ὡς ὁ Κάϊν καὶ ἡμεῖς, ψυχὴ ἀθλία, τὸν πάντων κτίστην [4] πράξεις ῥυπαρὰς καὶ θυσίαν ψεκτὴν καὶ ἄχρηστον βίον προσηγάγομεν ὁμοῦ διὸ καὶ κατεκρίθημεν. Μαρτυρεῖ οὖν [5] οὗτος ὅτι πᾶς ὁ βίος τοῦ Κάϊν βέβηλος ἦν καὶ οὐ μόνον τὴν ψεκτὴν θυσίαν προσέφερεν, ἀλλὰ πᾶσαν πονηρὰν κακουργίαν αὐτὸς ἐκέκτητο [6].

Μετὰ δὲ τοῦτο ἐγεννήθη τῷ Ἀδὰμ υἱὸς καὶ ἐπωνόμασεν αὐτὸν Ἄβελ, ὃ ἑρμηνεύεται πένθος, Κάϊν δὲ ἑρμηνεύεται ζῆλος. καὶ ὁ μὲν Ἄβελ προσφέρει [7] θυσίαν Κυρίῳ τῷ θεῷ ἀπὸ τῶν πρωτοτόκων τῶν προβάτων αὐτοῦ [καὶ ἀπὸ τῶν στεάτων αὐτοῦ]. Καὶ μαρτυρεῖ μοι τῷ λόγῳ ὁ Κρήτης Ἀνδρέας γράφων οὕτως· τὴν τοῦ Ἄβελ, Ἰησοῦ, οὐχ ὡμοιώθην δικαιοσύνην, δῶρά σοι δεκτὰ οὐ προσῆξά [8] ποτε· οὐ πράξεις ἐνθέους οὐ θυσίαν καθαρὰν οὐδὲ βίον ἀνεπίληπτον.

Περὶ τοῦ Ἄβελ [9]. Τοιοῦτος ἦν Ἄβελ θεοσεβὴς ὅτι ἐν φόβῳ θεοῦ [καὶ] δικαιοσύνῃ συνέζη [10] διόπερ καὶ τὰς θυσίας αὐτοῦ προσέλαβεν [11] ὁ θεός, τοῦ δὲ Κάϊν τὴν θυσίαν βδελυσσόμενος [12] ἀποστρέφετο [13]. καὶ ἐκ τοῦτο [14] ἐφθόνησεν ὁ Κάϊν τὸν ἀδελφὸν αὐτοῦ τὸν Ἄβελ καὶ λέγει αὐτό(ν)· διέλθωμεν εἰς τὸ πεδίον δῆθεν μετεωρισθῆναι. καὶ ἐλθόντες εἰς τὸ πεδίον ἀνέστη Κάϊν ἐπὶ Ἄβελ τὸν ἀδελφὸν αὐτοῦ καὶ ἀπέκτεινεν αὐτόν. Καὶ ἐπερώτησεν Κύριος [ὁ θεὸς] τὸν Κάϊν λέγων· ποῦ ἐστιν Ἄβελ ὁ ἀδελφός (σ)ου; καὶ ἀπεκρίθη Κάϊν καὶ εἶπε πρὸς [τὸν] Κύριον· μὴ φύλαξ τοῦ ἀδελφοῦ μοῦ εἰμι ἐγώ; καὶ εἶπε Κύριος πρὸς αὐτόν [15]. τί τοῦτο ἐποίησας [16]; φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με ἐκ τῆς γῆς, καὶ νῦν ἐπικατάρατος σὺ ἐπὶ τῆς γῆς [17] ἣ ἔχανεν τὸ στόμα αὐτῆς δέξασθαι τὸ αἷμα τοῦ ἀδελφοῦ σου ἐκ τῆς χειρός (σ)ου. Καὶ εἶπεν Κάϊν πρὸς Κύριον· καὶ εἰ ἐκβά(λ)λεις με σήμερον ἀπὸ προσώπου τῆς γῆς [καὶ ἀπὸ προσώ-

---

1) Tit. deest. 2) παμβ. 3) τῷ θεῷ. 4) τῷ κτίστῃ πάντων. 5) γάρ. 6) ἀλλὰ καὶ πᾶσαν πονηρίαν καὶ κακουργίαν ἐκέκτητο. 7) προσέφερε. 8) προσήξω V. 9) Titul. deest. 10) θεοῦ δικαιοσύνης συνέζε V. 11) προσελάμβανε. 12) βδελυττόμενος. 13) ἀπεστρέφετο. 14) ἐκ τούτου 15) πρὸς Κάϊν. 16) τί ἐπ. τοῦτο. 17) ἐπικατ. εἶ ἀπὸ τῆς γῆς.

που σου κρυβήσομαι, καὶ ἔσται [1]) πᾶς ὁ εὑρίσκων με ἀποκτενεῖ με. Καὶ εἶπε Κύριος τῷ Κάϊν· οὐχ οὕτως. πᾶς ὁ ἀποκτείνας Κάϊν ἑπτὰ ἐκδικούμενα παραλύσει, καὶ ἔσται Κάϊν στένων καὶ τρέμων ἐπὶ τῆς γῆς. Καὶ οὕτως ἦν Κάϊν ἀπὸ προσώπου τῆς γῆς] καὶ οὐκ ἦν ὁ τολμῶν ἀποκτεῖναι τὸν Κάϊν, ἵνα μὴ γένηται ἔνοχος [2]) τῶν ἑπτὰ ἐκδικουμένων. Ἐκδικούμενα δὲ ὠνομάσθησαν [3]) διότι ταῦτα πράξας οὐκ ἔστι [4]) ἐκφυγεῖν [5]) τὴν τοῦ θανάτου ἀγανάκτησιν, ἀλλὰ καὶ ἐκδικεῖται [6]) παρὰ [τοῦ] θεοῦ ἡ τοιαύτη ἁμαρτία. καὶ διὰ τοῦτο ὠνομάσθησαν ἐκδικούμενα ὡς παρὰ [τοῦ] θεοῦ τὴν ἐκδίκησιν λαμβάνοντα. Ἅπερ δὲ ἔφερεν πονηρὰ [ἔργα] ὁ Κάϊν εἰσὶν αὐτά [7])· πρῶτον θεὸν παρώργισεν [8]), δεύτερον πατέρα [9]) ἐλύπησεν, τρίτον ἀδελφὸν ἀπέκτεινεν, τέταρτον ψεῦδος εἰργάσατο, πέ(μ)πτον φόνον ἀπετέλεσεν, ἕκτον γῆν ἐμίανεν, ἕβδομον ᾅδην ἀνεκαίνεσεν [10]) [ἄρνησιν θεοῦ μελετήσατο], ἐρωτηθεὶς γὰρ παρὰ θεοῦ, ποῦ ἐστιν Ἄβελ ὁ ἀδελφός σου, ἠρνήσατο εἰπών· μὴ φύλαξ τοῦ ἀδελφοῦ μοῦ εἰμι ἐγώ; διὰ τοῦτο ἐκατηράσθη παρὰ [11]) θεοῦ στένειν καὶ τρέμειν ἐπὶ τῆς γῆς καὶ μὴ τολμᾶν [12]) αὐτὸν κτεῖναι πάντα τὸν εὑρίσκοντα αὐτόν, ἵνα βλέποντες [οἱ] μετέπειτα σοφρονίζωνται τοῦ μὴ ποιεῖν φόνους. Καὶ διῆγεν ὁ Κάϊν στένων καὶ τρέμων ἐπὶ τῆς γῆς. καὶ ἐγέννησεν [13]) υἱοὺς καὶ θυγατέρας καὶ ἦν ἕως τῆς δευτέρης [14]) χιλιετερίδος [15]) τιμωρούμενος. Ἐγεννήθη δὲ τῷ Κάϊν υἱὸς καὶ ἐπωνόμασεν αὐτὸν Ἐνώς. ἐγεννήθη δὲ τῷ Ἐνὼς Γαιδὰδ [καὶ] Γαιδὰδ ἐγέννησεν τὸν Μαλελεὴλ καὶ Μαλελεὴλ ἐγέννησε τὸν Μαθουσάλα καὶ Μαθουσάλα ἐγέννησεν τὸν Λάμεχ.

Περὶ τοῦ Λάμεχ [16]). Ἐγεννήθη δὲ Λάμεχ ἐκ κοιλίας μητρὸς αὐτοῦ τυφλός [17]). ἔλαβεν [δὲ] χάριν παρὰ θεοῦ τοῦ Κυρίου [18]) τοξεύειν ἐνστοχώτατα [19])· τυφλὸς γὰρ ὢν ζῶα παντοδαπὰν [20]) διὰ τοῦ βέλους ἀπέκτεινεν οἷον ἐλάφους, λέοντας, ἄρκους, δορκάδας, καὶ οὐ μόνον ἐν τετράποσιν, ἀλλὰ καὶ ἐν πτερωτοῖς· ἀετοὺς καὶ γύπας καὶ εἴ τι ἕτερον [21]) [ὄρνεον] εἶχεν ὑποδεῖξαι. εἶχε γὰρ τὸν

---

[1]) Cod. ἔστι. [2]) ἔκδικος V. [3]) ὠνομάστησαν. [4]) οὐκέτι V. [5]) φυγεῖν. [6]) ἐκδίκειντται V. [7]) ταῦτα. [8]) ἐπαρώργισεν. [9]) μητέρα V. [10]) ᾅδην ἀνεκαίνεσεν om. [11]) κατηράθη ὑπό. [12]) τολμῶν. [13]) Ἐγέννησε δέ, V. Κάϊν ἐγ. [14]) δευτέρας. [15]) χιλιοντάδος ἐπέριδε V. [16]) Titul. deest. [17]) Καὶ ἦν Λ. τυφλὸς ἐκ κοιλίας μητρὸς αὐτοῦ. [18]) Κυρίου τοῦ θ. [19]) ἀστοχώτατα. [20]) παντοδαπά. [21]) ὅμοιον.

ὁδηγοῦντα αὐτὸν καὶ μόνον τὴν χεῖρα αὐτοῦ ὡδήγει ὁ ὁδηγῶν [1]) ἐκτείνων [ἐν] ἐκείνῳ τῷ μέρει ἐν ᾧ τὸ ζῶον ἔβλεπεν ἢ τὸ ὄρνεον καὶ οὕτως πήγων τὸ βέλι ἐτίτρωσκεν τὸ ζῶον (ὃ) ἔβλεπεν ὁποῖον ἄρα καὶ ἦν, καὶ ἀπέκτεινεν [2]) καὶ ἔζη μετὰ τοῦ κυνηγίου αὐτοῦ [3]). Καὶ ἔλαβεν αὐτῷ Λάμεχ ὁ τυφλὸς δύο γυναῖκας, ὄνομα τῇ μιᾷ Ἀδδὰ καὶ ὄνομα τῇ δευτέρᾳ Σελά. λαμβάνων [4]) δὲ ὁ Λάμεχ καθ' ἑκάστην ἡμέραν τὸν ὁδηγοῦντα αὐτὸν ἐξήρχετο καὶ ἐθήρευε [5]) ζῶα καὶ διέτρεφεν αὐτάς [6]).

Περὶ τοῦ θανάτου Κάϊν [7]). [Ἐν ταῖς ἡμέραις ἐκείναις] ἀγανακτήσας ὁ Κάϊν τὴν πολυόδυνον ζωὴν αὐτοῦ [8]) τὸ στένειν καὶ τρέμειν ἐπέδωκεν ἑαυτὸν [9]) ἐν ὄρεσιν ἀβάτοις [καὶ ἄλσεσι δυςβάτοις] λέγων ἐν ἑαυτῷ οὕτως· ὅτι μή πως κἂν ὑπὸ θηρίου [10]) ἀναλωθήσωμαι ἢ ὑπὸ ὀρνέου καταβρωθήσωμαι. καὶ οὐκ ἦν οὐδεὶς ὁ τὸν Κάϊν ἀναιρῶν [11]). Ἐγένετο δὲ [ἐν] μιᾷ τῶν ἡμερῶν ἐξῆλθε Λάμεχ ὁ τυφλὸς θηρεῦσαι θήραν καὶ ὁδηγῶν αὐτὸ(ν) σὺν αὐτῷ νεανίσκος [12]). καὶ γενομένων αὐτῶν ἐν ἄλσει [13]) λέγει πρὸς τὸν Λάμεχ [ὁ ὁδηγῶν αὐτὸν νεανίσκος]· ὁρῶ ἐν τῇ ἄλσει τοὺς καλάμους ταραττομένους [14]) καὶ ὑποπτεύω [15]) ὅτι ζῶόν ἐστιν. λέγει πρὸς αὐτὸν Λάμεχ· ὄρθωσόν μου τὴν χεῖρα ἐν ᾧ [16]) τὸ ζῶον ὑποπτεύεις ὁρᾶν. καὶ ὁδηγήσας ὁ νεανίσκος [17]) τὴν χεῖραν τοῦ Λάμεχ [ὡδήγησεν πρὸς ὃν ὑπώπτευε τὸ ζῶον καὶ ἔτεινεν ὁ Λάμεχ τὸ τόξον καὶ] τὸ βέλος ἔκρουσεν τὸν Κάϊν καὶ ἀπέκτεινεν αὐτὸν μὴ γινώσκων [Λάμεχ] ὅτι Κάϊν ἐστίν, ἔγνω δὲ [Λάμεχ] ἀπὸ τοῦ κρούσματος τοῦ βέλους τῇ χειρὶ [18]) ὅτι ἄνθρωπον ἔκρουσεν· στενάξας τοίνυν [19]) πικρῶς ὁ Κάϊν ἐξέψυξεν. καὶ οὕτως ἔγνω ὁ Λάμεχ ὅτι ἔκτεινεν [20]) τὸν Κάϊν καὶ ἐλυπήθη [σφόδρα] καὶ κρούσας τὸν νεανίσκον τὴν χεῖρα ἀπέκτεινεν αὐτό(ν) [21]) καὶ ἦν θρηνῶν ὁ Λάμεχ. εὑρόντες δέ τινες [καὶ] χειραγωγήσαντες ἤγαγον ἐπὶ τὴ(ν) οἰκία(ν) ἔχων τὸν θρῆνον μέγαν [22]). συναντήσαν-

---

[1]) ὁδηγεῖν ὁδηγῶν V. [2]) ἐτεῖνεν τὸ βέλος, ἐτίτρωσκε τὸ ζῶον εἴ τι ἂν εἴη ἀπέκτεινεν. [3]) ἔζη δὲ ἀπὸ τοῦ κυνηγίου [4]) λαβών. [5]) ἐξ. εἰς τὸ θηρεῦσαι. [6]) διετρέφετο αὐτὸς καὶ αἱ γυναῖκες αὐτοῦ [7]) Titul. deest. [8]) αὐτοῦ ζωήν. [9]) αὐτόν, V ἑαυτοῦ. [10]) θηρίων. [11]) ἑλῶν. [12]) ὁ ὁδηγ. ἀ. ν. σὺν αὐτῷ. [13]) γενομένου αὐτοῦ ἐπὶ τοῦ ἄλσους. [14]) ταρασσομένους. [15]) ὑπολαμβάνω. [16]) τὰς χεῖρας ἔνθα. [17]) ὁ ὁδηγῶν παῖς. [18]) ἀπὸ τοῦ κρούσματος τῆς χειρὸς αὐτοῦ. [19]) οὖν. [20]) ἀπέκτεινεν. [21]) καὶ στρέψας τὴν χεῖραν αὐτοῦ καὶ κρούσας τὸν νεανίσκον ἀπέκτεινεν αὐτόν. [22]) καὶ ἐθρήνει θρῆνον μέγαν.

τες τοίνυν αὐτὸν [1]) αἱ γυναῖκες αὐτοῦ ἤρξαντο θρηνεῖν αὐτῷ καὶ ἐρωτῶντες αὐτὸν [2]) τὴν αἰτίαν τοῦ θρήνους. ὁ δὲ Λάμεχ κλα(υ)θμὸν μέγαν καὶ πικρὸν ἀναλαβὼν [3]) ἔφησεν οὕτως· Ἀδδὰ καὶ Σελά, ἀκούσατέ μου τῆς φωνῆς μου, γυναῖκες Λάμεχ, ἐνωτίσασθέ μου τοὺς λόγους ὅτι ἄνδρα ἀπέκτεινα [φησίν] εἰς τραῦμα ἐμοῖ καὶ νεανίσκον εἰς μώλωπα ἐμόν, ὅτι ἑπτάκις ἐκδεδίκηνται [4]) Κάϊν ἐκ (=καὶ) δὲ Λάμεχ ἑβδομηκοντάκις ἑπτά. Τί δὲ τοῦτο λέγων; ὅτι ἑπτὰ ἐπιτίμια ἐπέθησαν τῷ ἀποκτεῖναι τὸν Κάϊν, ἐμὲ δὲ ἑβδομηκοντάκις ἑπτὰ ἐτεθήσονται [5]) ὑπὸ τοῦ θεοῦ καὶ πειρασθήσομαι ὑπὸ τὸν [6]) Κάϊν σφοδρότερον. Καὶ μαρτυρεῖ μοι τῷ λόγῳ καὶ ὁ θαυμάσιος Ἀνδρέας ὁ Κρήτης γράφων οὕτως· ἄνδρα ἀπέκτεινα, φησίν, εἰς μώλωπα ἐμοῖ καὶ νεανίσκον εἰς τραῦμα ἐμοῖ. Λάμεχ θρηνῶν ἐβόα ταῖς ἰδίαις γυναιξίν, σὺ δὲ οὐ τρέμεις, ὦ ψυχή μου; Οὗτος, ἀδελφοί, ὁ Λάμεχ πρῶτος τῆς ἐξομολογήσεως τύπος ἐγένετο καὶ ἔλαβεν τὴν συ(γ)χώρησιν παρὰ [τοῦ] θεοῦ διότι αὐτοπροαιρέτως [7]) ἐγένετο καθ' ἑαυτὸν διαιτητής [8]).

Περὶ τοῦ θανάτου Ἄβελ [9]). Ὁ δὲ Ἀδὰμ ἰδὼν τὸν Ἄβελ πεφονευμένον καὶ μὴ γινώσκων τὸ τοῦ θανάτου εἶδος ὁποῖόν ἐστιν παρεκάθητο τὸ σῶμα τοῦ Ἄβελ ἡμέρας τρεῖς, ἄγγελος δὲ Κυρίου ἐλθὼν πρὸς αὐτὸν ἔφη· τί παρακάθῃ σῶμα νεκρόν; ἄφωνος γὰρ καὶ ἀκίνητος ἀπὸ τὴν σήμερον ἔσται ὁ Ἄβελ· αὕτη γάρ ἐστι ἡ ἀρὰ ἣν ἤκουσας ὅτι γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ. Ταῦτα ἀκούσας [ὁ] Ἀδὰμ παρὰ τοῦ ἀγγέλου ἤρξατο θρηνεῖν σφόδρα [10]). εὑρὼν δὲ πέτραν ἐν εἴδει σπηλαίου ἔθηκεν ὑποκάτω τὸ σῶμα τοῦ Ἄβελ [καὶ] καθ' ἑκάστην ἡμέραν ἐρχόμενος [11]) ἔβλεπε τὸ σῶμα τοῦ Ἄβελ, καὶ ὡς ἑώρα αὐτὸν κατὰ μικρὸν σηπόμενον πλείονα τὸν θρῆνον ἀπέτεκεν [12]) [ὅτι τὸ] τοῦ θανάτου πικρὸν ποτήριον πιεῖν ἔμε(λ)λεν.

[Ἐγέννησε δὲ Ἀδὰμ υἱὸν καὶ ἐπωνόμασεν τὸ ὄνομα αὐτοῦ Σήθ. ὅστις τοὺς υἱοὺς αὐτοῦ καὶ τὰς θυγατέρας ἐδίδαξε τὴν εὐσέβειαν.] Ἐγέννησε δὲ Ἀδὰμ υἱούς [13]), ὡς γράφει Ἰώσηπος, παῖδας ἑξήκοντα οἵτινες [14]) καὶ ἐγένοντο ἀνδρόγυνα τριάκοντα. Οἱ

---

1) αὐτῷ. 2) θρ. αὐτῷ διερωτοῦντες αὐτῷ. 3) ἀναλαβόντες V (in O excidit). 4) ἐκδεδίκηται. 5) τεθήσονται. 6) τοῦ. 7) αὐτῷ προαίρετος V. 8) δ. καθ' ἑαυτοῦ (uterque διετής). 9) Περὶ τοῦ Ἀδάμ. 10) θρηνεῖν ἐν οἰμωγαῖς. 11) ἀνερχόμενος 12) ὑπέφερεν. 13) υἱούς om. 14) ἤτοι vel οἵτι V.

δὲ τοῦ Κάϊν ἀπόγονοι πονηροὶ γεγονότες καὶ εἰς ἀσεβείας [1]) τινὰς ἀσέμνους ἐξέκλιναν [2]) καὶ πᾶσαν ἀσέβειαν καὶ πᾶν ἦτοι [3]) πονηρὸν ἐργαζόμενοι [4]) τοῦ θεοῦ ἐχωρίσθησαν καὶ καταλιπόντες τὸν θεὸν τῷ ἰδίῳ θελήματι ἐξετράπησαν καὶ τοῦ πονηροῦ [καὶ] κακούργου δαίμονος τὰ θελήματα ἐποίουν καὶ οὐκ ἦν ἐν αὐτοῖς μνήμη θεοῦ· καὶ ὠργίσθη θυμῷ Κύριος ἐπ' αὐτοὺς καὶ ἐβουλήθη αὐτοὺς ἐκτρίψαι ἀπὸ προσώπου πάσης τῆς γῆς [5]). Ἰδόντες δὲ [οἱ] υἱοὶ τοῦ Σὴθ τὰς θυγατέρας τοῦ Κάϊν ὡραίας (οὔσας) [6]) ἔλαβον ἑαυτὰς [7]) γυναῖκας ἀπὸ πασῶν ὧν ἐξελέξα(ν)το καὶ ἔμαθον παρὰ αὐτῶν [8]) καταλεῖψαι Κύριον τὸν θεὸν καὶ πορευθῆναι ἐν ἰδίοις θελήμασιν οἷς αὐτοὶ ἐβούλοντο. Περὶ ταύτης τῆς γενεᾶς [9]) μέμνηται ὁ Χριστὸς ἐν Εὐαγγελίοις λέγων· ὅτι ὥσπερ ἦσαν ἐν ταῖς ἡμέραις ταῖς [10]) πρὸ τοῦ κατακλυσμοῦ τρώγοντες καὶ πίνοντες, γαμοῦντες καὶ ἐγγαμίζοντες [11]). ὁμοίως καὶ ὁ κύρος Ἀνδρέας ὁ Κρήτης ἐν ὕμνοις γράφων οὕτως [12])· τοὺς ἐπὶ Νῶε, σωτήρ, ἀσελγηκότας ἐμιμησάμην. καὶ πᾶσα γραφὴ παλαιά τε καὶ νέα τὴν ἐκείνων θρηνεῖ παρανομίαν. Τούτων καὶ ὁ ψαλμῳδὸς μέμνηται λέγων· ὡς οἱ τραυματίαι καθεύδοντες ἐν τάφῳ ὧν οὐκ ἐνεμνήσθησαν [13]) ἔτι, καὶ αὐτοὶ ἐκ τῆς χειρός σου ἀπόστησαν.

Ἐγεννήθη δὲ τῷ Ἀδὰμ Σὴθ καὶ τῷ Σὴθ ἐγεννήθη Ἐνὼς καὶ Ἐνὼς ἐγέννησεν Καινάν, Καινὰς ἐγέννησεν τὸν Μαλελεήλ, Μαλελεὴλ δὲ ἐγέννησεν τὸν Μαθουσάλά καὶ Μαθουσάλα ἐγέννησεν τὸν Ἑνώχ [14]).

Περὶ τοῦ Ἑνώχ [15]). Γεν(ν)ηθέντος δὲ τοῦ Ἑνὼχ γέγονεν ἀνὴρ ἀγαθὸς καὶ θεοσεβὴς πληροῦντα [16]) τοῦ θεοῦ τὰ θελήματα καὶ οὐ συνυπάχθη [17]) ταῖς βουλαῖς τῶν γιγάντων· τότε γὰρ ἦσαν οἱ γίγαντες. καὶ μετετέθη [18]) Ἑνὼχ ὑπὸ θεοῦ προστάξει καὶ οὐκ εἶδεν ἄνθρωπος τὴν μετάθεσιν αὐτοῦ [τί γέγονεν].

Περὶ τοῦ Νῶε. Τῶν δὲ γιγάντων ἐν τούτοις ὄντων καὶ μὴ θελόντων [19]) δοξάσαι τὸν θεὸν ἐγεννήθη ἄνθρωπος ὀνόματι Νῶε,

---

[1]) ἀσελγείας. [2]) ἐξεκλίναντες. [3]) an ἦτος=ἦθος? [4]) καὶ πᾶσαν πονηρίαν καὶ ἀσέλγειαν ἐργασάμενοι. [5]) ἀπὸ πρ. τῆς γῆς πάντας. [6]) θυγ. τοῦ Κάϊν ὅτι καλαί εἰσιν καὶ ὡραῖαι. Add. ego οὔσας. [7]) αὐτάς. [8]) παρ' αὐτῶν. [9]) χαναvείας V. [10]) ἦσαν αἱ ἡμέραι V. [11]) γαμίζοντες. [12]) Ἀ. Κρ. λέγων οὕτως. [13]) ἐμνήσθης. [14]) τῷ Σὴθ ἐγεννήθη Ἐνὼς καὶ τῷ Ἐνὼς Καινὰν καὶ τῷ Καινὰν Μαλελεὴλ καὶ τῷ Μαλ. Μαθουσάλα καὶ τῷ Μ. Ἰαρὲδ καὶ τῷ Ἰ. Ἑνώχ. [15]) Titul. deest. [16]) πληρῶν τά. [17]) συνεπράθη. [18]) μετ. δέ. [19]) μὴ θέλων V.

ἀνὴρ θεοσεβὴς καὶ φοβούμενος τὸν θεόν, μὴ ὑπαχθεὶς ταῖς βουλαῖς τῶν γιγάντων, ὥσπερ οὐδὲ ὁ Ἑνώχ. Τοῦτον ἰδὼν ὁ θεὸς δίκαιον λέγει πρὸς αὐτόν· εὐαρέστῃ ἐναντίον μου, ὅτι σε εἶδον δίκαιον ἐν τῇ γενεᾷ ταύτῃ καὶ στήσω τὴν διαθήκην μου μετά σου, ὅτι οὐ μὴ καταμείνει τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις διὰ τὸ εἶναι αὐτοὺς σάρκας, τουτέστιν [1]) ἐραστὰς τῶν σαρκικῶν ἐπιθυμιῶν. ποίησον οὖν σεαυτὸν [2]) κιβωτὸν ἐκ ξύλων ἀσήπτων. οὕτως [γὰρ] ποιήσεις τὴν κιβωτόν [3])· τριακοσίων πηχέων τὸ μῆκος καὶ πεντήκοντα πηχέων τὸ πλάτος καὶ τριακοσίων [4]) πηχέων τὸ ὕψος, καὶ (κε)νωσίας [5]) ποιήσεις ἐπ' αὐτὴν [6]) κατώγαια [7]) διόροφα καὶ τριόροφα. καὶ οὕτως ποίησεις αὐτὸ καὶ εἰς πῆχυν συντελήσεις αὐτὴν ἄνωθεν [8]). τὴν δὲ θύραν ποιήσεις ἐκ πλαγίων [9]) καὶ εἰσάξεις μετά σε [10]) ἐκ πάντων [τῶν ζώων καὶ πάντων τῶν πετεινῶν καὶ πάντων] τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ [11]) τῆς γῆς ἑπτὰ ἑπτὰ ἄρσεν καὶ θῆλυ, καὶ εἰσάξεις μετά σε ἐν τῇ κιβωτῷ καὶ ἀπὸ πάντων τῶν βρωμάτων ὧν ἔδεσθαι καὶ ἔσονταί σοι ἐκεῖ φαγεῖν [12]). καὶ εἰσάξεις μετὰ σεαυτοῦ ἐκ πάντων τῶν ζώων καὶ πάντων τῶν ἑρπετῶν καταλεῖψαι σπέρμα ἐπὶ προσώπου πάσης τῆς γῆς [13]). οὕτως δὲ ποιήσεις τὴν κιβωτὸν εἰς χρόνους ρκ'. **Καὶ** ἐποίησεν **Νῶε** πάντα ὅσα ἐνετείλατο αὐτῷ **Κύριος** ὁ θεός. ἤκουον δὲ οἱ γίγαντες ὅτι ὁ δίκαιος **Νῶε** κτίζει [14]) κιβωτὸν διὰ τὸν κατακλυσμὸν τοῦ ὕδατος καὶ κατεγέλουν αὐτόν [15]). ἀλ(λ)ὰ καὶ ὁ Ἑνὼχ ἔτι περιὼν ἔλεγε τοὺς γίγαντας [16])· ὅτι γῆ ὑπὸ πυρὸς ἀναλωθήσεται ἢ ὑπὸ ὕδατος. καὶ οὐδὲν ἄλ(λ)ον [17]) ἐποίει ὁ δίκαιος Ἑνὼχ εἰ μὴ καθεζόμενος ἔγραφεν ἐν μαρμάροις καὶ ἐν πλί(ν)θεσιν τὰ ἐξ ἀρχῆς γινόμενα τοῦ θεοῦ μεγαλούργεια [18]). ἔλεγεν γάρ· ἐὰν ὑπὸ πυρὸς ἀναλωθήσεται ἡ γῆ, σωθήσονται οἱ πλίνθοι καὶ ἔσονται εἰς ὑπόμνημα [τοῖς μετέπειτα] τῶν ἐξ ἀρχῆς γινομέναν [19]) μεγαλουργείων τοῦ θεοῦ. εἰ δὲ ὑπὸ ὕδατος ἀναλωθήσεται ἡ γῆ, διασωθήσονται αἱ πλάκες τῶν μαρμάρων. **Καὶ** πολλὰ

---

[1]) οἷον. [2]) σεαυτῷ. [3]) αὐτήν. [4]) τριάκοντα. [5]) νωσίας uterque. [6]) ἐπ' αὐτό V. [7]) κατάγαισ. [8]) καὶ οὕτω ποιήσεις αὐτὴν ἄνωθεν. εἰς πῆχυν συντελέσεις αὐτήν. [9]) ἐκ πλαγίου. [10]) μετά σου. [11]) ἀπό. [12]) καὶ ἀπὸ π. τ. βρ. ὧν ἔδ. εἰσάξεις μετὰ σεαυτοῦ καὶ ἔσονταί σοι καὶ ἐκεῖνα φαγεῖν. [13]) ἀπὸ προσώπου τῆς γῆς. [14]) ἐκτίζει. [15]) κατεγέλων αὐτοῦ. [16]) ἔλεγεν ἔτι περιὼν (V. ἐπιπεριὼν) τοὺς γίγαντας. [17]) ἄλλο. [18]) τὰ ἐξ ἀρχῆς γενόμενα πάντα. [19]) γινομένων.

τοῖς γιγάντοις [1]) Ἑνὼχ διεμαρτύρατο [2]), ἀλλ᾽ ἔμειναν ἀκαμπεῖς καὶ ἀμείλικτοι [3]) μηδὲ [4]) θελήσαντες δοξάσαι τὸν ποιητήν, ἀλλ᾽ ἕκαστος [αὐτῶν] τῇ ἰδίᾳ θελήσει τῆς σαρκὸς ἐπορεύθησαν· διὸ καὶ ὁ θεὸς ὠργίσθη [5]) κατ᾽ αὐτῶν καὶ δέδωκεν ἰσχὺν τῷ Νῶε [6]) καὶ συνετέλεσε τὴν κιβωτὸν εἰς χρόνους ρ', τοὺς δὲ εἴκοσι ἐφεξέρισεν διὰ τὸ μὴ θελῆσαι τοὺς γιγάντας [7]) δοξάσαι Κύριον τὸν θεὸν αὐτῶν. Καὶ ἐγένετο μετὰ τὸ συντελέσαι [8]) Νῶε τὴν κιβωτὸν καὶ ἀσφαλτωθῆναι αὐτὴν ἔσωθεν καὶ ἔξωθεν τῇ ἀσφάλτῳ καὶ εἰσήγαγεν [Νῶε] ἐκ πάντων τῶν ζώων εἰς τὴν κιβωτὸν καθάπερ ἐνετείλατο [αὐτῷ ὁ] Κύριος ὁ θεός· τῇ αὐτοῦ γὰρ προστάξει ἤρχοντο [9]) πρὸς αὐτὸν πάντα τὰ ζῶα, καὶ λαμβάνων ταῦτα ὁ δίκαιος Νῶε εἰσήγαγεν εἰς τὴν κιβωτόν.

Περὶ τῆς κιβωτοῦ [10]). Μετὰ δὲ τὸ συντελέσαι [ταῦτα πάντα] ὁ δίκαιος Νῶε τὰ ὑπὸ τοῦ θεοῦ ὡρισμένα εἶπεν Κύριος πρὸς αὐτόν· εἴσελθε εἰς τὴν κιβωτὸν σὺ καὶ οἱ υἱοί σου καὶ αἱ γυναῖκες τῶν υἱῶν σου καὶ ἡ γυνή σου [11]). ἰδοὺ γὰρ ἐπάγω ὑετὸν ἐπὶ τῆς γῆς [τοῦ] καταφθεῖραι πᾶσαν σάρκα ὅσα ἐπὶ τῆς γῆς ἐστιν [12]) ἀπὸ ἄνθρωπον [13]) ἕως κτήνους καὶ ἕως [ἑρπετῶν καὶ] πετεινῶν τοῦ οὐρανοῦ. Καὶ εἰσῆλθεν Νῶε εἰς τὴν κιβωτὸν τὴν ὄντον (=οὖσαν) ὑποκάτω τοῦ οὐρανοῦ [αὐτὸς] καὶ [οἱ] υἱοὶ αὐτοῦ [καὶ ἡ γυνὴ αὐτοῦ] καὶ αἱ γυναῖκες τῶν υἱῶν αὐτοῦ μετ᾽ αὐτῶν. καὶ ἔκλεισεν Κύριος ὁ θεὸς τὴν κιβωτὸν ἔξωθεν αὐτῶν [καὶ συνεχέθη ὑετὸς ἐπὶ τῆς γῆς ἀπὸ τοῦ οὐρανοῦ] καὶ οἱ καταράκται τοῦ οὐρανοῦ ἠνεῴχθησαν καὶ ἡ ἄβυσσος ἀνεδίδου [τὸ ὕδωρ πολλὰ σφόδρα καὶ ὑψώθη τὸ] ὕδωρ ἐπὶ τῆς γῆς δεκαπέντε πῆχες ἐπάνω τῶν ὑψηλῶν ὀρέων [14]) καὶ ἐξαλείφθη πᾶν τὸ ἀνάστημα ὃ [15]) ἦν ὑποκάτω τοῦ οὐρανοῦ [ἀνθρώπων καὶ ζώων] καὶ πᾶς ἄνθρωπος ὁ ἦν ὑποκάτω τῆς γῆς τῆς ξηρᾶς ἀπέθανεν. καὶ ἐπεκράτει τὸ ὕδωρ ἐπὶ τῆς γῆς τεσσαράκοντα ἡμέρας. Καὶ ἐγένετο μετὰ ρν' ἡμέρας [16]) ἐμνήσθη ὁ θεὸς [17]) τὸν (=τοῦ) Νῶε [18]) καὶ πάντων τῶν μετ᾽ αὐτοῦ τῶν ὄντων ἐν τῇ κιβωτῷ [19]). καὶ ἐκόπασεν ὁ ὑετὸς καὶ

---

[1]) τοῖς γίγαντες (sic). [2]) διεμαρτύρα. [3]) ἀμετανόητοι. [4]) μή. [5]) ὀργισθείς. [6]) δεδωκὼς αὐτῷ (sic) ἰσχὺν τῷ Νῶε. [7]) γίγαντας. [8]) τελεσθῆναι. [9]) εἰσήρχοντο. [10]) Titul. deest. [11]) καὶ ἡ γ. σ. καὶ αἱ γ. τῶν υἱῶν σου. [12]) ἔσται V. [13]) ἀνθρώπου [14]) ἐπάνω τῶν ὀρέων ιε' πῆχες. [15]) τό V. [16]) μ. τῶν ρν' ἡμερῶν. [17]) ὁ Κύριος [18]) τῷ Νῶε. [19]) καὶ πάντων τῶν ὄντων μετ᾽ αὐτοῦ εἰς τὴν κιβωτόν.

ἐλα(τ)τονοῦτο [1]) τὸ ὕδωρ ἀπὸ τῆς γῆς μετὰ ρν' ἡμέρας. Περὶ ταύτης τῆς κιβωτοῦ σοφός τις αἰνιττόμενος, φησίν, ἔλεγεν αἴνιγμα· ὁ οὐρανὸς ἦτον, γῆ οὐκ ἦτον. χωρίον ἦτον, στράταν οὐκ εἶχεν [2]). Ἐπήγαγεν δὲ Κύριος ὁ θεὸς πνεῦμα ἐπὶ τὴν γῆν καὶ ἐκόπασεν τὸ ὕδωρ καὶ μετὰ ταῦτα [3]) ἐκάθισεν ἡ κιβωτὸς εἰς τὸ ὄρος τὸ [4]) Ἀραρὰτ πλησίον Βάκτρων, ἀναμέσον Ἀσσυρίων καὶ τῶν λεγομένων Ἀμανιτῶν. καὶ ἔγνω Νῶε ὅτι ἐκάθισεν ἡ κιβωτὸς καὶ ἀνέῳξε τὴν θύραν τῆς κιβωτοῦ ἣν ἐποίησεν καὶ ἐξαπέστειλε τὸν κόρακα ἰδεῖν εἰ κεκόπασεν [5]) τὸ ὕδωρ ἀπὸ προσώπου τῆς γῆς. καὶ ἐξελθὼν ὁ κόραξ οὐκ ἐπέστρεψεν [6]) εἰς τὴν κιβωτόν, ἀλλ' εὑρὼν τὰ σώματα τῶν τεθνεώτων ἤσθιεν [αὐτὰ] καὶ οὐκ ἀνέστρεψεν πρὸς Νῶε εἰς τὴν κιβωτόν. καὶ ἐπισχὼν [Νῶε] ἔτι ἑπτὰ ἡμέρας ἐξαπέστειλεν τὴν περιστερὰν καὶ μὴ εὑροῦσα ἡ περιστερὰ ἀνάπαυσιν τοῖς ποσὶν αὐτῆς ὑπέστρεψεν πρὸς Νῶε εἰς τὴν κιβωτὸν καὶ ἐκτείνας Νῶε τὴν χεῖραν ἐκ τῆς κιβωτοῦ ἐδέξατο αὐτὴν εἰς τὴν κιβωτόν. καὶ πάλιν μετὰ ἑπτὰ ἡμέρας ἐξαπέστειλεν τὴν περιστερὰν καὶ ἦν ἡ περιστερὰ ἕως ἑσπέρας, ὑπέστρεψε δὲ [7]) [ἡ περιστερὰ] ἔχουσα ἐν τῷ στόματι αὐτῆς κάρφος [8]) ἐλαίας· καὶ ἔγνω ὁ δίκαιος Νῶε ὅτι κεκόπακεν τὸ ὕδωρ ἀπὸ προσώπου τῆς γῆς. Περὶ δὲ ταύτης [τῆς] περιστερᾶς σοφός τις ἔλεγεν αἴνιγμα· κήρυξ ἄφωνος ἄγραφον γραφὴν πόλιν [9]) κομίζει βακτήραν [10]) μὴ κεκτημένη.

Περὶ τῆς περιστερᾶς [11]). Καὶ οὕτως ἐπισχὼν ἡμέρας ἑπτὰ ἀνέῳξε Νῶε τὴν κιβωτὸν καὶ ἔλαβεν Νῶε ἀπὸ τῶν κτηνῶν τῶν καθαρῶν καὶ ἔθυσεν θυσίαν Κυρίῳ τῷ θεῷ καθαράν. ἔφερε δὲ ἐν ἑαυτῷ ὁ δίκαιος Νῶε βαρὺ τὸ πρᾶγμα τῆς θυσίας, οὐ γὰρ ἐτόλμα θύσαι ἐκ τῶν ζώων [12]) τῶν ὄντων ἐν τῇ κιβωτῷ [13]) καὶ θύσας ἐκ [14]) τῶν καθαρῶν κτηνῶν ἔστη κατὰ πρόσωπον τοῦ θεοῦ ἐν εὐμενείᾳ ἐκλιπαρούμενος αὐτοῦ [15]) καὶ λέγων· τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέρομεν κατὰ πάντα καὶ διὰ πάντα [16]). τουτέστιν οὐκ ἐμὲν τὰ θυόμενα, ἀλλὰ τῇ σῇ προστάξει διασωθέντα ἐκ τῶν

[1]) ἠλα(τ)τονοῦτο. [2]) αἰνιττόμενος ἔφησεν· οὐρανὸς ἦν καὶ γῆ οὐκ ἦν, χωρίον ἦν καὶ ὁδὸς οὐκ ἦν. [3]) τοῦτο. [4]) τὰ ὄρη τά. [5]) κεκόπακεν. [6]) ἀπέστρεψεν. [7]) V repetit ἑσπέρας quod omisi. [8]) φύλλον. [9]) γρ. ἄγραφον πᾶσαν πόλιν, V πάλαι. [10]) βάτρα. [11]) Tit. deest. [12]) ζώντων. [13]) εἰς τὴν κιβωτόν. [14]) ἀπό. [15]) αὐτῷ. [16]) διὰ πάντων.

σῶν τὰ σὰ προσφέρομέν σοι, Δέσποτα. [ἀποκριθέντες δὲ οἱ υἱοὶ αὐτοῦ εἶπον·] σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν, σοὶ εὐχαριστοῦμεν, Κύριε, καὶ δεόμεθά σου [1]), ὁ θεὸς ἡμῶν. λέγων δὲ οὕτως· σὲ ὑμνοῦμεν τὸν πλάσαντα ἡμᾶς καὶ παρα(γα)γόντα [2]) ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι. σὲ εὐλογοῦμεν [3]) [τὸν] τὴν τοσαύτην ἐπιφορὰν τοῦ ὕδατος ἀναγαγόντα [4]) καὶ τὸν κόσμον ὅλον ἄρδην ὀλέσαντα τοῖς προγόνοις [5]) ἡμῶν. καὶ δεόμεθά [σου, ὁ θεὸς ἡμῶν] τοῦ μὴ συναπολεσθῆναι [6]) ἡμᾶς τοῖς προγόνοις ἡμῶν [καὶ] μήτε ἴδωμεν ἄλλον τοιοῦτον φοβερὸν κατακλυσμὸν ἐπὶ τὴν γῆν, ἀλλὰ φυλαχθησώμεθα τῇ εὐσπλαγχνίᾳ σου. Καὶ ὠσφράνθη Κύριος [ὁ θεὸς] ὀσμὴν εὐωδίας καὶ εἶπεν Κύριος [ὁ θεὸς] τῷ Νῶε καὶ τοῖς υἱοῖς αὐτοῦ λέγων· ἰδοὺ ἐγὼ ἀνίστημι τὴν διαθήκην μου εἰς γενεὰς αἰωνίους [εἰς ὑμᾶς], ἰδοὺ [ἐγὼ] δέδωκα ὑμῖν τὰ πάντα ὡς λάχανα χόρτου, πλὴν κρέα ἐν αἵματι ψυχῆς οὐ [7]) φάγεσθε. Καὶ εἶπεν Νῶε πρὸς Κύριον· φοβοῦμαι μή πως πάλιν τοιαύτοις πέσω [8]) [οἷσπερ οἱ πατέρες μου περιέπεσον]. Καὶ εἶπεν Κύριος ὁ θεὸς τῷ Νῶε· τὸ τόξον μου τίθημι ἐν τῇ νεφέλῃ καὶ ἔσται ἐν ἡμέραις [9]) ὑετοῦ ἐμφανίσω αὐτὸ τοῖς υἱοῖς τῶν ἀνθρώπων καὶ γνώσονται [10]) ὅτι μνησθήσομαι τῆς διαθήκης μου ἧς διεθέμην πρός σε τοῦ μὴ ποιῆσαι κατακλυσμὸν ἐπὶ τὴν γῆν [11]). καὶ μετενόησεν ὁ θεὸς ἐπὶ τὸ πρᾶγμα ὃ ἐποίησεν καὶ ἔθετο διαθήκην πρὸς Νῶε τοῦ μὴ γενέσθαι κατακλυσμὸν ἐπὶ τῆς γῆς [τοῦ] καταφθεῖραι πᾶσαν σάρκα. Καὶ εἶπεν Νῶε τοῖς υἱοῖς αὐτοῦ· οἴδατε, τί πέπονθαν οἱ πρόγονοι ἡμῶν [12]), πῶς ἄρδην ἀπώλοντο; προσέχετε καὶ ὑμεῖς μὴ τοιαύτοις [13]) κακοῖς περιπέσητε [14]). καὶ διεῖλεν ἅπαντα Νῶε τὸν κόσμον [15]) τοῖς τρισὶν υἱοῖς αὐτοῦ καθὼς ἐν τῇ βίβλῳ Ἰωσήπου περιέχει ἐν τῷ διαμερισμῷ καθὼς παρακάτωθεν [16]) ὁ λόγος δηλώσειεν.

Περὶ τῆς πυργοποιΐας [17]). Μετὰ δὲ τὸ γενέσθαι [τὴν πληθὺν] τῶν ἀνθρώπων καὶ πληθυνθῆναι [18]) τοὺς ἀνθρώπους ἐπὶ τῆς γῆς ἐγένετο ἐν τῷ κινῆσαι αὐτοὺς ἀπὸ ἀνατολῶν εὗρον πεδίον [19])

---

[1]) σοί. [2]) παραγαγόντας. [3]) ὑμνοῦμεν V. [4]) ἀγαγόντα. [5]) τοὺς προγόνους. [6]) συναπολέσαι. [7]) μή. [8]) μὴ πάλιν περιπέσω τοῖς ἑαυτοῖς. [9]) ἔστιν ἐν ἡμέρᾳ. [10]) γνώσομαι V. [11]) ἐπὶ προσώπου πάσης τῆς γῆς. [12]) τί πεπόνθασιν οἱ πρὸ ἡμῶν. [13]) μήποτε τοῖς αὐτοῖς. [14]) περιπεσεῖτε. [15]) Νῶε τριχῶς τὸν ἅπαντα κόσμον. [16]) παρκατιών. [17]) Titul. deest. [18]) καὶ πληθυνόντων V. [19]) παῖδας.

ἐν γῇ Σεναάρ [1]) καὶ κατῴκησαν ἐκεῖ καὶ ἦν πᾶσα ἡ γῆ φωνὴ μία καὶ χεῖλος ἓν καὶ εἶπεν ἕκαστος πρὸς τὸν πλησίον [2])· δεῦτε πλι(ν)θεύσωμεν πλί(ν)θους καὶ ὀπτήσωμεν αὐτοὺς πυρί. καὶ ἐγένετο αὐτοῖς εἰς πλί(ν)θος ὡς λίθος [3]) .καὶ οἰκοδομήσωμεν αὐτοῖς πόλιν καὶ πύργον οὗ [4]) ἡ κεφαλὴ αὐτοῦ ἕως τοῦ οὐρανοῦ [καὶ ποιήσωμεν ἑαυτοῖς ὄνομα] πρὸ τοῦ διασπαρῆναι ἡμᾶς ἐπὶ προσώπου πάσης τῆς γῆς. Καὶ ἤρξαντο οἰκοδομεῖν τὸν πύργον καὶ τὴν πόλιν [5]). καὶ εἶπεν Κύριος ὁ θεός· ἰδοὺ γένος ἓν καὶ χεῖλος ἓν καὶ τοῦτο ἤρξαντο ποιεῖν καὶ νῦν οὐκ ἐκλείψει [6]) ἀπ' αὐτῶν ἕως ἂν [7]) ἐπιθῶνται ποιεῖν, ἀλλὰ δεῦτε καὶ καταβάντες συ(γ)χέωμεν αὐτῶν ἐκεῖ τὰς γλώσσας, ὅπως μὴ γνώσωσιν [8]) ἕκαστος τὴν φωνὴν τοῦ πλησίον [9]) αὐτοῦ. [Καὶ συνέχεε Κύριος ὁ θεὸς τὸ χεῖλος πάσης τῆς γῆς καὶ ἐδόθη αὐτοῖς γνῶσις τῶν δώδεκα φυλῶν ἤτοι τῶν οβ' γλωσσῶν καὶ ἐπαύσαντο οἱ οἰκοδομοῦντες τὴν πόλιν καὶ τὸν πύργον διὰ τὸ μὴ γινώσκειν ἕκαστος τὴν φωνὴν τοῦ πλησίον] καὶ διεσκορπίσθησαν ἐν πάσῃ τῇ ὑφηλίῳ καὶ οὕτως διεσπάρησαν ἀπὸ [10]) προσώπου πάσης τῆς γῆς.

Περὶ τοῦ Νεβρώδ [11]). Καὶ μετὰ τοῦτο ἐβασίλευσεν Νεβρὼδ ἀνὴρ γίγας ὅστις ἔκτισεν τὴν Βαβυλῶνα [12]) τὴν μεγάλην καὶ ἐβασίλευσεν ἐν αὐτῇ χρόνους ὀγδοήκοντα καὶ πέντε. οὗτος ὁ Νεβρὼδ ἐγεωμέτρισε πάντα [13]) τὸν κόσμον, γῆν τε καὶ θάλασσαν καὶ εὗρεν τὸ μέσον τοῦ κόσμου [14]) ἐν τῇ Παλαιστίνῃ. ἀπὸ τότε ἤρξαντο εἰδωλολατρείαν καὶ ἤρξαντο οἱ ἄνθρωποι προσκυνεῖν [15]) τὰ κτίσματα ἀπὸ τῶν πρωτοτόκων [τῶν] υἱῶν αὐτῶν καὶ θυγατέρων μέχρι ἑρπετῶν καὶ κνωδάλων. καὶ οὐκ ἦν ἐπὶ τῆς γῆς ἄνθρωπος ὃς ὠνόμαζε [16]) [τὸ ὄνομα] Κυρίου τοῦ θεοῦ.

Περὶ τοῦ Ἀβραάμ. Ἐν δὲ ταῖς ἡμέραις ἐκείναις ἐγεννήθη [ἄνθρωπος ὄνομα] Ἀβραὰμ καὶ ἐδόθη παρὰ τοῦ πατρὸς [αὐτοῦ] καὶ ἐδιδάχθη τὴν ἀστρονομίαν, ἐπεζήτει [17]) τὸν θεὸν τὸν ποιητὴν [οὐρανοῦ καὶ γῆς καὶ] τῶν ἀστέρων, ἡλίου τε καὶ σελήνης,

---

[1]) ἐν Γεννεσαρέτ V. [2]) εἶπεν ἕκ. τῷ πλησίον. [3]) ἡ πλινθεία εἰς πέτραν. [4]) ἡ ἔσται (omisso αὐτοῦ). [5]) τὰς πόλεις καὶ τοὺς πύργους. [6]) κ. νῦν ἐκλίμψις V. [7]) ὡς ἄν. [8]) γνώσεται. [9]) τ. πλησίου. [10]) ἐπί. [11]) Titul. deest. [12]) ἔκτ. Βαβυλωνίαν. [13]) ἅπαντα. [14]) ἓν μέσον τοῦ κ. παντός. [15]) ἀπὸ τότε ἤρξ. οἱ ἄν. εἰδωλολατρεῖν καὶ προσκυνεῖν. [16]) ὅστις ὀνομάσειεν. [17]) καὶ διδαχθεὶς ἐζήτει.

καὶ οὐκ ἦν αὐτοῦ [1]) εὑρεῖν τὴν τούτου [2]) γνῶσιν. Ὁ δὲ πατὴρ αὐτοῦ ἦν ἀγαλματοποιός. καὶ ὁρῶν Ἀβραὰμ τοὺς θεοὺς τοῦ πατρὸς [αὐτοῦ] ἔλεγεν [ἐν] αὐτῷ [3])· ὅτι πῶς ὁ πατήρ μου [4]) θεοὺς οἰκοδομῶν καὶ νεουργῶν [5]) αὐτοὺς οὐ δύναταί με ἑρμηνεῦσαι [6]) τὸν ποιητὴν οὐρανοῦ καὶ γῆς, ἡλίου τε καὶ σελήνης καὶ ἀστέρων [7]); Ταῦτα συστρέφων Ἀβραὰμ ἐν τῷ νοὶ αὐτοῦ ἦν ἐν φροντίδι πολλῇ καὶ δὴ [8]) μιᾷ τῶν ἡμερῶν ἀναστὰς τῷ πρωῒ ἐνέπρησεν τὸ οἴκημα ἔνθα κατέκειντο οἱ θεοὶ τοῦ πατρὸς αὐτοῦ καὶ ἐνεπρήσθη τὸ οἴκημα σὺν τοῖς θεοῖς. Ἀταστὰς δὲ Θάρα ὁ ἀδελφὸς αὐτοῦ, ὁ τοῦ Λὼτ πατήρ, ἐξέωσεν τοὺς ψευδονύμους αὐτοῦ θεοὺς κατεφλέχθη καὶ αὐτὸς σὺν τοῖς θεοῖς αὐτοῦ [9]). Ἰδὼν δὲ Κύριος ὁ θεὸς τὴν προθυμίαν Ἀβραὰμ καὶ ὅτι αὐτὸς μόνος ἐπεθύμησεν [10]) αὐτοῦ φίλος γενέσθαι ὀπτάνεται αὐτῷ [11]) δι' ἀγγέλου ἁγίου αὐτοῦ λέγοντος [12]) [αὐτῷ] οὕτως· ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας (σ)ου καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου καὶ δεῦρο εἰς γῆν ἣν ἄν σοι δείξω κἀκεῖ σε [13]) ὀφθήσομαι καὶ ποιήσω σε εἰς ἔθνος μέγα καὶ πολὺ καὶ εὐλογήσω σε καὶ κληρονομήσει τὸ σπέρμα σου τὰς πόλεις τῶν ὑπεναντίων καὶ ἔσται ὁ εὐλογῶν σε εὐλογημένος καὶ ὁ καταρώμενός σε κεκαταραμένος [14]). Καί φησιν Ἀβραὰμ τῷ πατρὶ αὐτοῦ· ἔγνως, πάτερ, [ὅτι] εὗρον θεὸν τὸν ποιήσαντα οὐρανόν, ἥλιον καὶ σελήνην καὶ ἄστρα [15]), καὶ λέγει μοι ὡς ἂν ἐξέλθω [16]) ἐκ ταύτης τῆς γῆς καὶ εἰς γῆν ἑτέραν ἐξέλθω [17]) ἣν αὐτὸς ὑποδείξει μοι, ἐκεῖ γὰρ λέγει ἀναπαύεσθαι αὐτόν [18]). Ὁ δὲ πατὴρ αὐτοῦ λέγει πρὸς αὐτόν· τέκνον, σὺ οἶδας ὅτι γεγήρακα καὶ ἡ μήτηρ σου ἐτελεύτησεν, ὁ ἀδελφός σου πυρίκαυστος γέγονεν. πᾶσα ἡ [19]) τοῦ γήρους μου ἡ ἐλπὶς εἰς σὲ ἀνατέθη [20]). πάντα ὅσα σοι εἴρηκεν ὃν εὕρηκας θεὸν [21]) ποίησον εὐσεβήσας εἰς αὐτὸν καὶ τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ ποίησον. μὴ πλανηθῇς, τέκνον ἐμόν, καὶ ἀκολουθήσῃς θεοῖς ματαίοις οἷς ἐγὼ ἀκολουθήσας οὐδὲν εὗρον

---

[1]) αὐτῷ. [2]) τούτων. [3]) ἑαυτῷ. [4]) αὐτοῦ V. [5]) οἰκοδομεῖ καὶ καινουργεῖ. [6]) δύνανταί μοι δὲ ἑρμ. [7]) ἀστέρων. καὶ οὐκ ἦν αὐτῷ εὑρεῖν τὴν τούτων γνῶσιν. Ὁ δὲ Ἀβρ. συστρέφων κτλ. [8]) καὶ ἐν. [9]) πατὴρ ἐσπούδαζε ἐξελέσθαι τοὺς θεοὺς ἐκ τοῦ πυρὸς καὶ καταφλεχθεὶς αὐτὸς σὺν τ. θ. [10]) ἐπόθησεν. [11]) αὐτοῦ V. [12]) λέγων. [13]) καί σοι. [14]) κατηραμένος. [15]) τὸν ποιητὴν οὐρανοῦ τε καὶ γῆς, ἡλίου καὶ σελήνης καὶ ἀστέρων. [16]) λέγει μοι· ἔξελθε. [17]) ἀπελθών. [18]) λέγει ἀναπαύσομαι. [19]) γάρ. [20]) ἀνετέθη. [21]) sic O, V autem πάντα σοι οὖν εἴρηκας θεόν.

ὠφέλειαν [1]). Ἀναστὰς δὲ [2]) Ἀβραὰμ παρέλαβε τὸν πατέρα αὐτοῦ καὶ Λὼτ τὸν τοῦ ἀδελφοῦ αὐτοῦ υἱὸν [3]) καὶ ἦλθεν [4]) εἰς Μεσοποταμίαν τῆς Συρίας ἥτις λέγεται [ἡ] εὐδαίμων Ἀραβία, κἀκεῖσε [5]) τελευτᾷ ὁ πατὴρ αὐτοῦ καὶ κατῴκησεν ἐν [γῇ] Χαῤ(ῥ)άν. Χαῤ(ῥ)ὰν δὲ [6]) λέγεται κατὰ τὴν Σύρων γλῶσσαν κόπρον [7]). Μετὰ δὲ τὸ τελευτῆσαι τὸν πατέρα αὐτοῦ ὤφθη αὐτῷ ἄγγελος Κυρίου λέγων αὐτῷ· ἀναστὰς εἴσελθε εἰς τὴν γῆν ἥν σοι προσεκαλέσατο [8]) Κύριος ὁ θεός [σου]. καὶ ἀναστὰς Ἀβραὰμ [9]) παρέλαβε μεθ' ἑαυτὸν [10]) Σάῤ(ῥ)αν τὴν γυναῖκα αὐτοῦ καὶ Λὼτ τὸν υἱὸν τοῦ ἀδελφοῦ αὐτοῦ [11]) καὶ ἦλθεν [12]) εἰς τὴν γῆν τῆς Παλαιστίνης. [κλῆρος δὲ ἦν τοῦ Σήμ. οἱ δὲ Χαναναῖοι κατῴκουν τὴν γῆν] ταύτην οἱ ἀπόγονοι τοῦ Χάμ. ἡ γὰρ λαχοῦσα τοῦ Χὰμ γῆ πρὸς νῶτον καυσώδης οὖσα ἀνέστησαν οἱ τοῦ Χὰμ ἀπόγονοι καὶ καθήρπασαν τὴν γῆν τῆς Παλαιστίνης, κλήρου οὖσα(ν) [13]) τοῦ Σήμ, καὶ κατεκράτησαν αὐτὴν [14]) χρόνους τετρακοσίους. Καὶ μακροθυμοῦντος τοῦ θεοῦ μή ποτε μετανοήσωσιν οἱ τοῦ Χὰμ ἀπόγονοι καὶ ἀποδώσουσιν [15]) τὴν γῆν τοῖς ἐκγόνοις αὐτοῦ τοῦ Σὴμ καὶ μὴ ἀποδόντες τὴν γῆν μετὰ ἔτη τετρακόσια [16]) ἐκδικῶν ὁ θεὸς τοὺς ὅρκους ἤνεγκεν τὸν Ἀβραὰμ ἐκ [17]) τῆς χώρας τῶν Χαλδαίων σπέρμα ὄντος τοῦ Σὴμ [ὡς ἂν κληρονομήσῃ τὸ σπέρμα τοῦ Ἀβραὰμ τὴν γῆν ταύτην καὶ ἐκδικήσῃ τοὺς ὅρκους], οὓς ὁ Νῶε τοῖς υἱοῖς αὐτοῦ ἐπέθηκεν τοῦ μὴ ὑπερβαίνειν ἕτερον ἀδελφὸν εἰς τὸν [18]) τοῦ ἑτέρου κλῆρον. Ἐλθὼν δὲ Ἀβραὰμ καὶ ἰδὼν τοὺς Χαναναίους ἐδειλίασεν σφόδρα καὶ λέγει πρὸς Σάῤ(ῥ)αν τὴν γυναῖκα αὐτοῦ· οἶδας, γύναι, ὅτι σὺ ὑπάρχεις ὡραία τῷ εἴδει, ἐγὼ δὲ ἄμορφος καὶ ἀειδὴς καὶ φοβοῦμαι μή πως ἀποθάνω διά σε. ἡ δὲ Σάῤ(ῥ)α κατεσοφίσατο τοῦτο εἰπών [19])· οἶδα κἀγὼ τοῦτο, ἀλλ' εἴπωμεν ὅτι ἀδελφός μου εἶ [20]) καὶ ἐμὲ περιποιήσονται, σὺ δὲ ζήσῃ. Καὶ εἰσελθόντων [21]) εἰς τοὺς Χαναναίους [ἀνῆλθον εἰς Ἐμφρόν], ἐβασίλευεν [22]) δὲ τῆς γῆς ἐκείνης Ἐ(μ)φρὸν ὁ υἱὸς [τοῦ] Χετταίου. καὶ εἰσελθόντων ἐν τῇ πόλει καὶ ἰδόντες [23]) αὐτοὺς

---

[1]) οὐδὲν ὄφελον εὗρον. [2]) καὶ ἀναστάς. [3]) Λὼτ τὸν ἀδελφιδοῦν. [4]) ἦλθον. [5]) κἀκεῖ. [6]) γάρ. [7]) γλῶσσαν οὕτως τουτέστιν κοπρέα. [8]) σὲ προκαλέσατο. [9]) ὁ δὲ Ἀβρ. ἀναστάς. [10]) μεθ' ἑαυτοῦ. [11]) τὸν ἀδελφιδοῦν. [12]) εἰσῆλθεν. [13]) κλῆρος ἦν. [14]) καὶ κρατήσας αὐτήν, V. αὐτούς. [15]) ἀποδώσωσιν. [16]) τετρακοσίους χρόνους. [17]) ἀπό. [18]) εἰς τόν om. [19]) εἰποῦσα. [20]) ἐστίν V. [21]) εἰσελθόντος. [22]) ἐβασίλευσεν. [23]) εἰσελθόντες εἰς τὴν πόλιν εἶδον.

οἱ Χαναναῖοι διηρώτουν [1]· πόθεν ἥκατε [2]. οἱ δὲ ἔφησαν [3]· ἀπὸ τῆς χώρας τῶν Χαλδαίων. οὐ γὰρ ᾔδεσαν [4] τότε οἱ ἄνθρωποι ξενιτεύεσθαι. καὶ εἰσελθόντες λέγουσιν τῷ βασιλεῖ αὐτῶν [5] περὶ τούτων. καὶ ἀποστείλας Ἐ(μ)φρὸν ἠρώτα τὸν Ἀβραάμ [6]· τίς σοῦ ἐστιν ἡ γυνή; ὁ δέ φησιν· ἀδελφή μοῦ ἐστιν. Καὶ γενομένης ἑσπέρας ἀπέστειλεν [7] ὁ Χετταῖος καὶ ἔλαβεν τὴν Σάῤ(ῥ)αν καὶ ἀπήγαγον αὐτὴν ἐν τῷ κοιτῶνι αὐτοῦ. ὁ δὲ Χετταῖος μετὰ τὸ δειπνῆσαι αὐτὸν ἀνέστη καὶ εἰσῆλθεν [8] ἐν τῷ κοιτῶνι αὐτοῦ καὶ ὁρᾷ ἄγγελον ἑστηκότα ἐνώπιον, πλησίον τῆς κλίνης ῥομφαίαν ἐσπασμένην κρατοῦντα ἐν τῇ χειρὶ [9] αὐτοῦ. καὶ ἰδὼν αὐτὸν ὁ Χετταῖος ἐφοβήθη καὶ ἐτρόμαξεν. ἔφησεν δὲ πρὸς αὐτὸν ὁ ἄγγελος δριμὺ τὸ βλέμ(μ)α [10] πρὸς αὐτὸν ἀτενίσας· ποῦ ἀπέρχῃ εἰς τὴν ἐμὴν σύνευνον; τρομάξας [δὲ] ὁ Χετταῖος ἐφώνησε τοῖς παισὶν αὐτοῦ καὶ εἶπεν· καλέσατε τὸν ἄνθρωπον. οἱ δὲ ἐκάλεσαν τὸν Ἀβραάμ, καὶ εἰσελθὼν εἶπεν πρὸς αὐτὸν ὁ Χετταῖος· ἄνθρωπε, ἀνάγγειλόν μου [11], τίς (σ)οῦ ἐστιν ἡ γυνὴ αὕτη; ὁ δέ φησιν· γυνή μοῦ ἐστιν, ἀλλὰ διὰ τὸν φόβον τῶν Χαναναίων εἶπον ὅτι ἀδελφή μοῦ ἐστιν. δέδωκεν δὲ αὐτῷ αὐτὴν [12] εἰπὼν τοῖς παισὶν αὐτοῦ· [δότε τῷ ἀνδρὶ ἀνάπαυσιν] ὡς ἂν ἀναπαύσηται μετὰ τῆς γυναικὸς αὐτοῦ. Καὶ λαβὼν Ἀβραὰμ Σάῤ(ῥ)αν τὴν γυναῖκαν αὐτοῦ ἀνεπαύσατο ἐν ἐκείνῃ τῇ νυκτί. Ἐ(μ)φρὸν δὲ ὁ υἱὸς Χετταίου ἔμεινεν δι' ὅλης τῆς νυκτὸς φρίκῃ συνεχόμενος. ἀναστὰς δὲ τῷ πρωῒ συνόντων αὐτοῦ καὶ τῶν φίλων αὐτοῦ εἶπεν· καλέσατε τὸν Ἀβραάμ. ἐλθὼν δὲ Ἀβραὰμ προσέταξεν [13] καθεσθῆναι αὐτὸν καί φησιν πρὸς αὐτόν· εἰπὲ ἡμῖν τὸ ἀληθές, ὦ ἄνθρωπε, πόθεν παραγέγονας ἐνταῦθα καὶ ἐκ ποίας χώρας καὶ διὰ ποίαν αἰτίαν παραγέγονας [14] ἐνταῦθα; Ὁ δέ φησιν· ἐκ τῆς Χαλδαίων χώρας ὥρμησα [15], ἐπεζήτουν δὲ θεὸν εὑρεῖν τὸν ποιητὴν [τοῦ] οὐρανοῦ καὶ [τῆς] γῆς καὶ θαλάσσης, ἡλίου τε καὶ σελήνης καὶ ἀστέρων [16]. καὶ εὑρὼν [17] ἀπήγγειλέ μοι [ὅτι] ἐν τῷ τόπῳ τούτῳ ἀναπέπαυται [18] αὐτὸν καὶ ἐκέλευσέν μοι [19] ἐξελθεῖν ἐκ τῆς γῆς μου καὶ ἐκ τῆς συγγενείας

---

[1]) καὶ διηρώτων. [2]) ἥκασιν. [3]) φησίν V. [4]) οἴδασιν, V ᾔδησαν. [5]) αὐτοῦ V. [6]) ἄνδρα. [7]) ἀποστείλας. [8]) εἴσελθεν V. [9]) ἔχων ῥομφαίαν ἐσπ. ἐν τῇ χ. [10]) ὤφθη δὲ αὐτῷ ὁ ἄγ. δριμῷ τῷ βλέμματι. [11]) ἡμῖν. [12]) ὁ δὲ δέδωκεν αὐτὴν αὐτῷ. [13]) εἶπε. [14]) ἦλθες. [15]) ὥρμημαι, V ὥρμησε. [16]) ἄστρων. [17]) ἐλθών V. [18]) ἀναπέπαυσαι. [19]) ἐπεκάλεσέ μοι.

μου καὶ ἐλθὼν εὑρήσω αὐτὸν ἐν τῇ γῇ ταύτῃ ὅτι ἐνθάπερ [1] ἀναπέπαυται. Ταῦτα ἀκούσας ὁ υἱὸς τοῦ Χετταίου ἐφοβήθη καὶ λέγει πρὸς τοὺς φίλους αὐτοῦ· ὅτι φοβερὸς θεός ἐστιν, ἐγὼ γὰρ εἶδον αὐτὸν καὶ φρίκη συνέχει με [2] [καὶ] νομίζομαι εἶναι θεὸν φοβερόν [3]. καί φησιν πρὸς Ἀβραάμ· καὶ πῶς αὐτὸν ἐκμειλι(σ)σόμενος ὁρᾷς; ὁ δὲ εἶπεν· θυσίαζω αὐτὸν [4] καὶ οὕτως γίνεταί μοι ἵλεως [5]. Λέγει οὖν αὐτῷ ὁ Χετταῖος [6]· λάβε ἀπὸ τοῦ οἴκου μου κριοὺς δώδεκα [καὶ] δαμάλεις ἑπτὰ [καὶ] θυσίαν προσάγαγε [7] Κυρίῳ τῷ θεῷ σου ἱλεούμενος αὐτὸ(ν) ἐμοῖ [8] ἵνα μὴ ἀποκτείνῃ [9] με. Καὶ λαβὼν Ἀβραὰμ τὰ ζῶα ἦλθεν [10] εἰς γῆν ὑψηλὴν καὶ ἀνήνεγκεν αὐτὰ θυσίαν τῷ θεῷ σου [11]. ὤφθη δὲ αὐτῷ ἄγγελος Κυρίου λέγων [αὐτῷ]· διόδευσον τὴν γῆν [ταύτην] εἰς τὸ μῆκος αὐτῆς καὶ εἰς τὸ πλάτος αὐτῆς ὅτι σοι δώσω αὐτὴν καὶ πληθυνῶ σε σφόδρα καὶ κληρονομήσει τὸ σπέρμα σου τὴν γῆν ταύτην [τὰς πόλεις τῶν ὑπεναντίων] καὶ οὐ μή σε ἐγκαταλείπω ἕως τοῦ ποιῆσαί με πάντα ὅσα ἐλάλησά σοι. Δέδωκεν δὲ ὁ Χετταῖος [τῷ Ἀβραὰμ] ἀπὸ τῆς ἡμέρας ἐκείνης δαμάλεις ἑβδομήκοντα, ταύρους τεσσαράκοντα, πρόβατα ἑκατόν, δούλους δέκα [12], καὶ ἐνετείλατο αὐτὸν [13] λέγων ὅτι ἐν ἑπτὰ ἡμέραις (θέλω σε) [14] λαμβάνειν δεκατείαν ἀπὸ τοῦ οἴκου μου καὶ προσφέρειν αὐτὰ θυσίαν Κυρίῳ τῷ θεῷ σου [15]. καὶ εἶπεν ὅτι πᾶσα [16] ἡ γῆ πρὸ προσώπου σοῦ ἐστιν· ἔνθα σοί ἐστιν ἀρεστὸν οἴκησον [17] μετὰ τῆς γυναικός [σου] καὶ παίδων τε καὶ κτηνῶν σου [18] καὶ πάντων τῶν ὑπό σε, ἰδοὺ γὰρ ἡμεῖς οἰκέται σου. Καὶ ἐλθὼν Ἀβραὰμ ᾤκησε [19] ἐν τῇ δρυὶ τῇ Μαβρί, ὃ ἑρμηνεύεται κρυὸν νερόν [20]. [τὸ γὰρ Μαβρὶ κατὰ τὴν συριακὴν γλῶτταν οὕτως ἑρμηνεύεται ἑλληνικὴν γλῶσσαν· μγὰ νερόν, δρυὶ μέβερε λέγεται Μαβρὶ κρυόν]. διοδεύσας [21] δὲ Ἀβραὰμ τὴν γῆν εἰς τὸ μῆκος αὐτῆς καὶ εἰς τὸ πλάτος αὐτῆς κατεσκήνωσεν [22] ἐν τῇ δρυὶ τῇ Μαβρὶ ἐχόμενος τῆς φιλοξενίας [23] εἰς ἄκρον. Εἶπεν δὲ [24] Ἀβραὰμ τῷ Λώτ· ἰδού, τέκνον [μου], ἡ γῆ ἐνώπιον ἡμῶν ἐστιν.

---

[1]) διότι ἐνθάδε. [2]) φρίκῃ συνέχομαι. [3]) νομίζω μὴ εἶναι θεὸν φοβερότερον τούτου. [4]) αὐτῷ. [5]) ἔλεος. [6]) Λ. ὁ Χ. πρὸς Ἀβραάμ. [7]) θυσιάσας. [8]) ἐκεῖ V. [9]) ἀποκτενεῖ. [10]) ἀνῆλθεν. [11]) σοῦ om. [12]) καὶ δούλους ιβ΄. [13]) αὐτῷ. [14]) uterque cod. praetermisit θέλω σε vel quid simile? [15]) αὐτοῦ. [16]) εἶπ. αὐτῷ· ἰδοὺ πᾶσα. [17]) κατοίκησον. [18]) σοί V. [19]) κατῴκησεν. [20]) ὕδωρ. [21]) διώδευσε. [22]) καὶ κατεσκήνωσε. [23]) ἔχων τὴν φιλοξενίαν. [24]) καὶ εἶπεν.

ἔκλεξον [1]) πᾶσαν τὴν γῆν καὶ ἔνθα σοι ἀρεστόν ἐστιν οἴκησον [2]). Ἰδὼν δὲ [ὁ] Λὼτ τὴν γῆν Σοδόμων ὡραιοτέραν [3]) παρὰ πᾶσαν τὴν γῆν [καὶ] ὕδατα ἔχουσα(ν) ζωτικὰ καὶ [ὁ ποταμὸς] Ἰορδάνης [4]) διερχόμενος μέσον, δένδρα παντοῖα καρποφόρα καὶ ἁπλῶς εἰπεῖν παρεικαζομένη τῷ παραδείσῳ τοῦ θεοῦ καὶ οὐκ ἦν ἐν (αὐ)τῷ [5]) θλιβῆναι ἄνδρα. καὶ ἰδὼν αὐτὴν ὁ Λὼτ ὡραίαν οὖσαν ἠράσθη οἰκῆσαι ἐν αὐτῇ. Οἱ δὲ ἄνθρωποι οἱ ἐν Σοδόμοις πονηροὶ ὄντες καὶ ἁμαρτωλοὶ [6]) ἐναντίον Κυρίου. καὶ ἐλθὼν ὁ Λὼτ κατεσκήνωσεν ἐν μέσῳ αὐτῶν [καὶ λαβὼν γυναῖκα ἐκ τοῦ ἔθνους αὐτῶν]. μετὰ δὲ τὸ διαχωρισθῆναι τὸν Λὼτ ἀπ' αὐτὸν [7]) εἶπεν Κύριος πρὸς [8]) Ἄβραμ· ἰδοὺ ἐγὼ ἀνίστημι τὴν διαθήκην μου μετά σου εἰς γενεὰς αἰωνίους καὶ εὐλογήσω σε καὶ ἔσῃ εὐλογημένος καὶ ἔσται τὸ ὄνομά σου Ἀβραὰμ ὅπερ [9]) ἑρμηνεύεται πατὴρ πλήθους [10]) καὶ πατὴρ ἐκλεκτὸς καὶ πατὴρ ἡμέτερος [11]) καὶ οὐκ ἔσται [12]) τὸ ὄνομά σου Ἄβραμ, ἀλλ' ἔσται [τὸ ὄνομά σου] Ἀβραάμ, ὅτι πατέρα πολλῶν ἐθνῶν τέθεικά σε καὶ αὐξανῶ σε καὶ πληθυνῶ σε [13]) σφόδρα. νῦν οὖν ἐπίσαξον τὴν ὄνον σου καὶ λάβε ἱμάτια πολυτελῆ καὶ ἄρτον καὶ οἶνον καὶ ξυρὸν ἐπὶ χεῖρας καὶ ἄνελθε [14]) εἰς τὸ Ταβύριον ὄρος καὶ στῆθι ἐπὶ τῆς πέτρας καὶ φώνησον ἐκ τρίτου· ἄνθρωπε τοῦ θεοῦ! καὶ ἐξελεύσεται ἀπὸ τοῦ βορείου μέρους [τοῦ ὄρους] ἄνθρωπος ἠγριωμένος· οἱ ὄνυχες αὐτοῦ ἔχων [15]) ἀπὸ πήχης [16]), αἱ τρίχες τῆς κεφαλῆς αὐτοῦ καὶ τοῦ πώγωνος διικνούμεναι [17]) ἄχρι τῶν ποδῶν [18]) αὐτοῦ. καὶ μὴ φοβηθῇς αὐτόν, ἀλλὰ στῆθι καὶ νυχοκόπησον [καὶ τριχοκόπησον αὐτὸν καὶ δὸς αὐτῷ] καὶ φάγεται καὶ πίεται καὶ εὐλογηθήσῃ παρ' αὐτοῦ καὶ εὐλογημένος ἔσῃ.

Περὶ τοῦ Μελχισεδέκ. Οὗτος ὁ Μελχισεδὲκ λέγεται ἀπάτωρ, ἀμήτωρ [καὶ] ἀγενεαλόγητος, ἀφομοιούμενος [19]) τῷ υἱῷ τοῦ θεοῦ. ἡ γὰρ μήτηρ αὐτοῦ ὀνόματι [20]) Σαλὴμ κατὰ τὸ ὄνομα τῆς πόλεως αὐτοῦ [21]), ὁ δὲ πατὴρ αὐτοῦ ἐκαλεῖτο Ἰωσεδέκ. ἐγέννησεν δὲ υἱοὺς δύο· τὸν μὲν ἕναν ὠνόμασεν Σεδέκ, τὸν δὲ ἕτερον [22]) Μελχίν [23]). ὑπῆρχον δὲ κατάδηλοι αὐτῶν [24]) καὶ ἡ πόλις αὐτῶν,

[1]) ἔκλεξαι. [2]) σκήνωσον. [3]) ὅτι ὡραιοτέρα ἐστὶν ἡ γῆ Σ. [4]) Ἰορδάνου. [5]) αὐτοῖς. [6]) ἦταν πον. καὶ ἁμ. [7]) μετὰ δὲ τὸν διαχωρισμὸν τοῦ Λ. ἀπ' αὐτοῦ. [8]) Κύριος ὁ θεὸς τῷ Ἄβραμ. [9]) ὅ. [10]) ἐθνῶν. [11]) μετέωρος. [12]) οὐκ ἔσται γάρ. [13]) αὐξάνω σε καὶ πληθύνω σε V. [14]) καὶ ἐλθών. [15]) ἔχουσαι (=ἔχουσιν?) V. [16]) πήχας. [17]) δεικνύμενοι V. [18]) ἀστραγάλων. [19]) ἀφομοιώμενος. [20]) ὠνομάζετο. [21]) αὐτῶν. [22]) καὶ τὸν ἕτ. [23]) Μελχί. [24]) αὐτοῦ.

ἀπόγονοι γὰρ [1]) ὑπῆρχον [αὐτοὶ] τοῦ Νεβρώδ, διὸ καὶ ἐν τῷ παλατίῳ κατῳκίσθη ὑπὸ Νεβρώδ, καταμένοντες ἐβασίλευον ἄρτι τῆς βασιλείας Ἀρχισεδὲκ τῆς Βαβυλῶνος [2]). μιᾷ δὲ τῶν ἡμερῶν φησιν Ἰωσεδὲκ ὁ βασιλεὺς Μελχὶν [3]) τῷ υἱῷ αὐτοῦ· τέκνον. ὁ δέ φησιν· τί ἐστιν, πάτερ; ὁ δὲ λέγει αὐτόν [4])· ἄπελθε ἐν βουκολίοις [5]) ἡμῶν ἐν τῇ Γαλιλαίᾳ καὶ ἄγαγέ μοι ταύρους ἑβδομήκοντα ἵνα θυσιάσω [6]) τῷ μεγάλῳ θεῷ Κρόνῳ καὶ τοῖς λοιποῖς ὅτι [βούλομαι ἐν πολέμῳ ἀπέρχεσθαι. ταῦτα ἀκούσας ὁ Μελχὶ ἐγρηγόρησεν τῇ νυκτὶ ἐκείνῃ] βουλόμενος πληρῶσαι τὴν ἐντολὴν τοῦ πατρὸς αὐτοῦ. ὑπῆρχε δὲ ἡ νὺξ πανσέληνος καὶ οἱ ἀστέρες φαεινοί, οὓς ἰδὼν ὁ Μελχὶ [7]) ἐξέστη καὶ λέγει ἐν ἑαυτῷ· ὑπολαμβάνω ὅτι ποιητὴς οὐρανοῦ [καὶ] στοιχείων ἐν αὐτοῖς ἀναπαύεται [8]), [ἀλλὰ] ἀναγγελῶ τῷ πατρί μου καὶ αὐτῷ προσάξομεν τὴν θυσίαν ἣν μέλλω ἀγαγεῖν. [καὶ εἰσελθὼν λέγει τῷ πατρὶ αὐτοῦ· πάτερ, ἄκουσόν μου καὶ τὴν θυσίαν ἣν μέλλω ἀγαγεῖν] προσάξωμεν τῷ οὐρανίῳ [9]) θεῷ. καὶ ὀργισθεὶς [10]) ὁ πατὴρ αὐτοῦ εἶπεν μεθ' ὅρκου πρὸς αὐτόν· μὰ τοὺς μεγίστους θεούς, ἐπειδὴ σὺ ἠθέλησας ποιῆσαί με ξένον τῶν μεγίστων θεῶν [11]), μή πως ὀργισθέντες [οἱ θεοὶ] ὀλέσωσίν με, νῦν ἑτοίμως προσάξω σε εἰς θυσίαν θεοῖς καθὼς σὺ κατὰ τῶν θεῶν καὶ κατ' ἐμοῦ ἐπονηρεύσω. Καὶ ὁ μὲν Μελχὶ ᾤχετο εἰς τὴν Γαλιλαίαν, ὁ δὲ πατὴρ αὐτοῦ εἰσελθὼν λέγει πρὸς τὴν βασίλισσα(ν) Σαλήμ· ἰδοὺ ἐγώ, ἔδοξέ μοι ἕνα τῶν υἱῶν μου θυσιάσαι [12]) τοῖς μεγίστοις θεοῖς. ἠγάπα δὲ ἡ βασίλι(σ)σα [τὸν] Μελχὶ ὑπὲρ τὸν Σεδὲκ καὶ ἐθρήνησεν εἰποῦσα ὅτι πάντως τὸν υἱόν μου τὸν ἀγαπητὸν ἐβουλήθης θυσιάσαι. ὁ δὲ βασιλεὺς εἶπεν αὐτῇ· οὐχ οὕτως γενήσεται, ἀλλὰ βάλλωμεν κλήρους· καὶ ἔβαλον [13]) κλήρους, ἔπεσεν ὁ κλῆρος εἰς τὸν υἱὸν αὐτῆς [14]) τὸν νεώτερον. καὶ ὅτε ἔμαθεν ὅτι ἔρχεται ἐκ [15]) τῆς Γαλιλαίας λέγει τὸν υἱὸν αὐτῆς τὸν πρῶτον τὸν Σεδέκ· ἰδοὺ ὁ ἀδελφό(ς) σου ἀποθάνει(ν) μέλ(λ)ει [16]) [καὶ] ὑπὸ τοῦ πατρός σου γενέσθαι θυσία, ἀλλὰ ἀναστὰς συνάντησον αὐτῷ καὶ ἀνάγγειλον αὐτῷ [τὸ δρᾶμα] ὅπως ἀποδράσας ἐν ἑτέρᾳ χώρᾳ ἐκ-

---

[1]) ἀπέκγονοι δέ. [2]) τῆς βασ. Βαβυλῶνος ἀρχούσης. [3]) Μελχί. [4]) λ. αὐτῷ. [5]) ἐν τῷ βουκολίῳ. [6]) θύσω. [7]) Μελχισεδέκ. [8]) ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὸν ἥλιον καὶ ἀστέρας, ἔτι δὲ καὶ τὴν σελήνην αὐτός ἐστιν ὁ θεός. [9]) ἐπουρανίῳ. [10]) ὠργίσθη (...καὶ εἶπεν). [11]) τῶν θεῶν μου. [12]) δοῦναι, V θυσιάσω quod correxi. [13]) καὶ βαλόντες τούς. [14]) τὸν Μελχὶ τὸν υἱὸν αὐτοῦ. [15]) ἀπό. [16]) μέλλει ἀποθανεῖν.

φύγη [1]) τοῦ πατρὸς αὐτοῦ τὴν βουλήν. Καὶ ἀναστὰς Σεδὲκ ἀπῆλθεν συναντῆσαι Μελχί [2]). ὁ δὲ πατὴρ αὐτοῦ λέγει τοῖς μεγιστάνοις [3]) αὐτοῦ· ἰδοὺ ἐγὼ ἐπέταξα θυσιάσαι τὸν υἱόν μου Μελχί. Ἀκούσαντες δὲ οἱ μεγιστᾶνες [4]) αὐτοῦ καὶ αὐτοὶ τὰ τέκνα αὐτῶν θυσιάσαι τετύπωκαν τοῖς θεοῖς αὐτῶν [5]), ὅτι δόγμα βασιλέως ἐστίν [6]). Ὁ δὲ Μελχὶ ἅμα τῷ συναντῆσαι αὐτὸν ὁ ἀδελφὸς [7]) αὐτοῦ καὶ ἀναγγείλας αὐτῷ τὸ δρᾶμα [8]) [καὶ] εὐθὺς [9]) ἀπέβη τοῦ ἵππου αὐτοῦ καὶ ἐκδυσάμενος τὴν ἐσθῆτα ἣν περιεβέβλητο [10]) ἔθηκεν ἐπάνω τοῦ ἵππου [αὐτοῦ καὶ λέγει τῷ ἀδελφῷ αὐτοῦ· λάβε τὸν ἵππον] καὶ τὸν ἱματισμόν, τά τε ζῶα καὶ τοὺς ἀνθρώπους ἡμῶν καὶ ἄπελθε [11]) πρὸς [12]) τοὺς γονεῖς ἡμῶν, ἐγὼ δὲ μονένδυτος πορευθῶ ἐν ἑτέρᾳ χώρᾳ, ἔνθα δὲ οὐδεὶς οὐ γνωρίζει [13]) με κακεῖ ἔσομαι προσαιτῶν, μόνον τὸν πικρὸν [14]) θάνατον ἐκφύγω. Καὶ λαβὼν ταῦτα Σεδὲκ ὁ ἀδελφὸς αὐτοῦ ἀπῄει [οἴκαδε], ὁ δὲ Μελχὶ ἵστατο ἀκούων τὸν γινόμενον [15]) θρῆνον ἐν τῇ πόλει διὰ τοὺς παῖδας οὓς [16]) ἤμελ(λ)ον θυσιάζειν [17]) καὶ ἦν θρῆνος πολὺς παντὸς τοῦ λαοῦ [18]). συνῆξαν γὰρ πάντας [19]) τοὺς παῖδας τὸν ἀριθμὸν ὀγδοήκοντα καὶ ἵσταντο ἐκδεχόμενοι τὸν βασιλέα [20]) ὅπως μετὰ τὸ θυσιάσαι τὸν υἱὸν αὐτοῦ τότε καὶ αὐτοὶ θυσιάσονται [21]) τοὺς παῖδας αὐτῶν. Ὁ δὲ Μελχὶ ἀντίκρυς τῆς πόλεως ἱστάμενος ἐν τῷ ὄρει τῷ νῦν καλουμένῳ [22]) Ἐλαιῶν. αὐτὸς γὰρ αὐτὸ τέθηκεν τὸ ὄνομα τούτῳ τῷ ὄρει [23]) διὰ τοῦ εὑρεῖν [24]) ἔλεος ἐν αὐτῷ. οὗτος δὲ ἀκούων τὸν γινόμενον θρῆνον καὶ τὸν ὀλοφυρμὸν τῆς πόλεως μέγα στενάξας ἐβόησεν τὸ ὄμ(μ)α [25]) εἰς τὸν οὐρανὸν [δάκρυσι τὸ ἔδαφος ἔπλυνε καὶ ἀνεβόησε πρὸς οὐρανὸν τὸ βλέμμα ἔχων, καὶ εἶπεν· σὺ ὁ θεός, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν] ἥλιόν τε καὶ σελήνην καὶ τοὺς ἀστέρας, νομίζω εἶναί σεν(=σε) δίκαιον ἁπάντων τῶν θεῶν καὶ μείζονα [26]), ὅτι τὰ ἔργα σου δηλοῦσιν τὴν δύναμίν σου. εἷς θεὸς ὑπάρχει(ς) ὁ ἀναπαυόμενος [27]) ἐπάνω τῶν οὐ-

---

[1]) ἀποδράση ἐν ἑτέρῳ τόπῳ καὶ ἐκφ. [2]) συν. τῷ ἀδελφῷ αὐτοῦ. [3]) μεγιστᾶσιν. [4]) μεγιστάνοι. [5]) ἔταξαν καὶ αὐτοὶ τὰ τ. αὐ (θυσιάσαι?) τοῖς θ. αὐτῶν. [6]) ἐγένετο. [7]) αὐτῷ τὸν ἀδελφόν. [8]) δράγμα. [9]) παρευθύς. [10]) ἐσθ. αὐτοῦ ἣν περιεβάλλετο [11]) ἀνθρώπους εἶπεν ἀπέλθατε V. [12]) εἰς. [13]) οὐδεὶς ὁ γινώσκων. [14]) πικρότατον. [15]) γενόμενον. [16]) οἷς V. [17]) θυσιάσαι. [18]) καὶ ἦν κοπετὸς εἰς ὅλον τὸν λαόν. [19]) ἅπαντας. [20]) τὴν βασιλείαν V. [21]) θυσιάσωσι. [22]) τὸ ν. καλούμενον V. [23]) αὐτῷ τ. τὸ ὄν. τοῦτο. [24]) διὰ τὸ εὑρεῖν αὐτόν. [25]) στενάξας καὶ ἀναβλέψας. [26]) νομ. μείζονα εἶναι παρὰ πάντας τοὺς θεούς. [27]) ὑπάρχεις ἐπαναπαυόμενος.

ρανῶν [1]) καὶ [εἰ] βούλεσαι δοῦλον [2]) εἶναί με, μὴ παρίδῃς τὴν ζήτησίν [3]) μου, ἀλλ' ἐπάκουσόν μου τῇ ὥρᾳ ταύτῃ καὶ καταποντισθήτω ἡ πόλις αὕτη σὺν τοῖς θεοῖς καὶ πᾶσι τοῖς σεβομένοις αὐτούς [4]). Καὶ ἅμα τῷ λόγῳ [εὐθὺς σεισμὸς γέγονεν ἐν τῇ πόλει Σαλὴμ καὶ] συνεποντίσθη πᾶσα ἡ πόλις Σαλὴμ σὺν πᾶσι τοῖς οἰκοῦσιν αὐτῆς [5])· ἄρδην γὰρ αὐτοὺς ἡ γῆ κατέπιεν καὶ κατεπόντισεν αὐτούς. Ἰδὼν δὲ ὁ Μελχὶ τὸ φοβερὸν ἐκεῖνο δρᾶμα ἐξεθαμβήθη καὶ ἐφοβήθη τὸν θεὸν τὸν ποιητὴν οὐρανοῦ καὶ [τῆς] γῆς. καὶ ἀναστὰς ἀπῆλθεν εἰς τὸ Ταβύριον ὄρος καὶ εἰσῆλθεν ἐν τῷ βορεινῷ μέρει [6]) τοῦ ὄρους ἐν φάραγγι καὶ ἦν ἐκεῖ τεσσαράκοντα ἔτη [7]) μὴ συντυχὼν [8]) ἄνθρωπον μηδὲ ἐξελθὼν ἐκεῖθεν, ἀλλ' ἤσθιεν [9]) βοτάνας [ἀγρίους] καὶ πίνων ὕδωρ ἕως ὅτου [10]) ἀπέσταλται [11]) Ἀβραὰμ καθὼς εἶπεν αὐτῷ Κύριος ὁ θεὸς ἐπισάξαι [12]) τὴν ὄνον αὐτοῦ καὶ ἔλαβεν ἱμάτια πολυτελῆ, ἄρτους [13]) καὶ οἶνον καὶ ξυρόν. οὕτως γὰρ εἶπεν αὐτῷ ὁ ἄγγελος Κυρίου· ἄνελθε [14]) ἐν τῷ ὄρει καὶ στῆθι ἐπὶ τῆς πέτρας καὶ φώνησον ἐκ τρίτου· ἄνθρωπε τοῦ θεοῦ! καὶ εἰσελεύσεται πρός σε ἄνθρωπος ἠγριωμένος· αἱ τρίχες τῆς κεφαλῆς αὐτοῦ καὶ τοῦ πώγωνος αὐτοῦ διικνούμεναι [15]) ἄχρι τῶν ποδῶν, οἱ ὄνυχες αὐτοῦ ἀπὸ πήχης. καὶ μὴ φοβηθῇς αὐτόν, [ἀλλ' ἀνάστηθι καὶ νυχοκόπησον καὶ τριχοκόπησον] καὶ ἔνδυσον τὰ ἱμάτια αὐτὸν καὶ δὸς αὐτῷ [καὶ] φάγεται καὶ πίεται καὶ εὐλογηθεὶς [16]) παρ' αὐτοῦ καὶ εὐλογημένος ἔσῃ, ὅτι ἱερεύς ἐστι τοῦ θεοῦ τοῦ ὑψίστου, Μελχισεδὲκ δὲ τῷ ἀνδρὶ ὄνομα [17]). Καὶ οὕτως ποιήσας Ἀβραὰμ ἐξῆλθεν [18]) πρὸς αὐτὸν [ὁ] ἄνθρωπος ἠγριωμένος καί φησιν· τίς εἶ σύ; ὁ δὲ Ἀβραὰμ ἀπεκρίθη· ἄνθρωπός εἰμι παρὰ [19]) θεοῦ ἀπεσταλμένος ὡς ἂν τριχοκοπήσω σε καὶ ὀνυχοκοπήσω σε. ὁ δέ φησιν· ποῖος θεός σε ἀπέστειλεν; ἀπεκρίθη Ἀβραάμ· ὁ θεὸς ὁ ποιήσας τὸν οὐρανὸν [20]) καὶ τὴν γῆν καὶ τὴν σελήνην καὶ τοὺς ἀστέρας, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτῇ, αὐτός μοι ἐνετείλατο ζητῆσαί σε. καὶ πεσὼν Ἀβραὰμ προσεκύνησε τῷ Κυρίῳ εἰπών [21])· Κύριε ὁ θεός, ὁ ποιητὴς οὐρανοῦ

[1]) ἐπάνω αὐτῶν V. [2]) βούλῃ σὸς δοῦλος. [3]) αἴτησιν. [4]) αὐτοῖς V. [5]) ἐν αὐτῇ. [6]) εἰς τὸ βόρειον μέρος [7]) τ. χρόνους. [8]) συντυχεῖν V. [9]) ἦν ἐσθίων. [10]) ἕως ὅτε. [11]) ἀπεστάλη. [12]) ἐπέσαξε. [13]) ἄρτον. [14]) ἀνελθών. [15]) δεικνυμέναι V. [16]) εὐλωγηθήσῃ [17]) καὶ Μελχισεδὲκ τὸ ὄνομα αὐτοῦ. [18]) εἰσῆλθεν. [19]) ἀπό [20]) ὁ ποιητὴς τοῦ οὐρανοῦ κτλ. (genitiv). [21]) καὶ εἶπεν.

καὶ γῆς, ἵλεώς μοι γενοῦ, ὅτι εἶδον παράδοξον θαῦμα [1]) ἐν τῷ ἀνδρὶ τούτῳ. Τότε ὁ Μελχισεδὲκ ἰδὼν τὸν Ἀβραὰμ προσῆλθεν αὐτῷ, καὶ λαβὼν Ἀβραὰμ τῆς κεφαλῆς αὐτοῦ ἐτριχοκόπησεν αὐτὸν καὶ ὀνυχοκόπησεν αὐτὸν καὶ ἐνέδυσεν αὐτὸ(ν) [τὴν] στολὴν καὶ ἠσπάσατο αὐτὸν καὶ λέγων αὐτῷ· ὅτι φέρωμεν [2]) ἄρτον, οἶνον καὶ ἔλαιον ὡς ἂν μεταλάβωμεν ὅτι παρὰ θεοῦ προστέταγμαι [3]). Καὶ ἀπεκρίθη Μελχισεδὲκ καὶ εἶπεν αὐτῷ· τεσσαράκοντα ἔτη ὑπολαμβάνω εἶναί με ἐν τῷ ὄρει τούτῳ καὶ οὐκ εἶδον ἄνθρωπον εἰ μή σε σήμερον, ἀλλ' οὔτε ἄρτος εἰσῆλθεν ἐν τῷ στόματί μου. ἐπεὶ δὲ λέγεις θεὸς προσέταξεν, ποίει [4]) ὡς λέγεις, ἀλλὰ θύσον [5]) πρῶτον ἐξ αὐτῶν Κυρίῳ τῷ θεῷ μου καὶ οὕτως μεταλαμβάνωμεν [6]). καὶ ἀγαγὼν εἰς ὀπὴν τῆς πέτρας ἔλαβεν [7]) ἄρτον [καὶ οἶνον καὶ ἐπιχέας ἔλαιον ἀνῆψεν αὐτὰ] καὶ προσεκύνησαν ἀμφότεροι τῷ Κυρίῳ ὅ τε Ἀβραὰμ καὶ Μελχισεδὲκ ὃ καὶ φαγόντες [8]) ἐ(υ)φράνθησαν. ἐπηρώτησε δὲ Ἀβραὰμ αὐτὸν [9]) περὶ τῆς γενέσεως καὶ τῆς πόλεως αὐτοῦ [10]) καὶ τῆς εἰσόδου τοῦ ὄρους, πῶς εἰσῆλθεν ἐν αὐτῷ. καὶ ἀπήγγειλεν [11]) αὐτῷ Μελχισεδὲκ πάντα τὰ κατ' αὐτόν. [καὶ τὸ ὄρος τὸ καλούμενον Σαλὴμ Ἐλαιῶν ἐκάλεσα, διότι, φησίν, ἔλεος εὗρον ἐν αὐτῷ]. Καὶ ἀκούσας ταῦτα πάντα Ἀβραὰμ προσεκύνησε τῷ Κυρίῳ λέγων ὅτι μηδὲ μέγα μοί ἐστιν ἐξελθεῖν [12]) ἐκ τῆς Χαλδαίων [χώρας] καὶ εὗρον θεὸν ποιοῦντα παράδοξα. ἰδοὺ γὰρ διὰ τοῦ παρόντος παιδεύομαι μὴ μέγα φρονεῖν· οὐ γὰρ εὐεργετεῖται θεὸς παρὰ ἀνθρώπου, ἀλλ' εὐεργετεῖ. ἔταξε δὲ Ἀβραὰμ διδόναι δεκάτας τῷ Μεχισεδὲκ ἀπὸ τοῦ οἴκου αὐτοῦ. διὰ τοῦτο καὶ ὁ μακάριος Παῦλος μέμνηται λέγων· ὁ δεκάτας λαμβάνων δεδεκάτωται. ὁ γὰρ Ἀβραὰμ ἐδεκάτιζε τὸν οἶκον τοῦ Χετταίου καὶ αὐτὸς πάλιν ἐδεκατίζετο [13]) ὑπὸ τοῦ Μελχισεδέκ.

Περὶ τοῦ Χριστοῦ [14]). Οὕτω καὶ ὁ Χριστὸς πάντων ποιητὴς ὑπάρχων καὶ πάντων τὰς προσφορὰς λαμβάνων [15]) προσήγαγε καὶ αὐτὸς ζεῦγος τρυγόνων κατὰ νόμον [16]) θυσίαν. Καὶ ταῦτα μὲν περὶ τοῦ Χριστοῦ [καὶ εἰς αὐτὸν λέλεκται πάντα].

---

[1]) παράδοξα θαύματα. [2]) αὐτῷ· ἐπιφέρωμεν. [3]) προστετάγμεθα. [4]) ποιῶ. [5]) θύσω. [6]) μεταλάβωμεν. [7]) ἔβαλεν. [8]) φαγών V. [9]) αὐτῷ Ἀβρ. [10]) γ. αὐτοῦ καὶ τ. πόλ. [11]) ἀνήγγειλεν. [12]) μὴ μέγα ἐξελθεῖν. [13]) ἐδεκατοῦτο. [14]) Titulus deest. [15]) λαμβάνει. [16]) κατ' ὄνομα.

Ὁ δὲ Μελχισεδὲκ εὐλόγησεν τὸν Ἀβραάμ, [ἐπωνόμασεν] καὶ εἰς υἱὸν αὐτὸν [1]) εὐλόγησεν καὶ τοῦ σπέρματος [2]) αὐτοῦ τὴν εὐλογίαν ἰδικῶς [3]) προηγόρευσεν καὶ ἀπ' ἐκείνης τῆς ἡμέρας ἤρχετο ὁ Ἀβραὰμ εὐλογεῖσθαι παρὰ τοῦ Μελχισεδέκ. ὑπέστρεψεν δὲ Ἀβραὰμ εἰς τὸν οἶκον αὐτοῦ χαίρων καὶ δοξάζων [4]) τὸν θεόν. Ἀποσκηνώσας δὲ Ἀβραὰμ ἦλθε κατασκηνῶσαι ἐν Γαράροις [5]) καὶ ἦν ἐν Γαράροις Ἀβιμέλεχ ὁ βασιλεύς [6]). ἐποίησαν δὲ οἱ παῖδες Ἀβραὰμ φιλονεικίαν μὲ τῶν [7]) Γαραριτῶν διὰ τὰ φρέατα, οὐ γὰρ ἤφιον οἱ Γαραρίται τοὺς παῖδας Ἀβραὰμ ποτίσαι τὰ ζῶα αὐτῶν καὶ φιλονεικία μεγάλη ἐγένετο μεταξὺ αὐτῶν. καὶ συνέτριψαν καμήλους [8]) καὶ λοιπὰ ζῶα, ἀλλὰ καὶ Γαραρίται πολλοὶ ἀπέθανον ἐν τῇ μάχῃ.

Περὶ τοῦ Ἀβιμέλεχ [9]). Καὶ ἐξῆλθεν Ἀβιμέλεχ ὁ βασιλεὺς Γαραριτῶν διώκων τοὺς παῖδας Ἀβραὰμ καὶ σκυλεύων αὐτούς, [ἀλλ'] ἐλθὼν Ἀβραὰμ εἰρήνευσεν τὴν μάχην καὶ ποιήσας φρέαρ ὅρκον ἐποίησαν ἀμφότεροι, ὅ τε Ἀβραὰμ καὶ οἱ πολῖται τῶν Γαράρων τοῦ μὴ ποιεῖσθαι φιλονεικίαν ἀπὸ τὴν σήμερον. [καὶ] διὰ τοῦτο ἐκλήθη τὸ ὄνομα τοῦ φρέατος (φρέαρ) [τοῦ] ὅρκου. ἔθυσεν δὲ Ἀβραὰμ Κυρίῳ τῷ θεῷ μετὰ τὸ γενέσθαι τὴν θυσίαν ἐν τὸ φρέαρ ἤγουν τοῦ ὅρκου [10]) καὶ ὤφθη αὐτῷ Κύριος ὁ θεὸς λέγων αὐτῷ· μὴ φοβοῦ, Ἀβραάμ, ὁ μισθό(ς) σου πολὺς ἔσται σφόδρα εἶπεν δὲ Ἀβραάμ· καὶ ἰδοὺ ἐγὼ ἀπο(λ)λύομαι ἄτεκνος. καὶ εἶπεν αὐτῷ Κύριος ὁ θεός· οὐχ οὕτως ἔσται [11]). καὶ ὑπέστρεψεν Ἀβραὰμ [εἰς τὸν οἶκον αὐτοῦ]. Μετὰ δὲ ταῦτα [12]) λέγει πρὸς αὐτὸν Σάῤ(ῥ)α ἡ γυνὴ αὐτοῦ· ἰδοὺ ἐγὼ γεγήρακα καὶ ἄτεκνος ἀπό σου ἀπο(λ)λύομαι, λαβόμενος οὖν Ἄγαρ τὴν θεράπαινάν μου συγγίνου αὐτῇ [13]), μή πως ἐξ αὐτῆς ἀναστήσῃς σπέρμα καὶ κληρονόμος ἔσται [14]) παντὸς τοῦ βίου [15]) σου. Καὶ οὐκ ἤθελεν ἕως ὅτου ἀπῆλθεν [16]) πρὸς τὸν Μελχισεδὲκ καὶ εἶπεν [17]) αὐτῷ τὸ πρᾶγμα. Εἶπεν δὲ πρὸς αὐτὸν [18]) ὁ Μελχισεδέκ· ποίησον [κατὰ] τὸ ῥῆμα τῆς γυναικός σου, ἐγὼ δὲ ὁρῶ ἐκ σοῦ δύο λαοὺς γεγενημένους [19])· ὁ μὲν εἷς φωτεινὸς καὶ εὐώδης [20]), ὁ δὲ ἕτερος σκοτεινὸς καὶ δυσώδης.

---

[1]) αὐτοῦ. [2]) τὸ σπέρμα V. [3]) ὁ δίκαιος. [4]) ἐδόξαζε. [5]) κατασκηνώσας ἐν Γεράροις (sic et Γεραρίται loco Γαρ.). [6]) ἦν ἐκεῖ βασιλεύων Ἀ. [7]) μετὰ τῶν. [8]) καμήλια. [9]) Titul. deest. [10]) θεῷ θυσίαν μετὰ τὸ γεν. ὅρκον ἐν τῷ φρέατι. [11]) ἐστί. [12]) ἐγένετο δὲ μετὰ ταῦτα. [13]) θ. καὶ ἔγνω αὐτήν. [14]) γένηται. [15]) οἴκου. [16]) ἕως οὗ ἀπελθεῖν. [17]) εἰπεῖν. [18]) Καὶ εἶπεν αὐτῷ. [19]) ἐγὼ γὰρ θεωρῶ δ. λ. γ. ἐκ σοῦ. [20]) εὐώδυνος V.

Καὶ συνεγένετο Ἀβραὰμ τῇ Ἄγαρ καὶ ἔτεκεν ἐξ αὐτῆς τὸν Ἰσμαήλ.

Περὶ τοῦ Ἰσμαήλ. Ἐγένετο δὲ μετὰ τὸ γεννῆσαι τὸν Ἰσμαὴλ εἶπεν αὐτῷ [ὁ] Κύριος· Ἀβραάμ [Ἀβραάμ]. καὶ [1]) εἶπεν· ἰδοὺ ἐγώ. Καὶ εἶπεν αὐτῷ Κύριος· θέλω σοι ἀγαγεῖν [2]) παρὰ πάντα τὰ ἔθνη, ὅσα ἐπὶ τῆς γῆς καὶ σφραγισθῆναί σε [3]) βούλομαι σφραγίδα αἰώνιον. περίτεμε σεαυτὸ(ν) ἐν τῷ Μελχισεδέκ, καὶ σὺ περιτέμεις [4]) πάντα ἀρσενικὸν [5]) ἐν τῷ οἴκῳ σου, ἀλλὰ καὶ τὸν Ἰσμαὴλ περιτεμεῖς καὶ πάντας τοὺς οἰκογενεῖ(ς) σου καὶ οὐχ ἔστιν σου ἀρσενικὸν ἀπερίτμητον διότι βούλομαι σφραγίδας [6]) ἔχειν τὸ σπέρμα σου, ὅτι δι' αὐτοῦ εὐλογεῖτο πάντα τὰ ἔθνη [7]) ὅσα ἐπὶ τῆς γῆς ἐστιν. Καὶ ἀπῆλθεν Ἀβραὰμ καὶ ἐποίησεν καθάπερ [8]) ἐλάλησεν αὐτῷ Κύριος ὁ θεός, καὶ περιέτεμεν πᾶν ἀρσενικὸν ἐν τῷ οἴκῳ αὐτοῦ καὶ οὐχ ἦν ἐν αὐτῷ ἄρ(ῥ)εν ὃ ἔμεινεν ἀπερίτμητον. καὶ ἀπήγαγεν Ἀβραὰμ πάντα τὸν οἶκον αὐτοῦ καὶ εὐλόγησεν αὐτὸν Μελχισεδὲκ ὅτι Κύριος εἶπεν αὐτῷ· καὶ ἦν ἐ(υ)φραινόμενος [ὁ] Ἀβραὰμ μετὰ τῶν παίδων αὐτοῦ καὶ ἐλθὼν Ἀβραὰμ εἰς τὸ φρέαρ τοῦ ὅρκου ἔθυσε θυσίαν Κυρίῳ τῷ θεῷ. ὤφθη δὲ αὐτῷ Κύριος [ὁ θεὸς] καὶ εἶπεν αὐτῷ· ἰδοὺ τὴν διαθήκην μου ἔστησα μετά σου καὶ τὸ σπέρμα [9]) σου εἰς γενεὰς αἰωνίους δοξασθήσεται [10]) καὶ πληθυνῶ σε [σφόδρα]. Εἶπεν δὲ [11]) Ἀβραὰμ πρὸς Κύριον· [Κύριε] τί μοι δώσεις [12]); ἐγὼ γὰρ ἀπο(λ)λύομαι ἄτεκνος, ὁ δὲ οἰκογενής μου κληρονομήσει με. Καὶ [εἶπεν] αὐτῷ Κύριος· οὐ κληρονομήσει σε οὗτος, [ἀλλὰ] ἄλλος ἐξελεύσεται ἀπό [13]) σου καὶ κληρονομήσει σε οὗτος [14]). Καὶ εἶπεν Ἀβραάμ· κατὰ τί γνώσομαι τοῦτο; καὶ εἶπεν αὐτῷ Κύριος· λάβε μοι δάμαλιν τριετίζουσαν καὶ αἶγαν τριετίζουσαν καὶ κριὸν τριετίζοντα, τρυγόναν καὶ περιστεράν. καὶ διεῖλεν αὐτὰ μέσον αὐτά [15]), τὰ δὲ ὄρνεα οὐ διεῖλεν. κατέβη δὲ ὄρνεα ἐπὶ τὰ σώματα τὰ διχοτομημένα καὶ συνεκάθισεν αὐτοῖς [16]). Ἀβραάμ, περὶ δὲ ἡλίου δυσμὰς ἔκστασις ἐπέπεσεν τῷ Ἀβραὰμ καὶ φόβος μέγας σκοτεινὸς ἐπιπίπτει [17]) αὐτῷ καὶ ἦλθεν αὐτῷ φωνὴ λέγουσα· ἀνάβλεψον εἰς τὸν οὐρανὸν καὶ ἴδε εἴ (τις) δυνήσεται

---

[1]) ὁ δέ. [2]) προσάγειν. [3]) σοί. [4]) περιτεμεῖς. [5]) πᾶν ἄρσεν. [6]) σφραγίδα. [7]) διότι αὐτὸ εὐλογιῶ παρὰ πάντα τὰ ἔ. [8]) καθά V. [9]) τοῦ σπέρματος. [10]) ἐνδοξαζόμενος. [11]) καὶ εἶπεν. [12]) τί δώσω. [13]) ἐκ. [14]) οὗτος κλ. σε. [15]) δ. αὐτὰ μέσα. [16]) διχ· αὐτῷ συνεκ. αὐτά. [17]) ἐμπίπτει.

ἀριθμῆσαι [1]) τοὺς ἀστέρας τοῦ οὐρανοῦ καὶ τὸ σπέρμα σου ἀριθμήσεται [2]), πλὴν τοῦτο γίνωσκον γνῶσιν [3]) ὅτι πάροικον ἔσται [4]) τὸ σπέρμα σου ἐν γῇ οὐκ ἰδίᾳ καὶ δουλώσουσιν αὐτὸ [καὶ κακώσουσιν] ἐπὶ τετρακόσια ἔτη. τὸ δὲ ἔθνος ὃν ἐνδουλεύσωσιν [5]) κρινῶ ἐγώ. μετὰ δὲ ταῦτα ἐξελεύσεται [6]) ὧδε μετὰ ἀποσκευῆς πολλῆς, σὺ δὲ ἀπελεύσῃ πρὸς τοὺς πατέρας σου [μετ' εἰρήνης] τραφεὶς ἐν γήρει καλῷ.

Περὶ τῆς αἰχμαλωσίας Λώτ [7]). Λὼτ δὲ [ὁ] ἀδελφιδοῦς αὐτοῦ ἦν ἐν Σοδόμοις. καὶ συμβουλευσάμενοι βασιλεῖς πέντε ἀπῆλθον καὶ ἐσκύλευσαν πᾶσαν τὴν γῆν Σοδόμων καὶ Γομόῤῥων καὶ ᾐχμαλώτευσαν αὐτούς, ἀλλὰ καὶ Λὼτ ἤρθη αἰχμάλωτος μετὰ παντὸς τοῦ οἴκου αὐτοῦ καὶ πάντα [8]) ᾐχμαλωτεύθησαν. Ἀκούσας δὲ Ἀβραὰμ ὅτι ᾐχμαλώτευται Λὼτ ὁ ἀδελφιδοῦς [9]) αὐτοῦ ἠρίθμησε τοὺς ἰδίους οἰκογενεῖς τριακοσίους δέκα καὶ ὀκτὼ καὶ κατεδίωξεν αὐτοὺς [10]) ἕως Δὰν καὶ ἐπέπεσε [ἐπ'] αὐτοὺς τῇ νυκτὶ [11]) καὶ ἐπάταξεν αὐτοὺς μαχαίραις [12]) καὶ ἐπέστρεψεν [13]) πᾶσαν τὴν ἵππον Σοδόμων καὶ Λὼτ τὸν ἀδελφιδοῦν αὐτοῦ καὶ [τὰς] ἁμάξας καὶ τὰς γυναῖκας καὶ τὸν λαόν. Περὶ τούτων τῶν βασιλέων μέμνηται ὁ ψαλμῳδὸς λέγων οὕτως· ὡς τὸν Ὀρὶβ καὶ Ζὶβ καὶ Ζεβεὲ καὶ Σαλμανᾶ(ν) πάντας τοὺς ἄρχοντας αὐτῶν. Ἐγένετο δὲ μετὰ τὸ [ἀποστρέψαι πάντας καὶ] ὑποστρέψαι [14]) τοὺς βασιλεῖς [πέντε γὰρ βασιλεῖς τῶν ἐθνῶν ὑπῆρχον] οὕτως γὰρ ἐλέγετο [15]), ἐγένετο μετὰ τὸ ὑποστρέψαι [16]) τὸν Ἀβραὰμ ἀπὸ τῆς κοπῆς τοῦ Χοδολογόμωρ. οὕτως ἑρμηνεύονται βασιλεῖς πέντε· τὸ χο Χαλδαῖοι [17]), τὸ δο Δομῖται [18]), τὸ λο Λύδιοι [19]), τὸ γο Γασφινοί, τὸ μωρ Μωραῖοι [20]) οὕτως ἑρμηνεύεται τὸ Χοδολογόμωρ [ἤγουν] βασιλεῖς πέντε. ἐν δὲ τῷ ὑποστρέφειν τὸν Ἀβραὰμ ἀπὸ τῆς κοπῆς τοῦ Χοδολογόμωρ ἐξῆλθεν Μελχισεδὲκ βασιλεὺς Σαλὴμ [μέμνηται ἡ γραφὴ τῆς πατρικῆς οἰκίας τοῦ Μελχισεδὲκ τὴν ἐπωνυμίαν καὶ λέγει· βασιλεὺς Σαλὴμ ἐξῆλθεν] εἰς συνάντησιν [21]) τῷ Ἀβραὰμ καὶ ἐξήνεγκεν ἄρτους καὶ οἶνον. ἦν δὲ ἱερεὺς τοῦ θεοῦ τοῦ ὑψίστου. διὰ τοῦτο ὁ ψαλμῳδὸς περὶ τοῦ Χριστοῦ προφητεύων οὕτως

---

[1]) εἰ δύνασαι ἐξαριθμῆσαι. [2]) ἐξαριθμῆσαι. [3]) γινώσκων γνώσει. [4]) ἐστί. [5]) ᾧ ἐὰν δ. [6]) ἐξελεύσονται. [7]) περὶ τοῦ Λώτ. [8]) πάντες. [9]) ἀδελφός V. [10]) ὀπίσω αὐτῶν. [11]) τὴν νύκτα. [12]) ἐν μαχαίρᾳ. [13]) ἀπέστρεψεν. [14]) καὶ κατέστρεψε. [15]) λέγων. [16]) ἀποστρέψαι. [17]) Χαρδαῖοι. [18]) Δαμᾶται. [19]) Λυδαῖοι. [20]) Ἀμωῤῥαῖοι. [21]) ἀπάντησιν.

φησίν· σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. [ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλόγητος. ἕτερον πάλιν·] ὅτι καθὼς ἐθυσίασεν ὁ Μελχισεδὲκ Κυρίῳ τῷ θεῷ ἄρτον καὶ οἶνον, οὕτω καὶ ὁ Χριστὸς ἀντὶ τοῦ σώματος καὶ [τοῦ] αἵματος ἄρτον καὶ οἶνον δέδωκεν [1]) ἡμῖν θυσιάζειν [ἐν ταύτῳ]. καὶ ταῦτα μὲν περὶ τοῦ Μελχισεδέκ.

Περὶ τῆς ἁγίας Τριάδος [2]). Ἀβραὰμ ἀνελθὼν [3]) [καὶ] κατασκηνώσας ἐν τῇ δρυὶ τῇ Μαβρί, ἔνθα τὸ πρὶν εἴχετο τῆς φιλοξενίας εἰς γῆρας ἐληλακὼς ἤδη τὸ ὀγδοηκοστὸν ἔτος ἀνύων καὶ οὐκ ἤθελεν γεύσασθαι ἄρτου [4]) εἰ μὴ ξένος παρέβαλεν αὐτῷ [5]). φθονηθεὶς δὲ παρὰ τοῦ μισοκάλου δαίμονος ἔκλεισεν τὰς ὁδοὺς τοῦ μὴ εἰσέρχεσθαι [6]) ξένον [7]) πρὸς τὸν Ἀβραάμ. οὐκ ἀπέστειλε δοῦλον ἤ τινα τῶν παίδων αὐτοῦ ὁρᾶν τὴν ὁδὸν [ἔλεγε γὰρ ὅτι ἐὰν ἀποστείλῃ τινὰ τῶν δούλων ἢ τῶν παίδων τοῦ ἐπιβλέψαι τὴν ὁδὸν] μή πως διέλθωσιν ξένοι οὐδέ(ν) αὐτῷ μέλει [8]), ἀλλὰ πεσὼν ὑπνώσει καὶ πάντες διέλθωσιν καὶ οὐκ ὄψεται αὐτούς [9]). ἀλλ' αὐτὸς κάθηται [10]) βλέπων τὴν ὁδὸν μή πως διέλθωσιν ξένοι, [καὶ εἰ εὕρισκεν ξένον ἐλάμβανεν αὐτὸν] καὶ ἐρχόμενος ἤσθιεν μετ' αὐτοῦ. ἰδὼν δὲ ὁ μισόκαλος ἐφθόνησε τὴν ἀγαθὴν αὐτοῦ προαίρεσιν, καὶ τί ποιεῖ; ἔκλεισεν τὰς ὁδοὺς τοῦ μὴ ἐπέρχεσθαί [11]) τιναν διὰ τῆς ὁδοῦ ἐκείνης. καὶ ἦν ὁ πατριάρχης διανυκτερεύων [12]) ὥσπερ τις θηρευτὴς ἐμπειρότατος [καὶ] καθήμενος ἐτήρει τὴν ὁδόν. ἐποίησεν δὲ ἡμέραν μίαν μὴ ἀριστήσας μήτε [13]) δειπνήσας καὶ πολλάκις τῇ δευτέρᾳ ἡμέρᾳ [14]) [καὶ] ἔλεγεν αὐτῷ ἡ Σάρ(ρ)α μεταλαβεῖν ἄρτου [15]), ὁ δὲ οὐκ ἠνέσχετο, ἀλλὰ διῆλθε καὶ ἡ δευτέρα ἡμέρα καὶ ἔμεινεν ὁ πατριάρχης Ἀβραὰμ ἕως τῆς τρίτης ἡμέρας μὴ φαγὼν μήτε [16]) πιών.

Ἐμφάνησις τῆς ἁγίας Τριάδος [17]). Ἰδὼν δὲ Κύριος ὁ θεὸς τὴν ἀγαθὴν προαίρεσιν αὐτοῦ ἐμφάνησαν [18]) αὐτῷ ὁ πατὴρ [καὶ] ὁ υἱὸς καὶ τὸ ἅγιον πνεῦμα [19]) ὡς τρεῖς ἄνδρες ὁδοιποροῦντες ὡς ὁδοιπόροι ἐκ μακρᾶς ὁδοῦ ἐρχόμενοι. καὶ ἰδὼν αὐτοὺς ἐχάρη χαρὰν μεγάλην καὶ πεσὼν ἐπὶ τὴν γῆν προσεκύνησεν αὐτοὺς καί

---

[1]) ἔδωκεν. [2]) Titul. deest. [3]) δὲ ἐλθών. [4]) ἄρτον [5]) αὐτοῦ V. [6]) πρὸς τὸ μὴ ἔρχεσθαι. [7]) ξένους. [8]) ἐπιμελήσει [9]) αὐτοῖς V. [10]) ἐκάθητο. [11]) εἰσέρχεσθαι. [12]) νυκτερεύων. [13]) μηδέ. [14]) πολλ. καὶ δύο ἡμέρας. [15]) ἄρτον. [16]) μήτε φ. μήτε π. [17]) Titulum omisit V. [18]) ἐφάνησαν. [19]) τὸ π. τὸ ἅγιον.

φησιν· κύριοί [μου], εἰ ἄξιός εἰμι, καταντήσατε [1]) ἐν τῇ καλύβῃ μου. οἱ δὲ οὐκ ἤθελον, ἀλλὰ προσεποιοῦντο διέρχεσθαι ὁδὸν μακράν. ὁ δὲ σφόδρα λυπούμενος περισσοτέρως παρεκάλει αὐτοὺς τοῦ μὴ παριδεῖν [2]) τὴν αἴτησιν αὐτοῦ, μόλις τέως ὡς εἶδον αὐτὸν λυπούμενον ἐπένευσαν ἐν τῇ καλύβῃ αὐτοῦ [καὶ ἐχάρην χαρὰν μεγάλην σφόδρα]. Καὶ εἰσελθὼν λέγει πρὸς Σάῤῥαν τὴν γυναῖκαν [3]) αὐτοῦ· φύρασον τρία μέτρα σεμιδάλεως καὶ ὄπτησον ἄρτους [4]) καὶ ὕδωρ χλιαρὸν εὐτρέπισον καὶ πλυνάτωσαν τοὺς πόδας αὐτῶν, ἐγὼ δὲ πορεύσομαι [5]) ἐν τῷ βουκολίῳ καὶ ἐνέγκας μόσχον θύσας εὐφρανθῶ μετὰ τῶν ἀνδρῶν [6]). Ἀναστὰς δὲ Σάῤῥα ἐποίησεν ὡς προσέταξεν αὐτῇ Ἀβραάμ, αὐτὸς δὲ πορευθεὶς ἐν τῷ βουκολίῳ ἤνεγκεν μοσχάριον ἁπαλὸν καὶ θύσας ἔψησεν. ἐνέγκας δὲ καὶ [τοὺς] ἄρτους παρέθηκε τράπεζαν καὶ ἤρξαντο ἐσθίειν. ἐσθιόντων δὲ αὐτῶν εἶπεν εἷς πρὸς τὸν Ἀβραάμ· ἔστι σοι υἱός; ὁ δέ φησιν· οὐχί. εἶπον δὲ πρὸς Ἀβραάμ [7])· εἰς τὸν καιρὸν τοῦτον ὡς ἡ ὥρα ζῶσα [8]) ἐπανελθὼν ἐπανελεύσω σε [9]) καὶ ἕξεις υἱόν. ἐγέλασεν δὲ Σάῤῥα προπετῶς εἰποῦσα· [εἰ] ὁ κύριός μου πρεσβύτης, ἐγὼ δὲ στεῖρα γραῦς, πῶς τέξω [10]) υἱόν; καὶ ἦν αὐτῇ ἄπιστον τὸ ῥῆμα. ἔφη δὲ πρὸς τὸν Ἀβραὰμ ὁ συνεστιάτωρ [11])· τί [ἐστιν] ὅτι ἐγέλασεν Σάῤῥα; ἐγὼ γὰρ [12]) ἀληθινὸν ῥῆμα λαλῶ πρός σε. Ἐγένετο δὲ μετὰ τὸ ἀριστῆσαι [13]) αὐτοὺς ἠβούλοντο ἐξελθεῖν ἀπὸ τῆς τραπέζης καὶ ἰδοὺ ἡ μήτηρ τοῦ μόσχου ἦλθεν βοῶν καὶ ζητοῦσα τὸν ἴδιον μόσχον. ἀναστάντων δὲ τούτων τῆς τραπέζης συνανέστη καὶ ὁ τεθυμένος μόσχος καὶ ἠκολούθησεν τῇ μητρὶ αὐτοῦ. τοῦτο ἰδὼν [ὁ] Ἀβραὰμ ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ μὴ δυνάμενος ἀντοφθαλμῆσαι τοῖς ἀνδράσιν [14]). οἱ δὲ ἄνδρες κατένευσαν ἐπὶ τὴν χώραν Σοδόμων.

Περὶ τῶν Σοδόμων καὶ Γομόῤῥων [15]). Ἀναστὰς δὲ Ἀβραὰμ κατεδίωξεν ὀπίσω αὐτῶν καὶ κρατήσας προσέπεσεν τοῖς ποσὶν αὐτῶν λέγων· κύριοί μου, ἀναγγείλατέ μοι τῷ οἰκέτῃ ὑμῶν, τίνες ἐστὲ καὶ ποῦ πορεύεσθε; εἶπε δὲ Κύριος· μὴ κρύψω αὐτὸν ἀπὸ τοῦ παιδός μου Ἀβραάμ· κραυγὴ Σοδόμων καὶ Γομόῤῥων πεπλήθυν-

---

[1]) καταλύσατε. [2]) παριδῶν. [3]) Σ. τῇ γυναικί. [4]) ἄρτον. [5]) ἐλεύσομαι. [6]) μετ' αὐτῶν. [7]) αὐτόν. [8]) ζῶν V. [9]) ἐπ. εἰσελεύσομαι. [10]) τέξομαι. [11]) συνεσθιάτωρ. [12]) δέ. [13]) ἀναστῆναι. [14]) αὐτοῖς. [15]) Περὶ τῆς καταστροφῆς Σοδόμων.

ται πρός με καὶ αἱ ἁμαρτίαι αὐτῶν μεγάλαι σφόδρα. καταβὰς οὖν ὄψομαι εἰ κατὰ τὴν κραυγὴν αὐτῶν τὴν ἐρχομένην πρός με συντελοῦνται. εἰ δὲ μή, ἵνα γνῶ [ἐγώ]. Ἀβραὰμ δὲ ἦν ἑστηκὼς ἐνώπιον [1]) Κυρίου [καὶ λέγει πρὸς Κύριον· μή, Κύριε, ποιήσῃς κρίσιν, λαλήσω δὲ ἐνώπιον σου] καὶ μὴ ὀργισθῇς μοι· καὶ ἐάν [εἰσιν] οἱ πεντήκοντα δίκαιοι (ἐν) τῇ πόλει [2]) ἀπολέσῃς αὐτοὺς [3]) καὶ ἔσται ὁ δίκαιος ὡς ἀσεβής, οὐκ ἀνύσεις [κρίσιν] ἕνεκεν τῶν πεντήκοντα δικαίων; [μηδαμῶς ὁ κρίνων ὁ ποιήσας κρίσιν]. Καὶ εἶπεν Κύριος πρὸς [4]) Ἀβραάμ· ἐὰν εὑρήσω [5]) πεντήκοντα δικαίους, ἀφήσω πάντα τὸν τόπον δι' αὐτῶν [6]). εἶπεν δὲ Ἀβραὰμ πρὸς [τὸν] Κύριον· [μή τι Κύριε] ἐὰν λαλήσω ἔτι ἅπαξ· ἐὰν ἐλα(τ)τωθῶσιν οἱ πεντήκοντα εἰς τεσσαράκοντα [πέντε]; καὶ εἶπεν [Κύριος· ἐὰν εὕρω ἐκεῖ τεσσαράκοντα πέντε] ἀφήσω πάντα τὸν τόπον δι' αὐτούς. [καὶ εἶπεν Ἀβραάμ·] ἐὰν εὑρεθῶσιν [ἐκεῖ] τριάκοντα; καὶ εἶπεν [Κύριος· εἰ εὕρω ἐκεῖ τριάκοντα], ἀφήσω πάντα τὸν τόπον. Εἶπεν δὲ [7]) Ἀβραάμ· ἐὰν εὑρεθῶσιν ἐκεῖ εἴκοσι; καὶ εἶπεν· ἀφήσω ἕνεκεν τῶν εἴκοσι[πάντα τὸν τόπον]. καὶ εἶπεν· ἐὰν εὑρεθῶσιν ἐκεῖ δέκα; καὶ εἶπεν· ἀφήσω ἕνεκεν τῶν δέκα. Ἀπῆλθεν δὲ [8]) Κύριος ὡς ἐπαύσατο λαλῶν τῷ [9]) Ἀβραάμ. [Ὁ δὲ Ἀβραὰμ] ὑπέστρεψεν [10]) εἰς τὸν οἶκον αὐτοῦ, οἱ δὲ ἄνθρωποι ἀπῆλθον [11]) ἐν Σοδόμοις καὶ εἰσῆλθαν [12]) ἐν τῇ οἰκίᾳ τοῦ Λώτ. καὶ ἐλθόντες οἱ Γομοῤῥοσοδομίται [13]) ἐζήτουν τοὺς ἄνδρας λέγοντες [14])· δὸς ἡμῖν τοὺς ἐλθόντας σήμερον ξένους ἐνταῦθα. Ἦσαν γὰρ [15]) αὐτοὶ οἱ Γομοῤῥοσοδομίται [13]) πονηροὶ καὶ ἁμαρτωλοὶ ἐναντίον Κυρίου τοῦ θεοῦ καὶ ἵσταντο ζητοῦντες τοὺς ἄνδρας, ὁ δὲ Λὼτ οὐκ ἤθελεν δοῦναι αὐτοὺς [αὐτοῖς], ἐκεῖνοι δὲ ἀνεμόχλευσαν [16]) τὸν οἶκον εἰσελθεῖν βουλόμενοι. Ὁ δὲ Λώτ φησιν πρὸς αὐτούς· λάβετε τὸ θυγάτριόν μου καὶ τοὺς ἄνδρας ἐάσατε. οἱ δὲ οὐκ ἤθελον, ἀλλὰ ἀνεμόχλευον τοῦ οἴκου [17]) τὰς πύλας ῥῆξαι ταύτας βουλόμενοι καὶ εἰσελθόντες [18]) καὶ συλλαβέσθαι αὐτούς. Οἱ δὲ ἄνδρες ἦλθον εἰς τὸν πυλῶνα καὶ βουληθεὶς εἷς ἐξ αὐτῶν ἀνοῖξαι τὴν θύραν τῆς αὐλῆς τοῦ οἴκου οὐκ ἤφηνεν τού-

---

[1]) ἔναντι. [2]) (εἰσὶν) ἐκεῖ. [3]) τὴν πόλιν. [4]) τῷ. [5]) εὕρω. [6]) τόπον ἕνεκεν τῶν πεντήκοντα δικαίων. [7]) καὶ εἶπεν. [8]) καὶ ἀπῆλθε [9]) ὁ. [10]) ἐπέστρεψεν. [11]) ἄνδρες κατῆλθον. [12]) εἰσῆλθον. [13]) Σοδομογορεῖται. [14]) λέγοντας V. [15]) δέ. [16]) ἀνεμόχλευον. [17]) τὸν οἶκον καί, V τοῦ ᾅδου. [18]) V εἰσελθών, quod correxi.

τους ὁ Λὼτ [1]) λέγων· μή, Κύριε, μὴ βουληθῇς [2]) αὐτοῖς ἀνοῖξαι τὴν θύραν καὶ ἁρπάσωσίν σε [3]) οἱ πονηροὶ ἄνθρωποι τοῦτοι. Ὁ δὲ ἀποκριθεὶς λέγει τῷ Λώτ [4])· ἔασόν με [5]) ἀνοῖξαι καὶ ἴδῃς πῶς ἔχω αὐτοῖς ὁμιλέσαι. Ἀνοίξαντος δὲ αὐτοῦ τὴν πύλην [6]) φλόγα πυρὸς ἀποστείλας κατέφλεξεν [7]) αὐτούς. Ἰδὼν δὲ Λὼτ τὸ παράδοξον αὐτοῦ θαύματος πεσὼν εἰς τοὺς πόδας αὐτῶν [εἶπεν πρὸς αὐτούς]· εἴπατέ [μοι], κύριοί μου, τίνες ἐστέ; οἱ δὲ εἶπον αὐτῷ· ὅτι ἀναλαμβανόμενος τοὺς σφοὺς φεῦγε εἰς τὸ ὄρος, ὅτι ἰδοὺ ὡς ὁρᾷς ἐμπρησμὸν ἤλθομεν καταπρῆσαι [8]) τὴν χώραν [9]) ταύτην διὰ τὰς ἁμαρτίας καὶ ἀσελγείας αὐτῶν, νῦν οὖν [τοσοῦτον φεῦγε καὶ μή τις ἐπιστραφῇ ἐξ ὑμῶν] καὶ θεάσατε [10]) τὴν γινομένην ὀργήν [ἐπεὶ μὴ φέρων ἀπολεῖται] (πᾶσα ἡ πόλις) [11]).

Περὶ τῆς φυγῆς Λώτ [12]). Ἐν σπουδῇ δὲ πολλῇ ὁ Λὼτ ἐπισάξας τοὺς ὄνους [αὐτοῦ] ἔλαβεν ἄρτον [13]) καὶ οἶνον [καὶ] ᾤχετο τῆς ὁδοῦ μετὰ τῆς γυναικὸς αὐτοῦ καὶ τῶν δύο θυγατέρων αὐτοῦ, παρεκάλει δὲ τοὺς ἄνδρας [τοῦ] μὴ καταλείπειν αὐτόν [14]). εἶπον δὲ πρὸς αὐτόν· πορεύου, μετά σου γὰρ ἡμεῖς ἐσμεν [15]). ἦν δὲ ἀγρὸς πλησίον τοῦ ὄρους λεγόμενος Σιγώρ· παρεκάλει δὲ ὁ Λὼτ [τοὺς ἄνδρας τοῦ] μὴ καταφλέξαι αὐτὸν [16]) ὅπως διασωθῇ ἐν αὐτῷ, καὶ εἰσήκουσαν αὐτοῦ [17]). Ἐγένοντο δὲ ἐν Σοδόμοις βρονταὶ συνεχεῖς καὶ πῦρ ἔβρεξεν καὶ ἔβρυσεν [18]) ἡ γῆ πίσσαν χαχλάζουσαν καὶ θεῖον καὶ κατεδαπάνησεν τοὺς ἀνθρώπους καὶ τὰ ζῶα καὶ οὐκ ἐφείσατο οὐδενός, ἀλλὰ πάντας κατέφλεξεν [19]) ἄρδην. Ἡ δὲ γυνὴ τοῦ Λὼτ ἀκούσασα τὸν γενόμενον ὀλολυγμὸν καὶ μὴ ἐνέγκασα τῶν σπλαγχνῶν [20]) ἐπεστράφη [21]) ἰδεῖν τὴν πατρίδα καὶ εὐθὺς ἐλιθώθη καὶ γέγονε [22]) στήλη ἁλός, οὐχὶ λίθος, ἀ(λ)λὰ ἅλατος [23]). Καὶ μὴ ἀπιστήσῃς μαρτυρεῖ μοι τῷ λόγῳ ὁ γράφων ἐν ὕμνοις λέγων οὕτως [24])· μὴ γίνου στήλη ἁλός. ἅλας λέγεται στήλη ἁρμυρά. διεσώθη δὲ μόνος [ὁ Λὼτ] μετὰ τῶν δύο θυγατέρων αὐτοῦ. καὶ

---

[1]) οἱ δὲ ἄνδρες ἦλθον εἰς τὸν πυλῶνα πρὸς τὸ ἀνοῖξαι, ὁ δὲ Λὼτ οὐκ ἠφ. αὐτούς. [2]) κύριοι, βουληθῆτε. [3]) ἀφαρπάσουσιν ὑμᾶς. [4]) οἱ δὲ ἀποκριθέντες εἶπον. [5]) ἡμῖν. [6]) Ἀνοιξάντων δὲ αὐτῶν τὰς πύλας. [7]) ἐξελθοῦσα κατέκαυσεν. [8]) καταποντίσαι. [9]) τὴν πόλιν. [10]) θεάσητε. [11]) Addendum esse videtur πᾶσα ἡ πόλις. [12]) Titulus deest. [13]) ἄρτους. [14]) καταλιπεῖν ἑαυτόν. [15]) ἐν σοὶ γάρ ἐσμεν. [16]) αὐτούς V. [17]) αὐτόν V. [18]) V ἔβρεξεν, O ἔβλυσεν quod correxi. [19]) κατέφαγεν. [20]) τὰ σπλάγχνα. [21]) ὑπεστράφη. [22]) εὐθέως ἀπελιθώθη καὶ ἐγένετο. [23]) ἁλάτι. [24]) καὶ μάρτυς ὁ ὑμνογράφος λέγων.

καθεσθέντες [1]) ἐν Σιγὼρ προσεδόκουν [2]) ὅτι ὅλος ὁ κόσμος ἀπώλετο καὶ οὐκ ἀπέμεινεν [3]) ἄνθρωπος εἰς τὸν κόσμον [4]). καὶ συνεβουλεύθησαν αἱ δύο τοῦ Λὼτ θυγατέρες [5]) λέγουσαι· ὅτι ἰδοὺ ὅλος ὁ κόσμος ἀπώλετο καὶ οὐκ ἀπέμεινεν ἄνθρωπος εἰς τὸν κόσμον καὶ τίς ἀναστήσει ἡμῖν σπέρμα μὴ ὄντος ἀνδρὸς ἐν τῷ κόσμῳ; ἀλλὰ δεῦρο ποτίσωμεν τὸν πατέρα ἡμῶν οἶνον ἀκράτον καὶ συγγενόμενος ἡμῖν ἀναστήσει [6]) σπέρμα καὶ ἐσόμεθα οἰκοῦντες τὸν κόσμον. καὶ δὴ βουλευσάμεναι τοῦτο [7]) ἐπότισαν τὸν πατέρα αὐτῶν οἶνον ἀκράτον, καὶ ἐμεθύσθη καὶ συνεγένετο τῇ πρώτῃ αὐτοῦ θυγατρὶ καὶ οὐκ ἔγνω τὸ δρᾶμα. ὁμοίως πάλιν ποιήσας ἐσυνεγένετο καὶ τῇ ἑτέρᾳ. καὶ συνέλαβαν [8]) αἱ δύο θυγατέρες [9]) αὐτοῦ ἐξ αὐτοῦ. Καὶ τοῦτο [10]) αἰνιττόμενος ὁ κύρος Θεόδωρος ὁ Στουδίτης λέγει· ὑδροποτῶν οὐδεὶς ἀφρονέσατο [11]), ὤφθη δὲ Νῶε γυμνὸς οἴνου πειρασθείς, σπέρματα δὲ κακίας ὁ Λὼτ ἐντεῦθεν τίκτει. Καὶ ὁ μακάριος Ἰωάννης ὁ Χρυσόστομος λέγων ἐν τῷ περὶ οἰνοποσία(ς) λόγῳ [12])· ὅτι ὁ Λὼτ θυγατρόγαμος ἐγένετο διὰ τῆς μέθης [13]), ὁ πατὴρ ἀνὴρ καὶ ὁ πάππος πατήρ. καὶ πολλαχοῦ [14]) ἡ Γραφὴ κατονειδίζει τὴν ῥαθυμίαν αὐτοῦ. Διελθουσῶν δὲ ἡμερῶν οὐκ ὀλίγων ἔγνωσαν ὅτι μόνα [15]) τὰ Σόδομα καὶ τὰ Γόμοῤ(ῥ)α κατεκαύσθησαν [16]). καὶ ἀναστὰς ὁ Λὼτ ἦλθεν πρὸς Ἀβραὰμ καὶ ἀνήγγειλεν αὐτῷ πάντα καὶ πῶς πλανηθεὶς τὴν ἁμαρτίαν εἰργάσατο. καὶ ἐλυπήθη Ἀβραὰμ ἀκούσας ταῦτα καὶ λέγει τῷ Λώτ· ἄκουσόν μου, τέκνον, καὶ πορεύθητι εἰς τὸν Νεῖλον ποταμὸν τὸν ἐξερχόμενον ἐκ τοῦ παραδείσου καὶ ἄγαγέ μοι δαλοὺς τρεῖς. Καὶ ἀναστὰς ὁ Λὼτ ᾤχετο τῆς ὁδοῦ δι' ἔρημον ἄβατον [17]) καὶ ἄνυδρον. τοῦτο [γὰρ] ἔκρινεν Ἀβραὰμ ὅτι ὑπὸ θηρίου ἀναλωθῇ [18]) ἢ ἀπὸ [19]) τῆς δίψης [ἐκλείψει] πικρῷ θανάτῳ [καὶ οὕτως] ῥυσθείη ἀπὸ τῆς ἁμαρτίας αὐτῆς [20]). Λὼτ δὲ διεσώθη θεοῦ φυλακῇ καὶ ἀπελθὼν εἰς τὸν Νεῖλον ποταμὸν τὸν ἐξερχόμενον ἐκ τοῦ παραδείσου καὶ εὑρὼν [21]) ἐρημίους [22]) δαλοὺς τρεῖς πεύκη καὶ κέδρο(ν) [23])

---

[1]) καθίσαντες. [2]) προσεδόκησαν. [3]) ἔμεινεν. [4]) ἐν τῷ κόσμῳ. [5]) συνεβουλεύσαντο αἱ θ. αὐτοῦ. [6]) ἡμῶν ἀναστήσομεν V. [7]) βουλευσάμενοι τούτου V. [8]) συνέλαβον· [9]) θυγατέρας V. [10]) τοῦτον V. [11]) εὐφρονεύσατο. [12]) ἐν τῷ οἰν. λ. [13]) τὴν μέθην. [14]) πανταχοῦ. [15]) μόνον. [16]) κατεκαύθησαν. [17]) δι' ἐρήμου ἀβάτους (sic). [18]) ἵνα ὑπὸ θηρίων ἀναλωθήσεται. [19]) ὑπό. [20]) ῥυσθῇ τῇ ἁμαρτίᾳ (αὐτῆς = ταύτης). [21]) εὗρεν. [22]) ἐρήμους. [23]) πεῦκον, κέδρον.

καὶ κυπάρισ(σ)ον, καὶ βαστάζων ταῦτα πρὸς τὸν Ἀβραὰμ ἦλθεν [1]. Καὶ ἰδὼν αὐτὸν Ἀβραὰμ ἐχάρη χαρὰν μεγάλην καὶ ἠσπάσατο αὐτὸν ὡς ἐκ νεκρῶν αὐτὸν δεξάμενος [2], καὶ λαβὼν τὰ ξύλα σὺν τῷ Λὼτ ἀπήγαγεν αὐτὰ εἰς κεφαλὴν ἐρήμου [ὄρους] καὶ ἔπηξεν τὰ [τρία] ξύλα ἀντιπρόσωπον [3]) ἀλλήλοις ἀπέχοντα ἓν τὸ ἄλλον [4] ἀπὸ πήχης ὡς τριγώνων καὶ δέδωκεν αὐτῷ ἐντολὴν ἵνα ἀπέρχεται [5] ἐν τῷ Ἰορδάνῃ καὶ ἀνενεγκὼν [6] ὕδωρ ποτίζει τὰ ξύλα ἱστάμενα ἐπὶ τῆς πέτρας. ἀπεῖχε δὲ ὁ Ἰορδάνης μίλια κδ′. καὶ οὕτως πυκτεύων ὁ Λὼτ ἐπότιζεν τὰ ξύλα. καὶ περιεπλάκησαν τὰ ξύλα [ἀλλήλοις. ἐλθὼν δὲ Ἀβραὰμ εἰς τὸν τόπον καὶ ἰδὼν τὰ ξύλα ὅτι οὐ μόνον ἐβλάστησαν] ἀλλὰ καὶ περιεπλάκησαν ἀλλήλοις προσεκύνησε τῷ Κυρίῳ καὶ εἶπεν [7]· τοῦτο τὸ ξύλον ἔσται ἁμαρτίας ἀναίρεσις. καὶ ἦν τὸ ξύλον αὐξανόμενον καὶ εἶχεν τὰς ῥίζας [ἄνωθεν] κεχωρισμένας εἰς τρία, τὸ δὲ μέσον τοῦ ξύλου ἦν [8] λεῖον [9] μὴ χωρίζον [10] τὸ ἓν ἀπὸ τοῦ ἑτέρου, καὶ ἦν τὸ ξύλον [11] ἕως τῆς βασιλείας Σολομῶντος. ἀλλὰ καὶ περὶ τοῦ ξύλου τούτου ἐν ἑτέρῳ καιρῷ δηλώσομεν. Ὁ δὲ Ἀβραὰμ λαβὼν [τὴν] πληροφορίαν περὶ τῆς μετανοίας Λὼτ καὶ [περὶ] τῆς τοῦ ἐμπρησμοῦ ἀ(λ)λοιώσεως [12] ηὐχαρίστει τὸν θεόν [13].

Περὶ Ἰσαὰκ καὶ τῆς περιτομῆς αὐτοῦ [14]. Τῷ δὲ καιρῷ ἐκείνῳ ἐγέν(ν)ησεν Σάῤῥα ἡ γυνὴ αὐτοῦ [15] τοῦ Ἀβραὰμ παῖδα ἄῤ(ῥ)ενα [16] καὶ ἐπωνόμασε αὐτὸ(ν) [17] Ἰσαάκ, καὶ περιέτεμε αὐτὸν Ἀβραὰμ καὶ ἐχάρη ὁ Ἀβραὰμ [18] καὶ πᾶς ὁ οἶκος αὐτοῦ [ἐπὶ τῇ γεννήσει Ἰσαάκ]. Γενομένου δὲ τοῦ Ἰσαὰκ ἑπταετοῦς ἦν παίζων μετὰ Ἰσμαὴλ τοῦ ἀδελφοῦ αὐτοῦ ἀπὸ τῆς Ἄγαρ [19] καὶ ἦν δέρων ὁ Ἰσμαὴλ τὸν Ἰσαάκ. [Ἰδοῦσα δὲ ἡ Σάῤῥα ὅτι ἔδειρεν Ἰσμαὴλ τὸν Ἰσαὰκ] ἐτρώθη δὲ τῇ ψυχῇ ἡ Σάῤῥα καὶ ἐμαχήσατο [τὸν] Ἀβραὰμ λέγων· ὅτι δίωξον τὴν παιδίσκην [μου] μετὰ τοῦ υἱοῦ αὐτῆς. ὁ δὲ Ἀβραὰμ βαρὺν ἔφερεν τὸ πρᾶγμα, ἡ δὲ Σάῤῥα

---

[1]) β. τ. ἦλθ. εἰς τὸν Ἀ. [2]) ὡς νεκρὸν ἀναστάντα. [3]) ἀντιπρόσωπα. [4]) αλλήλων ἀπέχων ἓν τοῦ ἑτέρου. [5]) κατέρχεται. [6]) V add. αὐτούς quod omisi. [7]) λέγων. [8]) ὑπάρχων. [9]) χύον V. [10]) διαχωρίζον. [11]) τὰ ξύλα πάντα. [12]) ἁλώσεως. [13]) τῷ θεῷ. [14]) Tituli loco in margine legitur γεννηθεὶς Ἰσαάκ. [15]) ἔτεκεν ἡ γ. αὐτ. Σ. [16]) solum υἱόν. [17]) ἐπων. τὸ ὄνομα αὐτοῦ. [18]) ἐχάρη αὐτός. [19]) Γεννηθεὶς δὲ Ἰ. καὶ ἑπταετὴς γενόμενος ἦν παίζων μετὰ Ἰ. τοῦ ἀδ. αὐτοῦ τῆς Ἄγαρ τὸν υἱόν (sic).

πλεῖον ἐπέκειντο τῷ Ἀβραὰμ λέγων· ὅτι δίωξον τὴν παιδίσκην ὅτι οὐ φέρω [1]) ὁρᾶν αὐτὴν μετὰ τοῦ υἱοῦ αὐτῆς. Ἀβραὰμ δὲ ἐπερώτησε [2]) τὸν Κύριον λέγων· εἰ [3]) ἐκδιώξω τὴν παιδίσκην; καὶ ἀπεκρίθη αὐτῷ Κύριος λέγων· εἴ τι [4]) σοι λέγει Σάῤῥα, ποίησον, ἐγὼ γὰρ τὸ σπέρμα σου οὐ μὴ ἐγκαταλείπω [5]) εἰς τὸν αἰῶνα, ἀλλὰ πληθυνῶ αὐτὸ [6]) ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης καὶ κληρονομήσει τὸ σπέρμα σου τὰς πόλεις τῶν ὑπεναντίων καὶ ἐνευλογηθήσονται ἐν τῷ σπέρματί σου πᾶσαι αἱ φυλαὶ τῆς γῆς. Καὶ ἐλθὼν Ἀβραὰμ ἀπὸ τῆς θυσίας δέδωκεν τῇ Ἄγαρι [7]) ἀσκὸν ὕδατος καὶ ἄρτους ὅσους ἠδύνατο καὶ ἐξήγαγεν αὐτοὺς ἔξω τοῦ οἴκου αὐτοῦ. Παραλαβοῦσα δὲ Ἄγαρ τὸν Ἰσμαὴλ ᾤχετο διὰ τῆς ἐρήμου καὶ πληρωθέντος τοῦ ὕδατος ἦν ἐν δίψῃ τὸ παιδίον [8]) διότι οὐκ ἦν ὕδωρ ἐν τῷ τόπῳ ἐκείνῳ. καὶ ἰδοὺ Ἰσμαὴλ ἦλθεν τοῦ ἀποθανεῖν. ἡ δὲ μήτηρ αὐτοῦ [Ἄγαρ] ἰδοῦσα [καὶ μὴ θέλουσα ὁρᾶν] τὸν θάνατον τοῦ υἱοῦ αὐτῆς ὑπεχώρησεν ἀπὸ τοῦ παιδὸς [9]) ὡσεὶ λίθου βολὴν [10]) καὶ ἐθρήνει τὸν θάνατον [αὐτοῦ. ὁ δὲ υἱὸς αὐτῆς Ἰσμαὴλ ἦν στενάζων ἀπὸ τῆς δίψης καὶ μόνον τὸν θάνατον ἔχων πρὸ ὀφθαλμῶν αὐτοῦ ἢ μᾶλλον τὴν ζωήν. Θρηνούσης γὰρ τῆς Αγαρ καὶ ὀλοφυρομένης ἐπὶ τῷ πικρῷ καὶ βιαίῳ θανάτῳ] τοῦ υἱοῦ αὐτῆς ἐπέστη δὲ αὐτῇ ἄγγελος Κυρίου καὶ εἶπεν αὐτῇ [11])· ἀνάστηθι καὶ ἄρασα τὸ παιδίον ἀκολούθει μοι, ἐγὼ γάρ σοι ὑποδείξω [ὕδωρ] εἰς πόσιν σου καὶ τοῦ παιδός [σου]. Ἀνέστη [12]) οὖν μετὰ σπουδῆς καὶ ἦρε τὸν παῖδα καὶ ὑπέδειξεν αὐτῇ ὁ ἄγγελος Κυρίου ὕδωρ εἰς πόσιν αὐτῶν καὶ εἶπεν [13]) αὐτῇ ὁ ἄγγελος Κυρίου· λαβοῦσα τὸν παῖδα [14]), εἰς γὰρ ἔθνος μέγα γενήσεται [15]), διότι Κύριος ὁ θεὸς οὐ μὴ ἐγκαταλείπει τὸ σπέρμα Ἀβραὰμ εἰς τὸν αἰῶνα.

Περὶ τῆς θυσίας Ἀβραάμ [16]). Τοῦ δὲ Ἰσαὰκ γενομένου ἐτῶν δέκα καὶ ὀκτὼ ἐπείραζεν ὁ θεὸς τὸν Ἀβραὰμ καὶ εἶπεν αὐτῷ· Ἀβραάμ, [Ἀβραάμ]. ὁ δὲ εἶπεν· ἰδοὺ ἐγώ, Κύριε. Καὶ εἶπεν [17])· λάβε τὸν υἱόν σου τὸν ἀγαπητὸν ὃν ἠγάπησας τὸν

---

[1]) φέρων V. [2]) ἐπηρώτησε. [3]) ὅτι. [4]) ὅσον. [5]) καταλείψω. [6]) πληθύνω αὐτά V. [7]) τῇ Ἄγαρ. [8]) τοῦ παιδός V. [9]) ἀπ' αὐτοῦ. [10]) λιθοβολήν V. [11]) ἐπ. ἄγ. κ. λέγων αὐτῇ. [12]) ἀναστάσα. [13]) λέγει [14]) Nonnulla exciderunt? [15]) ἄγ. Κυρίου· εἰς ἔθνος μέγα γενήσεται ὁ παῖς. [16]) Titulus deest. [17]) εἶπεν δέ.

'Ισαὰκ [1]) καὶ ἀνένεγκεν (=κε) αὐτὸν εἰς ὁλοκάρπωσιν ἐπὶ ἓν τῶν ὀρέων ὃν ἄν σοι εἴπω [2]). ταῦτα [3]) ἀκούσας 'Αβραὰμ παρὰ τοῦ θεοῦ ἐπέσαξεν τὴν ὄνον αὐτοῦ καὶ σχίσας ξύλα τῆς ὁλοκαρπώσεως ἐπέθηκεν ἐπ' αὐτήν [4]), παρέλαβε δὲ μεθ' ἑαυτοῦ δύο παῖδας καὶ 'Ισαὰκ τὸν υἱόν αὐτοῦ. ἔλαβε δὲ τὸ πῦρ μετὰ χεῖρας [5]) καὶ τὴν μάχαιραν καὶ ἀναστὰς ἐπορεύθη καὶ ἦλθεν εἰς τὸν τόπον ὃν εἶπεν αὐτῷ ὁ θεὸς [6]) τῇ ἡμέρᾳ τῇ τρίτῃ. Καὶ ἀναβλέψας 'Αβραὰμ τοῖς ὀφθαλμοῖς αὐτοῦ εἶδεν τὸν τόπον μακρόθεν καὶ εἶπεν τοῖς παισὶν αὐτοῦ· καθίσατε αὐτοῦ [7]) μετὰ τῆς ὄνου, ἐγὼ δὲ καὶ τὸ παιδάριον διελευσόμεθα ἕως ὧδε καὶ προσκυνήσαντες πρὸς ὑμᾶς ἀναστρέψομεν. Λαβὼν δὲ [8]) τὰ ξύλα τῆς ὁλοκαρπώσεως ἐπέθηκεν τῷ υἱῷ αὐτοῦ. καὶ λαβὼν τὸ πῦρ μὲ τὰς [9]) χεῖρας καὶ τὴν μάχαιραν ἐπορεύοντο οἱ δύο ἅμα. εἶπεν δὲ 'Ισαὰκ τῷ πατρὶ αὐτοῦ· ἰδοὺ τὸ πῦρ καὶ τὰ ξύλα, ποῦ ἐστι τὸ πρόβατον [10]) τὸ εἰς ὁλοκάρπωσιν [πάτερ]; εἶπε δὲ 'Αβραάμ· ὁ θεὸς ὄψεταί σοι [11]) πρόβατον εἰς ὁλοκάρπωσιν, τέκνον. καὶ ἐλθὼν εἰς τὸν τόπον τὸν λεγόμενον Κρανίου [12]) πέτραν ἐποίησεν [ἐκεῖ] θυσιαστήριον. καὶ [δὴ] συνποδίσας [13]) 'Αβραὰμ [τὸν] 'Ισαὰκ τὸ(ν) υἱὸ(ν) αὐτοῦ ἐπέθηκεν ἐπὶ τὸ θυσιαστήριον ἐπάνω τῶν ξύλων. ἐξέτεινεν δὲ 'Αβραὰμ τὴν χεῖραν λαβεῖν τὴν μάχαιραν [τοῦ σφάξαι τὸν υἱὸν] αὐτοῦ. ἐκάλεσεν δὲ αὐτὸν ἄγγελος Κυρίου λέγων αὐτῷ· 'Αβραάμ, 'Αβραάμ. ὁ δὲ εἶπεν· ἰδοὺ ἐγώ. εἶπεν δὲ πρὸς αὐτὸν ὁ ἄγγελος· μὴ ἐπιβάλῃς τὴν μάχαιραν [14]) ἐπὶ τὸ παιδάριον μηδὲ ποιήσῃς αὐτῷ μηθ' ἕν. νῦν [γὰρ] ἔγνων ὅτι φοβῇ σὺ τὸν θεὸν καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ. κατ' ἐμαυτοῦ ὤμοσα, λέγει Κύριος· εἰ μὲν [15]) εὐλογῶν εὐλογήσω σε καὶ [πληθύνων] πληθυνῶ τὸ σπέρμα σου [16]) ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης. καὶ ἀναβλέψας 'Αβραὰμ τοῖς ὀφθαλμοῖς αὐτοῦ εἶδεν καὶ ἰδοὺ κριὸς εἷς κατεχόμενος τῶν κεράτων ἐν φυτῷ σαβέκ, σαβὲκ δὲ ἑρμηνεύεται χρυσολάχανον ἑρμηνευόμενον [17]) ἄφεσις. Καὶ λαβὼν 'Αβραὰμ τὸν

---

[1]) υἱόν σου τὸν 'Ι. τὸν περιπόθητον. [2]) δείξω. [3]) τοῦτο. [4]) ἐπ' αὐτῇ. [5]) χεῖρα. [6]) ὁ Κύριος. [7]) ὧδε. [8]) λαβόντες. [9]) μετά. [10]) τὸ δὲ πρόβατον ποῦ ἐστιν. [11]) σέ V. [12]) συκρανίου V. [13]) συμποδίσας. [14]) τὴν χεῖράν σου. [15]) εἰ μήν. [16]) πληθυνῶ σε. [17]) ἤτοι

χριὸν ἔθυσεν αὐτὸν ἀντὶ Ἰσαὰκ τοῦ υἱοῦ αὐτοῦ καὶ λαβὼν [αὐτὸς] τὸν υἱὸν αὐτοῦ ζῶντα ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ.

Γενομένου δὲ [1]) τοῦ Ἰσαὰκ ἐνηλικοῦ [2]) καλέσας [3]) Ἀβραὰμ ἕνα τῶν παίδων αὐτοῦ τὸν πρῶτον, Ἀνδρέαν λεγόμενον, καὶ λέγει αὐτόν [4])· θὲς τὴν χεῖράν σου ἐπὶ τῶν μηρῶν σου [5]). καὶ ἐποίησεν οὕτως. καὶ λέγει αὐτῷ Ἀβραάμ· ὁρκίζω σε [εἰς τὸν θεὸν] τὸν ποιητὴν οὐρανοῦ καὶ γῆς [6]) ἵνα μὴ δώσῃς τὸν υἱόν μου τὸν Ἰσαὰκ γυναῖκα [ἀπὸ τῶν Χαναναίων ἐν ᾧ ἐγὼ οἰκῶ εἰ μὴ ἀπὸ τῆς γῆς μου καὶ ἀπὸ τῆς γενεᾶς μου ἀγάγῃς αὐτῷ γυναῖκα]. Ταῦτα ἀκούσας ὁ οἰκέτης τοῦ Ἀβραὰμ ἀναστὰς ἐπέσαξεν [7]) τὰς καμήλους καὶ παραλαβὼν παῖδας μεθ' ἑαυτοῦ ἀπῆλθεν ἐν τῇ χώρᾳ Χαλδαίων καὶ εἶπεν ἐν ἑαυτῷ· ὅτι οὐκ οἶδα ποῖός ἐστιν ὁ εὐγενὴς καὶ ποῖος ὁ διγενής, ἀλλὰ καθεσθήσομαι [8]) ἐν τῇ πηγῇ καὶ πάντα γνώσομαι ἀπὸ τῶν κορασίων. Καθεσθέντος δὲ αὐτοῦ πλησίον τοῦ φρέατος εἶδεν ἀριθμὸν κορασίων [τῶν] ἐρχομένων καὶ ἐπερώτησεν [9]) αὐτὰς λέγων· ποία ἐξ ὑμῶν δίδει μοι ὕδωρ πιεῖν; καὶ ἀπεκρίθη Ρεβέκ(κ)α καὶ εἶπεν· ἐγώ, Κύριε. καὶ ἄγαγε [καὶ] τὰς καμήλους σου καὶ ποτίσομεν [10]) αὐτάς. καὶ ἐπότισεν καὶ λέγει αὐτήν [11])· εἰ ἔστιν ἐν τῷ οἴκῳ τοῦ πατρός σου ἀνάπαυσις τῶν ζώων; ἡ δὲ εἶπεν· ἔστι, Κύριε, καὶ ἀνάπαυσις [καὶ τροφαὶ] καὶ χορτάσματα εἰς τὰς καμήλους [σου]. καὶ ἠκολούθησαν αὐτῇ καὶ εἰσελθόντες ἐν τῇ οἰκίᾳ τοῦ πατρὸς αὐτῆς ἐκαθέσθησαν [12]). καὶ ἤγαγον τράπεζαν ἐπὶ τῷ ἀριστῆσαι. Εἶπε δὲ Ἀνδρέας πρὸς τὸν κύριον τῆς οἰκίας [13])· ἐγὼ δοῦλός εἰμι Ἀβραὰμ τοῦ ὄντος ἐκ τῆς Χαλδαίων χώρας. καὶ λέγει αὐτῷ· ἡμέτερός ἐστιν. καὶ εἶπεν Ἀνδρέας· ὅτι ἦλθον ἀρ(ρ)αβωνίσασθαι κυρίῳ μου τῷ υἱῷ αὐτοῦ [14]) γυναῖκα καὶ εἶδον [15]) ἐν τῷ φρέατι τὴν θυγατέραν σου Ρεβέκ(κ)αν καὶ ἠράσθη μοι ἀρ(ρ)αβωνίσασθαι ταύτην τῷ κυρίῳ μου, καὶ εἰ βούλῃ μοι δοῦναι ταύτην ἐσθίω καὶ τὸν ἄρτον σου, εἰ [16]) δὲ μή, οὐκ ἐσθίω. Συνβουλευσάμενος [17]) δὲ μετὰ τῆς γυναικὸς [18]) αὐτοῦ συνέθεντο [19]) δοῦναι αὐτῷ ταύτη(ν). καὶ οὕτως φαγόντες συνέθεντο λόγους

---

[1]) οὖν. [2]) ἐν ἡλικίᾳ. [3]) προσεκάλεσεν. [4]) αὐτῷ. [5]) αὐτοῦ. [6]) τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν. [7]) ὑπέσαξεν V. [8]) καθίσω. [9]) ἐπηρώτησεν. [10]) ποτίσω. [11]) καὶ ποτίσας λέγει αὐτῇ. [12]) ἠκολούθησεν αὐ. κ. εἰσελθὼν εἰς τὴν οἰκίαν ἐκάθισεν. [13]) τοῦ οἴκου. [14]) τοῦ κυρίου μου τοῦ υἱοῦ αὐτοῦ. [15]) ἰδών. [16]) καί V. [17]) συμβ. [18]) συμβίου [19]) συνέθετο.

ἀῤ(ῥ)αβῶνος [1]) καὶ ποιήσαντες συνθήκας καὶ λόγους κατὰ τοὺς τύπους τῶν Χαλδαίων ἀνελάβοντο [2]) τὴν νύμφην καὶ τὴν φέρνην αὐτῆς σὺν παῖδας καὶ παιδίσκας καὶ πάντα ὅσα ἂν δέδωκαν αὐτὴν [3]) οἱ γονεῖς [αὐτῆς]· ἄλογά τε καὶ καμήλους, ἡμιόνους καὶ ὄνους. καὶ ταῦτα [4]) πάντα λαβόντες ἐπορεύθησαν. Καὶ ἐγένετο ὡς ἤγγισαν εἰς τὴν χώραν [5]) αὐτῶν ἐπερώτα Ρεβέκ(κ)α· ποῦ ἐστιν ὁ μεμνηστευμένος μοι; καὶ ἐγένετο ἐν τῷ πλησιάσαι αὐτοὺς εὗρον τὸν Ἰσαὰκ παίζοντα ἐν τῷ πεδίῳ [6]) καὶ ὑπέδειξεν αὐτὸν αὐτήν [7]). [Καὶ λέγει Ρεβέκ(κ)α· κατάγαγέ με ἀπὸ τῆς καμήλου. καὶ κατήγαγεν αὐτήν]. καὶ συναντήσασα τῷ Ἰσαὰκ προσεκύνησεν αὐτόν, ὁ δὲ λαβόμενος [8]) αὐτὴν τῆς χειρὸς ἦλθεν πρὸς τὸν πατέρα αὐτοῦ καὶ εὐλόγησεν [9]) αὐτοὺς Ἀβραάμ.

Ἐγένετο δὲ μεθ' ἡμέρας τὸ ἀποθανεῖν [Σάῤῥαν] τὴν γυναῖκα τοῦ Ἀβραὰμ καὶ εἶπεν Ἀβραὰμ τῷ Χετταίῳ [10])· δός μοι τόπον θάψαι τὸν νεκρόν μου. Καὶ εἶπεν αὐτῷ ὁ Χετταῖος· ἰδοὺ [11]) ἡμεῖς σοι οἰκέται [12]) καὶ ὁ τόπος τῆς χώρας ἐνώπιόν σου· ἔνθα ἂν βουληθῇς θάψον τὸν νεκρόν σου. ὁ δὲ οὐκ ἤθελεν, ἀλλὰ μόνον ἔλεγεν· πίπρασόν μοι [τόπον] θάψαι τὸν νεκρόν μου, οὐ γὰρ βούλομαι θάψαι τὸν νεκρόν μου δωρεάν [13]). ὁ δὲ Χετταῖος ἔλεγεν αὐτῷ· πᾶσαν τὴν γῆν ἐξουσίως [14]) ἔχεις· ἔνθα ἂν βούλῃ [15]) θάψον τὸν νεκρόν σου. Λέγει δὲ Ἀβραάμ· πώλεσόν μοι τὸ σπήλαιον τὸ ὂν ἐν τῇ δρυὶ τῇ Μαβρὶ σὺν τῶν περιεχομένων [16]) αὐτὴν [τόπων]. καὶ εἶπεν αὐτῷ Ἐ(μ)φρόν· ἐκεῖ σὺν παντὶ τῷ τιμήματί εἰσιν τετρακοσίων [δηναρίων] διδραγμῶν [17]). Καὶ ἐξενεγκὼν Ἀβραὰμ τετρακόσια δίδραγμα [18]) δέδωκε καὶ ὠνήσατο τὸ σπήλαιον τὸ διπλοῦν [19]) σὺν τῶν περιεχομένων αὐτοῦ [20]) τόπων. καὶ ἔθαψαν [21]) ἐκεῖ τὴν Σάῤ(ῥ)αν.

Ὁ δὲ Ἰσαὰκ ἐγέννησεν δύο υἱούς, τὸν Ἡσαῦ [22]) πρῶτον καὶ δεύτερον τὸν Ἰακώβ. καὶ ἦν Ἡσαῦ λα(μ)βάνων τὰ πρωτοτόκια οἷόν τι λέγονται τὰ πρωτογεν(ν)ήματα [23]). μιᾷ δὲ τῶν ἡμερῶν καθεσθέντων [τοῦ Ἡσαῦ καὶ τοῦ Ἰακὼβ] τοῦ ἀριστῆσαι δέδωκαν αὐ-

---

[1]) ἀῤῥαβώνων, V ἀῤ(ῥ)αβώνους. [2]) ἀνελάβετο. [3]) αὐτῇ. [4]) τά V. [5]) ἤγγισαν τὴν χώραν. [6]) εἰς τὸ πεδίον. [7]) αὐτῇ. [8]) λαβών. [9]) ηὐλόγησεν. [10]) τὸν Χετταῖον. [11]) ἴδε. [12]) οἰκέταις. [13]) δωρεὰν τεθῆναι τὸν νεκρόν μου. [14]) ὑπεξουσίως. [15]) κελεύῃ V. [16]) περιεχουσῶν. [17]) διδράγμων. [18]) διδράγματα. [19]) κυκλοῦν V. [20]) αὐτό. [21]) ἔθαψεν. [22]) Ἡσάφ V. [23]) οἷον τὰ πρῶτα γεννημένα.

τοῖς [1]) φάκκων σκουτέλιον [2]) καὶ ἄρτου τὸ ἱκανόν. καὶ ὁ μὲν Ἡσαῦ παρευθὺς ἔφαγεν τὸ ἱκανὸν τοῦ ἄρτου αὐτοῦ σὺν φάκκων, ὁ δὲ Ἰακὼβ [οὐκ] ἤσθιεν [3]). Καὶ λέγει αὐτῷ Ἡσαῦ· δός μοι τὸν φάκκον σὺν τῷ ἄρτῳ σου [4]). καὶ λέγει αὐτῷ Ἰακώβ· δός μοι τὰ πρωτοτόκιά σου καὶ λάβε τὸ ἄριστόν [5]) μου. καὶ ἀναστὰς ὁ (Ἡ)σαῦ ἀπὸ τῆς καθέδρας αὐτοῦ δέδωκε(ν) αὐτὴν τῷ Ἰακὼβ καὶ ἐκαθέσθη ἐν αὐτῇ Ἰακώβ. [ἔφαγε δὲ Ἡσαῦ τὸ ἄριστον Ἰακώβ,] Ἰακὼβ δὲ [6]) ἦν νηστεύων ἕως τῆς ἐπαύριον. καὶ ἀπώλεσεν Ἡσαῦ τὰ πρωτοτόκια διὰ τῆς γαστριμαργίας δοὺς αὐτὰ τῷ Ἰακώβ.

Περὶ τοῦ Ἰακώβ [7]). Ἦν δὲ Ἰακὼβ ἀνὴρ ἀγαθὸς ὃς καὶ ἠγαπᾶτο παρὰ τῆς μητρὸς καὶ παρὰ τοῦ πατρὸς [8]) [αὐτοῦ], διὸ καὶ εὐλογίαν αὐτῶν [9]) ἐκέρδησεν ὡς [10]) γράφει ἐν τῇ Γενέσει [11]) καὶ διὰ τοῦτο φθονούμενος ὑπὸ τοῦ ἀδελφοῦ αὐτοῦ ἐδιώκετο καὶ τῇ βουλῇ τῶν γονέων [αὐτοῦ] ἐπορεύθη εἰς γῆν [τῶν] Χαλδαίων φεύγων τὰς χεῖρας Ἡσαῦ τοῦ ἀδελφοῦ. διὸ καὶ ἐν τῷ ἐξελθεῖν αὐτὸν ἐκ προσώπου τῶν γονέων αὐτοῦ ἐν θλίψει πολλῇ [12]) ἦν δι' αὐτοῦ ἐνθυμούμενος, πῶς ἐχωρίσθη ἐξ αὐτῶν [13]). Καὶ ἐγένετο [ἐν τῷ] ὑπνῶσαι αὐτὸν εἶδεν κλίμακα ἐστηριγμένην ἀπὸ τῆς γῆς μέχρι τοῦ οὐρανοῦ [14]) καὶ οἱ ἄγγελοι τοῦ θεοῦ ἀνέβαινον καὶ κατέβαινον ἐπ' αὐτήν, ὁ δὲ Κύριος ἐπεστήρικτο ἐπ' αὐτὴν καὶ εἶπεν πρὸς αὐτόν [15])· ἐγὼ ὁ θεὸς Ἀβραὰμ καὶ ὁ θεὸς Ἰσαὰκ τοῦ πατρός σου [16]). μὴ φοβοῦ, ἡ γῆ ἐφ' ἧς σὺ καθεύδεις σοὶ δώσω αὐτὴν καὶ τῷ σπέρματί σου καὶ ἔσται τὸ σπέρμα σου ὡς ἡ ἄμμος τῆς γῆς καὶ πλατυνθήσεται ἐπὶ θάλασσαν καὶ λίβαν καὶ βοῤῥᾶν καὶ ἐπὶ ἀνατολῆς [17]) καὶ οὐ μή σε ἐγκαταλείπω, ἀλλὰ ἀποστρέψω σε εἰς τὴν γῆν ταύτην καὶ ποιήσω σοι πάντα ὅσα ἐλάλησά σοι [18]). Καὶ ἐξηγέρθην [Ἰακὼβ] ἀπὸ τοῦ ὕπνου αὐτοῦ καὶ εἶπεν· ὅτι ἔστιν Κύριος ἐν τῷ τόπῳ τούτῳ, ἐγὼ δὲ οὐκ ᾔδειν [19]). καὶ ἐφοβήθην καὶ εἶπεν· ὡς φοβερὸς ὁ τόπος οὗτος, οὐκ ἔστιν τοῦτο ἀλλ' ἢ οἶκος θεοῦ, καὶ αὕτη ἡ πύλη τοῦ οὐρανοῦ. Καὶ ἀναστὰς Ἰακὼβ ἀπῆλθεν εἰς [τὴν] χώ-

---

[1]) Uterque cod. αὐτῷ. [2]) φ. σκουτελίου. [3]) ἐφ. παρευθὺς τὸν ἄρτον σὺν τῷ φάκκῳ καὶ λέγει τῷ Ἰακώβ, ὁ δὲ Ἰακὼβ οὐκ ἤθελεν. [4]) τὸν ἄρτον σου σὺν τῷ φάκκῳ. [5]) τὸν ἄρτον. [6]) ὁ δὲ Ἰ. [7]) Titulus deest. [8]) τοῦ πατρὸς καὶ τῆς μητρός [9]) τὴν εὐλ. τοῦ πατρός. [10]) καθώς. [11]) γενεσία V. [12]) οὐ μικρᾷ. [13]) ἐκ τῶν γονέων. αὐτοῦ. [14]) ἕως τῶν οὐρανῶν. [15]) εἶπ. αὐτῷ. [16]) τ. π. σου post Ἀβραάμ V. [17]) ἀνατολάς. [18]) πάντα ἃ ἐλάλησά σοι ποιήσω. [19]) εἶδον V.

ραν Χαλδαίων καὶ ᾤκησεν μετὰ Λάβαν καὶ ἔλαβεν τὰς δύο θυγατέρας Λάβαν γυναῖκας. ἔλαβεν δὲ αὐτὰς οὕτως· ἠρετήσατο [δὲ] τὴν Ραχὴλ ὅτι ἦν ὡραία τῷ εἴδει, ὁ δὲ Λάβαν συνέθεντο [1]) δοῦναι αὐτῷ ταύτην [2]), διὰ δὲ τὸ εἶναι τὴν Λίαν [3]) πρώτην ἐπλάνησεν τὸν Ἰακὼβ ἐν τῷ θαλάμῳ αὐτῆς καὶ εἰσήνεγκεν αὐτῷ τὴν Λίαν. γνοὺς δὲ ὁ Ἰακὼβ τὸ δρᾶμα ἐλυπήθη [καὶ εἶπεν αὐτῷ· καὶ διὰ τί τοῦτο ἐποίησας]; καὶ εἶπεν αὐτῷ Λάβαν· δούλευσον καὶ εἰς αὐτὴν καὶ ἀναλάβῃς [4]) καὶ ταύτην. καὶ ἐδούλευσεν [αὐτῷ] χρόνους ἑπτά· τρεῖς [διὰ] τὴν Λίαν καὶ τέσσαρας [διὰ] τὴν Ραχήλ. Καὶ συνεφώνησεν Λάβαν μετὰ Ἰακώβ· ὅτι ὅσα γεννηθῶσι λευκὰ ἐν τοῖς βόοις οἷς ἔχω ἐν τῷ οἴκῳ μου [5]) ἔσται σοι μισθός. καὶ ἐγεννήθησαν [6]) πάντα λευκά. καὶ εἶπεν· ὅτι ὅσα γεννηθῶσι πηρά [7]). καὶ ἐγένοντο [8]) οὕτως. [καὶ εἶπεν πᾶσαν χρείαν καθ' ἕνα ἕκαστον χρόνον καὶ ὡς ἂν εἶπε οὕτως ἐγένοντο], καὶ ἐπληθύνθη Ἰακώβ, ὁ δὲ Λάβαν ἐταπεινώθην. Καὶ εἶπεν Κύριος πρὸς τὸν Ἰακώβ· ἀπόστρεψε εἰς τὴν γῆν γε(ν)νήσεώ(ς) σου καὶ ἔσομαι μετά σου. Καὶ ἀναλαβὼν [9]) Ἰακὼβ τὰς γυναῖκας αὐτοῦ καὶ πάντα ὅσα ἐκτήσατο ἐν τῇ οἰκίᾳ τοῦ Λάβαν ἦλθεν εἰς τὴν γῆν τῆς γε(ν)νήσεως αὐτοῦ. καὶ ἐγέννησεν Ἰακὼβ υἱοὺς δώδεκα· Ρουβίμ, Συμεών, Λευί, Ἰούδαν [10]), Ἰσ(σ)άχαρ, Ζαβουλών, Νεφθαλίμ, Δάν, Γάδ, Ἀσήρ, Ἰωσὴφ καὶ Βενιαμήν. (Ἰωσὴφ καὶ Βενιαμὴν) ἀπὸ τῆς Ραχήλ, οἱ δὲ λοιποὶ Ρουβίμ, Συμεών, Λευί, Ἰούδας καὶ ὁ Ἰσ(σ)άχαρ ὑπῆρχον τῆς Λίας. ὁ δὲ Ζαβουλὼν καὶ Νεφθαλίμ, Δὰν [ὑπῆρχον τῆς] Ζελφᾶς. Γὰδ [καὶ] Ἀσὴρ ὑπῆρχον τῆς Βάλας. καὶ [ἡ] μὲν Ζελφὰ [11]) ἦν θεράπαινα τῆς Λίας, ἡ δὲ Βάλα τῆς Ραχήλ. Ἐφθόνησαν δὲ οἱ δέκα ἀδελφοὶ τὸν Ἰωσὴφ [12]) καὶ ἐπώλησαν αὐτὸν τοῖς Ἰσμαηλίταις καὶ ἀπήγαγον αὐτὸν ἐν Αἰγύπτῳ. τὸ δὲ τίμημα ἦν χρυσίον ἔχοντα [13]) σταθμὸν πεντακισχίλια πεντακόσια δηνάρια. ἐφοβήθησαν δὲ ταῦτα ἀγαγεῖν [14]) οἴκαδε διὰ τὸν πατέρα αὐτῶν μή πως ἐγνωσθῶσιν παρὰ τοῦ πατρὸς αὐτῶν [15]). καὶ ἀπελθόντες ἔκρυψαν αὐτὰ εἰς τὸ τρίκορφον δένδρον ὑποκάτω [16]) ἐν τῇ ῥίζᾳ αὐτοῦ, χώσαντες [17]) δὲ

---

[1]) συνέθετο [2]) αὐτὸν αὐτήν. [3]) ἡλικίαν. [4]) δ. δι' αὐτὴν καὶ λάβε, V ἀναλαβοῦσα quod correxi. [5]) ζώοις οἷς ἔχων Λάβαν. [6]) ἐγέννησαν. [7]) Quaedam excidisse videntur. [8]) ἐγέννησαν. [9]) ἀνέλαβεν. [10]) Ἰούδας V. [11]) Ζελφάς V. [12]) τῷ Ἰωσήφ. [13]) τίμημα αὐτοῦ ἦν χρυσίου ἔχων. [14]) ἐπᾶραι [15]) μή πως γνῷ αὐτό. [16]) ὑποκάτου V. [17]) καὶ ἔχωσαν (αὐτά).

αὐτὰ μετὰ χώματος [ἀγαγόντες μὲ τὰς καμήλους, ὅτι οὐκ ἦν ἐν τῷ τόπῳ ἐκείνῳ χῶμα, ἀλλὰ πετρῶδες ὑπῆρχεν]. γενομένου δὲ τοῦ λιμοῦ ἀπῆλθαν [1]) ἐν Αἰγύπτῳ ἀγοράσαι σῖτον καὶ εὗρον [2]) τὸν Ἰωσὴφ βασιλεύοντα ἐν Αἰγύπτῳ.

Περὶ τῆς βασιλείας Ἰωσήφ [3]). Καὶ ἐλθόντες ἀνελάβοντο τὸν πατέρα αὐτῶν [4]) καὶ εἰσῆλθον εἰς Αἴγυπτον ψυχαὶς [5]) πέντε καὶ ἑβδομήκοντα, τὸ δὲ τίμημα αὐτοῦ [6]) κατελείφθη ὑπὸ [7]) τοῦ τρικόρφου δένδρου. Ἐβασίλευσεν δὲ Ἰωσὴφ ἐν Αἰγύπτῳ καὶ ἔλαβεν γυναῖκα τὴν Ἀσηνέθ, τὴν θυγατέραν Πεντεφρὶ τοῦ κυρίου αὐτοῦ, καὶ ἐγέννησεν ἐξ αὐτῆς δύο υἱούς, τὸν Ἐφραὶμ καὶ τὸν Μανασσῆ. Γηράσαντος δὲ τοῦ Ἰακὼβ ἀπέλιπε τὸ [8]) ὁρᾶν καὶ ὡς ἤγγισεν τῷ θανάτῳ λέγει Ἰωσὴφ τῷ υἱῷ αὐτοῦ· ἀνάγαγέ [9]) μοι τοὺς υἱούς σου ἵνα εὐλογήσω αὐτούς. καὶ ἔστησεν Ἰωσὴφ τοὺς υἱοὺς αὐτοῦ ἔμπροσθεν τοῦ πατρὸς αὐτοῦ καὶ τὸν μὲν πρῶτον ἔστησεν ἐκ δεξιῶν, τὸν δὲ μικρότερον [10]) ἐξ εὐωνύμων. ἐναλ(λ)άξας [11]) δὲ ὁ Ἰακὼβ τὰς χεῖρας σταυροειδῶς ἁπλώσας ἔθηκεν τὴν δεξιὰν ἐπὶ τὸν μικρότερον [12]) καὶ τὴν ἀριστερὰν εἰς τὸν πρῶτον. Λέγει αὐτῷ Ἰωσήφ· πάτερ, ἔνθεν [13]) ἵσταται [14]) ὁ πρῶτος θές. ἀπεκρίθη Ἰακώβ [15])· οἶδα κἀγώ, ἀλλὰ τὴν εὐλογίαν ὁ μικρότερος δέχεται. καὶ οὐκ ἤ(λ)λαξεν Ἰακὼβ τὰς χεῖρας οὐδὲ ἔλυσε τὸ σταυρικὸν σημεῖον. Καὶ περὶ τοῦτο [16]) ὁ ὑμνογράφος γράφει οὕτως· ὁ γήρᾳ κα(μ)φθεὶς καὶ νόσῳ τρυχωθεὶς ἀνορθοῦτο Ἰακὼβ χεῖρας ἀμείψας τὴν ἐνέργειαν φέρων τοῦ ζωοδότου σταυροῦ. [Καὶ ἄλλως·] νεαζούσαις θεὶς [17]) παλάμαις [18]) ὁ θεῖος Ἰσραὴλ σταυροειδῶς χάρες ἐδήλου ὡς πρεσβύτερον κλέος ὁ νομολάτρης λαὸς ὑποπτευθεὶς ὅθεν οὕτως ἐξηπάτησθαι οὐκ ἠλ(λ)οίωσαν τὸ(ν) ζωηφόρον τύπον. καὶ ταῦτα μὲν περὶ τούτου [19]).

Περὶ τῆς τελευτῆς Ἰωσήφ [20]). Τελευτήσαντος δὲ [τοῦ] Ἰωσὴφ ἀνέστη βασιλεὺς ἕτερος ἐπ' Αἴγυπτον ὃς οὐκ εἶδε τὸν Ἰω-

[1]) ἀπῆλθον. [2]) εὑρόντες. [3]) Titul. deest. [4]) αὐτοῦ V. [5]) ἐν Αἰγύπτῳ ψυχαί. [6]) τοῦ Ἰωσήφ. [7]) ὑποκάτω. [8]) τοῦ. [9]) ἄγαγε. [10]) καὶ τὸν δεύτερσν. [11]) ἐναλλάξ. [12]) δεξιὰν αὐτοῦ χεῖρα ἐπὶ τὸν δεύτερον. [13]) ἔνθα. [14]) ἵστατο V. [15]) (πρῶτος.) καὶ λέγει αὐτῷ. [16]) διὰ τοῦτο. [17]) θείαις V. [18]) παλάμας. [19]) καὶ τ... τούτου in V sequuntur post inscriptionem περὶ τῆς τ. Ἰωσήφ. [20]) Titulus deest.

σήφ καὶ ἤρξαντο κακοποιεῖν [1]) τὸ γένος τῶν ἑβραίων. ἐπῆλθεν δὲ στενοχωρία ὑπ' αὐτῶν διότι ἐπληθύνθησαν σφόδρα. Καὶ εἶπεν φαραὼ τοῖς παισὶν αὐτοῦ· δεῦτε καὶ κατασοφισώμεθα τὸ γένος τῶν ἑβραίων καὶ κατασφάττεσθαι [2]). Ἀκούσασα δὲ ἡ μήτηρ τοῦ Μωϋσῆ ἄρτι νήπιον ὄντα φοβηθεῖσα μή πως ἀναλωθῇ ὑπὸ τῶν ὑπηρετῶν τοῦ φαραὼ σκευάσασα θίβιν καὶ ἀσφαλτώσασα αὐτὴν ἔσωθεν καὶ ἔξωθεν παρατηρήσασα καιρὸν εὔθετον ὅταν ἔμελ(λ)εν τοῦ φαραὼ ἡ θυγάτηρ λούσασθαι ἐν καιρῷ τοῦ καύματος εἰς τὸν ποταμὸν [3]) ἔρριψεν τὴν θίβιν εἰς τὸν ποταμὸν ἔχουσαν ἔνδοθεν τὸ βρέφος. Ἰδοῦσα δὲ ἡ θυγάτηρ τοῦ φαραὼ τὴν θίβιν ἐν τῇ ἕλ(λ)ῃ ἀποστείλασα τὴν Αὔραν ἀνείλετο [4]) αὐτήν. ἀνοίξασα δὲ [αὐτὴν] ὁρᾷ παιδίον κλαῖον ἐν τῇ θίβει καὶ ἐμφύσατο αὐτὸ ἡ θυγάτηρ φαραὼ καὶ εἶπεν· ἀπὸ τῶν ἑβραίων τὸ παιδίον τοῦτο [5]). Καὶ εἶπεν ἡ ἀδελφὴ αὐτοῦ τῇ θυγατρὶ φαραώ· θέλεις καλέσω σοι γυναῖκα τροφεύουσαν ἐκ τῶν ἑβραίων καὶ θηλάσει σοι τὸ παιδίον; καὶ εἶπεν αὐτῇ ἡ θυγάτηρ φαραώ· πορεύου. ἐλθοῦσα δὲ ἡ νεᾶνις ἐκάλεσεν τὴν μητέρα τοῦ παιδίου καὶ εἶπεν αὐτῇ ἡ θυγάτηρ φαραώ· διατήρησόν μοι τὸ παιδίον τοῦτο [καὶ θήλασόν μοι αὐτό], ἐγὼ δὲ [6]) δώσω σοι τὸν μισθόν. ἔλαβεν δὲ ἡ γυνὴ τὸ παιδίον καὶ ἐθήλαζεν αὐτό. Ἀνδριθέντος δὲ τοῦ παιδίου εἰςήγαγεν αὐτὸ πρὸς τὴν θυγατέραν φαραὼ καὶ ἐγενήθη αὐτῇ εἰς υἱὸν καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Μωσῆ(ν) λέγουσα [7])· ἐκ τοῦ ὕδατος αὐτὸν ἀνειλόμην. καὶ ἦν ἐν τῷ [8]) φαραὼ ἀγαπώμενος. Μιᾷ δὲ τῶν ἡμερῶν εἰσαχθέντος [9]) τοῦ Μωϋσῆ ἐνώπιον φαραὼ συνόντων αὐτῷ [10]) καὶ τῶν μεγιστάνων αὐτοῦ ἄρας φαραὼ τὸ διάδημα ἀπὸ τῆς κεφαλῆς αὐτοῦ ἐπέθηκεν τὴν κεφαλή(ν) τῷ Μωϋσῇ [11]), ὁ δὲ Μωσῆς ἄρας αὐτὸ κατεπάτησεν αὐτό. καὶ ὠργίσθησαν οἱ μεγιστᾶνες [τοῦ] φαραὼ ἐπὶ τοῦτο καὶ προσέταξε φαραὼ (ἀ)κοντίσαι τὸν Μωσῆν ἐπὶ τὸν ποταμόν. σοφὸς δέ τις εἶπεν τῷ φαραώ· ἀδίκως θανατοῦται [12]) τὸ βρέφος, καὶ εἶπεν· ἄγαγέ [μοι] χρυσὸν καὶ κέρον [13]) ἅπτοντα, καὶ εἰ μὲν ἁπλώσει Μωσῆς ἐπὶ τὸ χρυσίον [14]), οἶδεν τί ἐποίησεν, εἰ δὲ δράξει τοῦ φωτός,

---

1) ἤρξατο κακὰ ποιεῖν. 2) Ante et post καὶ κατασφάττεσθαι non pauca videntur excidisse. 3) ἐν ποταμῷ. 4) ἀνείλατο. 5) λέγουσα ἀπὸ τῶν παιδίων τῶν ἑβραίων ἦν τοῦτο. 6) καὶ ἐγώ. 7) Μωσῆν λέγων. 8) ἐκ τοῦ. 9) ἐλθόντος. 10) αὐτόν V. 11) ἐπέθηκεν αὐτῷ. 12) θανατοῦσαι V. 13) κηρόν. 14) ἐν τῷ χρυσῷ.

ἄκακος [1]) πέπραχεν τοῦτο. Καὶ τοῦτο ποιήσαντος ἐδράξατο Μωσῆς τῆς λαμπάδος καὶ ἐμβαλὼν εἰς τὸ στόμα αὐτοῦ ἔφλεξεν τὴν γλῶσσαν αὐτοῦ, καὶ οὕτως ἐρ(ρ)ύσθη τοῦ θανάτου. Καὶ πάλιν βαστάζων αὐτὸν ὁ φαραὼς ἐδράξατο (Μωϋσῆς) τῆς γενειάδος αὐτοῦ, καὶ πάλιν φαραὼ ὠργίσθη κατ' αὐτοῦ [2]). καὶ πάλιν εἶπεν ὁ σοφὸς ἀνήρ· μὴ μάτην ὀργίζου, κύριε βασιλεῦ, οὐ [3]) γὰρ οἶδεν τί ἐποίησεν [ὁ] Μωσῆς. Καὶ λέγει πρὸς αὐτὸν [ὁ] φαραώ· πόθεν ἡμῖν καὶ τοῦτο φανεροῖς; ὁ δέ φησιν· ἄγαγέ μοι, βασιλεῦ, στέφανον χρυσοῦν καὶ μάχαιραν γυμνήν. καὶ ἐὰν ἁρπάσῃ τὸν στέφανον, θανατωθήτω, εἰ δὲ τὴν μάχαιραν [γυμνὴν] ἁρπάσῃ, οὐδὲν ἐνδέχεται. καὶ τοῦτο ποιήσαντες [4]) ἥρπασε [5]) τὴν μάχαιραν, καὶ [πάλιν] ἐρ(ρ)ύσθη τοῦ θανάτου ἄρτι δευτέραν [6]). Ἀνδριθέντος δὲ αὐτοῦ πολλὰς ἀριστείας [7]) κατώρθωσε τῷ φαραῷ. ὑπῆρχεν δὲ τὸ Ἰνδικὸν πέλαγος [8]) διαχωρίζων τὴν Αἴγυπτον καὶ πολλοὺς κινδύνους ὑπέμειναν [9]) οἱ Αἰγύπτιοι διὰ θαλάσσης ὑπὸ τῶν Ἰνδῶν. Προσέταξε δὲ φαραὼ τὸν Μωϋσῆν πολεμῆσαι [10]) τοὺς Ἰνδοὺς καὶ σοφισάμενος Μωϋσῆς ἠβουλήθη πολεμῆσαι αὐτοὺς διὰ ξηρᾶς, πλῆθος γὰρ ἦν διὰ ξηρᾶς ὄφεων πάνπολυ [11]) καὶ οὐκ ἴσχυον διελθεῖν διὰ ξηρᾶς πρὸς τὴν Ἰνδίαν οὐδαμῶς. προσέταξε δὲ Μωσῆς καὶ ἤγαγον αὐτῷ πλῆθος πελαργῶν [πολὺ] ὡσεὶ τρισχιλίους καὶ ἐπιστήσας [ἀνθρώπους] ἐδίδαξεν αὐτοὺς [12]) ὁδεύειν ἐν τῷ ἅμα. καὶ περιεπατοῦσαν οἱ πελαργοὶ ἔ(μ)προσθεν τῆς παρεμβολῆς ἡμέρας [ἔχων] ὁδὸν καὶ κατήσθιον [13]) τοὺς ὄφεις καὶ οὕτως διέρχων τὸ φο(σ)σάτον [14]) τοῦ Μωϋσῆ. οἱ δὲ Ἴνδιοι διὰ θαλάσσης ἐφοβοῦντο [15]) τοὺς Αἰγυπτίους, διὰ ξηρᾶς δὲ ἔχων τοὺς ὄφεις [16]) διαχωρισμὸν καὶ οὐκ ἐφοβοῦντο. ἐπιπεσὼν δὲ Μωϋσῆς αὐτοὺς ἀσκόπους [17]) καὶ διὰ τοῦ ὄρους ἐπιβὰς τοῖς πόλεσιν [18]) αὐτῶν πάσας ἐπόρθησεν. καὶ αἰχμαλωτεύσας πᾶσαν τὴν τῶν Ἰνδῶν χώραν [19]) καὶ σκυλεύσας τὰς πόλεις αὐτῶν ἐποίησεν νίκος τοῖς Αἰγυπτίοις [20]) οἷον οὐδέποτε ἐποίησεν [21]) βασιλεὺς Αἰγύπτου.

---

[1]) ἀκάκως. [2]) βαστάζων αὐτὸ ἁπλώσας Μωϋσῆς ἐν τῷ πωγῶνι φαραώ, ὠργίσθη πάλιν φαραὼ τῷ Μωϋσῇ. [3]) οὐδέ. [4]) ποιήσαντος. [5]) ἤγαγον V. [6]) τοῦ θαν. δεύτερον. [7]) πολλὰ ἀριστήσας. [8]) ὑπῆρχον δὲ τοῦ Ἰνδικοῦ πελάγου. [9]) ὑπομένων V. [10]) πολ. ὁ Μωϋσῆς V. [11]) πάνπολλα V. [12]) αὐτοὺς ἐδίδ. V. [13]) κατέσθιον. [14]) ἤρχετο τὸ φουσάτον. [15]) οὐκ ἐφ. V. [16]) τοὺς ὄφ. ἔχοντες. [17]) αὐτοῖς ἀσκόπως. [18]) τὰς πόλεις. [19]) πάσας τὰς τ. Ἰ. χώρας [20]) τῆς Αἰγύπτου V. [21]) πεποίηκεν.

ἀλλ' οὔτε Ἰνδία ὑπέμεινεν [1]) τοιοῦτον σκυλευσμόν [2]). καὶ ὑπέστρεψεν Μωσῆς μετὰ νίκης μεγάλης [3]) πλεῖστα λάφυρα φέρων τῷ βασιλεῖ τῶν Αἰγυπτίων. καὶ [ἦν] Μωσῆς ἀγαπώμενος παρὰ [4]) τοῦ φαραὼ καὶ τῶν μεγιστάνων αὐτοῦ. Μιᾷ δὲ τῶν ἡμερῶν ἐξελθὼν Μωσῆς εὗρεν [5]) Αἰγύπτιον [τύπτοντά τινα ἑβραῖον] καὶ ἐπάταξεν αὐτὸν καὶ [6]) ἔκρυψεν αὐτὸν ἐν τῇ ἄμμῳ. πάλιν μεθ' ἡμέρας [τινὰς] ἐξελθὼν εὗρεν ἑβραίους δύο διαπλεκτιζομένους καὶ λέγει τῷ ἀδικοῦντι· διὰ τί σὺ τύπτεις τὸν πλησίον σου; καὶ λέγει αὐτῷ· τί(ς) σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ' ἡμᾶς; μὴ ἀνελεῖν με θέλεις ὃν τρόπον [7]) ἀνεῖλες χθὲς τὸν Αἰγύπτιον; Ἤκουσεν δὲ ὁ βασιλεὺς τὸ ῥῆμα τοῦτο καὶ ἐζήτει ἀνελεῖν τὸν Μωϋσῆν. φοβηθεὶς δὲ Μωϋσῆς ἔφυγεν ἀπὸ προσώπου φαραὼ καὶ ἦλθεν εἰς γῆν Μαδιὰμ καὶ ἐλθὼν πρὸς Ραγουὴλ τῷ ἱερεῖ Μαδιὰμ κατῴκησεν μετ' αὐτοῦ. καὶ ἐξέδοτο [8]) Ραγουὴλ Σε(μ)πφόραν τὴν θυγατέραν αὐτοῦ Μωϋσῇ [εἰς] γυναῖκαν. Καὶ ἐγέννησεν Μωϋσῆς υἱὸν καὶ ἐπωνόμασεν τὸ ὄνομα αὐτοῦ Γερσὰμ [9]) καὶ τὸ ὄνομα τοῦ δευτέρου Ἐλιέζερ. ἔλεγε δὲ Μωϋσῆς ὅτι ὁ θεὸς τοῦ πατρός μου βοηθός μου καὶ ἐῤ(ῥ)ύσατό με ἐκ χειρὸς φαραώ. Καὶ ἦν Μωϋσῆς ἐν γῇ [10]) Μαδιὰμ μετὰ Ραγουήλ.

Περὶ τῆς βάτου ἣν εἶδεν Μωσῆς [11]). Ἐξῆλθε [δὲ] Μωϋσῆς ἐν τῷ ὄρει Χωρὴβ ἔνθα [12]) ἦν ποιμαίνων τὰ πρόβατα καὶ ὁρᾷ ὅτι κατεκαίετο ἡ βάτος καὶ οὐ κατεφλέγετο. καὶ λέγει Μωϋσῆς· παρελθὼν ἔψομαι τὸ ὅραμα τὸ μέγα, ὅτι καίεται ἡ βάτος καὶ οὐ κατεφλέγεται. ὡς [δὲ] εἶδεν Κύριος ὅτι προάγει ἰδεῖν ἐκάλεσεν αὐτὸν Κύριος ἐκ τῆς βάτου λέγων· Μωσῆ, Μωσῆ, μὴ ἐγγίσῃς ὧδε. λύσαι τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου, ὁ γὰρ τόπος ἐν ᾧ σὺ ἕστηκας ἅγιός ἐστιν. Ὁ δὲ Μωσῆς εὐλαβεῖτο καταβλέψαι [13]) ἐνώπιον Κυρίου. εἶπε δὲ [Κύριος] πρὸς Μωσῆν· ἐγώ εἰμι ὁ θεὸς τῶν πατέρων σου, ὁ θεὸς Ἀβραὰμ καὶ ὁ θεὸς Ἰσαὰκ καὶ ὁ θεὸς Ἰακὼβ [μὴ φοβοῦ]. καὶ ἀπεκρίθη Μωϋσῆς καὶ εἶπεν αὐτῷ· καὶ διὰ τί κάθη ἐν τῇ βάτῳ ταύτῃ καὶ ὁ [14]) λαός [σοῦ] ἐστιν δοῦλος εἰς Αἴγυπτον [15]); Καὶ εἶπε Κύριος· [ἰδὼν] εἶδον τὴν

---

[1]) οἱ Ἴνδιοι ὑπέμεινον. [2]) σκυλεῦον V. [3]) πολλῆς. [4]) ὑπό. [5]) ἐξῆλθε Μ. ἐν Αἰγύπτῳ καὶ ἀναβλέψας ὁρᾷ. [6]) καὶ πατάξας τὸν Αἰγύπτιον. [7]) καθώς. [8]) ἐξεδότο V. [9]) καὶ ἐπωνόμασεν αὐτὸν Γηρσάμ. [10]) τῇ V. [11]) Titul. deest. [12]) καί. [13]) καταβέβληκεν V. [14]) ὁ δέ. [15]) ἐν Αἰγύπτῳ.

κάκωσιν τοῦ λαοῦ μου τοῦ ἐν Αἰγύπτῳ καὶ τῆς φωνῆς αὐτοῦ ἀκήκοα ἀπὸ τῶν ἔργων διοκτῶν [1]) καὶ κατέβην τοῦ ἐξελέσθαι αὐτοὺς [καὶ] νῦν βούλομαί σε ἀπελθεῖν [2]) ἐν Αἰγύπτῳ [3]) καὶ ἐξάξαι τὸν λαόν μου ἐξ Αἰγύπτου [4]). ἀπεκρίθη [δὲ] Μωσῆς [πρὸς Κύριον] καὶ εἶπεν αὐτῷ· οὐ δύναμαι ἀπελθεῖν [5]) ἐν Αἰγύπτῳ, ὅτι ἀσθενής εἰμι. λέγει αὐτῷ Κύριος· ῥῖψον τὴν ῥάβδον σου ἐπὶ τὴν γῆν, καὶ [ῥίψας] ἐγένετο ὄφις. καὶ ἰδὼν Μωϋσῆς ἐφοβήθη καὶ λέγει αὐτῷ Κύριος· μὴ φοβοῦ, ἀνάστα [6]) [καὶ] ἐπιλαβοῦ τῆς κέρκου [7]). καὶ λαβὼν αὐτὴν ἐγένετο πάλιν ῥάβδος. καὶ λέγει αὐτῷ· μετὰ τῆς ῥάβδου ταύτης ἐξάξῃς τὸν λαόν μου ἐν Αἰγύπτῳ [8]). Καὶ λέγει Μωϋσῆς· οὐ δύναμαι ὅτι βραδύγλω(σ)σός εἰμι. καὶ λέγει πρὸς αὐτὸν ὁ Κύριος· ἔχεις Ἀαρὼν τὸν ἀδελφόν σου καὶ Ὦρ, αὐτοὶ ἀκούοντέ(ς) σου τοὺς λόγους εἰσελεύσονται καὶ ἀναγγελοῦσι τῷ φαραώ. καὶ λέγει Μωσῆς· [καὶ] ἐὰν εἴπωσίν μοι· τί ἐστι τὸ ὄνομα αὐτοῦ, τί ἀναγγελῶ [9]); καὶ εἶπεν αὐτῷ [10])· ἐγώ εἰμι ὁ ὤν. Καὶ ἐὰν εἴπῃ μοι ὁ λαός· τίς ἀπέστειλέν σοι [11]) ἐνταῦθα, τί ἀποκριθήσομαι; καὶ εἶπεν αὐτῷ Κύριος· εἰπὲ αὐτοῖς ὅτι ὁ θεὸς τῶν πατέρων ἡμῶν ἀπέστειλέν με, καὶ ποιήσῃς σημεῖα διὰ τῆς ῥάβδου καὶ πιστεύσωσιν ὅτι ἐγώ σε [12]) ἀπέστειλα. Καὶ λέγει αὐτῷ Κύριος· θὲς [13]) τὴν χεῖράν σου ἐπὶ τοῦ κόλπου [14]) σου. καὶ ἔβαλεν αὐτήν. [καὶ λέγει αὐτῷ· ἐξάγαγε αὐτήν]. καὶ ἐξαγαγὼν ταύτην [15]) ἦν λευκαμένη [16]). καὶ εἶπεν αὐτῷ Κύριος· θὲς [17]) ταύτην εἰς τὸν κόλπον σου πάλιν. καὶ βαλὼν ταύτην [18]) εἰς τὸν κόλπον αὐτοῦ ἐξήγαγεν, καὶ ἦν εἰς τὸ κατὰ φύσιν. Καὶ λέγει αὐτῷ Κύριος· ἄπελθε, πλήρωσον τὴν βουλὴν ἥν σοι παραγγελῶ [19]). καὶ ἀπελθὼν Μωϋσῆς λέγει τῷ πενθερῷ αὐτοῦ· πάτερ, εὗρον [20]) τὸν θεὸν τῶν πατέρων μου καὶ λέγει μοι ἀπελθεῖν [21]) ἐν Αἰγύπτῳ. καὶ λέγει αὐτῷ Ραγουήλ· ὅσα σοι εἴρηκεν ὁ θεὸς τῶν πατέρων σου ποίησον. Καὶ ἀναστὰς Μωϋσῆς ἐπέσαξεν τὴν ὄνον αὐτοῦ καὶ παραλαβὼν τὴν γυναῖκα αὐτοῦ καὶ τοὺς δύο αὐτοῦ παῖδας ἐπορεύθη ἐν Αἰγύπτῳ [22]). καὶ ἦλ-

---

[1]) ἀπὸ τ. ἐργοδιωκτῶν. [2]) σοὶ ἐξελθεῖν σε. [3]) ἀπεκρίθη· δὲ Μωσῆς καὶ εἶπεν πρὸς Κύριον· οὐ δύναμαι ἀπελθεῖν ἐν Αἰγύπτῳ add. O. [4]) ἐξ. τὸν Ἰσραὴλ δουλείας Αἰγύπτου. [5]) ἐλθεῖν. [6]) ἀνάστηθι. [7]) τὴν κέρκον. [8]) λαόν μου Ἰσραήλ. [9]) ἀπαγγελῶ [10]) εἶπε δέ. [11]) ἀπέσταλκέ σε. [12]) σοί. [13]) βάλε. [14]) εἰς τὸν κόλπον. [15]) αὐτήν. [16]) λευκωμένη. [17]) βάλε. [18]) αὐτήν. [19]) παρήγγειλα. [20]) εὗρον πάτερ. [21]) ἄπελθε. [22]) ἐπορεύθη ἐν Αἰ. μετὰ τῆς γυναικὸς αὐτοῦ καὶ τῶν δύο τέκνων αὐτοῦ.

θεν εἰς [1]) τοὺς ἀδελφοὺς αὐτοῦ τοὺς Ἰσραὴλ καὶ λέγει αὐτοῖς· εὗρον τὸν θεὸν [τῶν] πατέρων ἡμῶν ἐν τῷ ὄρει Χωρὴβ καὶ ὤφθη μοι ἐν τῇ βάτῳ. καὶ συναχθέντων πάντων ἐποίησε τὰ σημεῖα τῆς χειρὸς αὐτοῦ καὶ τῆς ῥάβδου. Καὶ ἰδόντες [οἱ] υἱοὶ Ἰσραὴλ τὰ θαυμάσια τοῦ θεοῦ προσεκύνησαν [2]) τῷ Κυρίῳ· καὶ μετὰ τοῦτο ἦλθεν πρὸς τὸν φαραὼ καὶ ἀκουστὸν ἐγένετο ὅτι ἦλθεν Μωϋσῆς [3]). Καὶ λέγει τῷ φαραώ· ἀπόλυσον τὸν λαὸν Κυρίου ὡς ἂν προσυμνήσωσιν [4]) τὸν θεὸν αὐτῶν ἐν τῷ [ὄρει] Χωρήβ. καὶ εἶπεν φαραώ· [καὶ] τίς ἐστιν ὁ θεὸς τοῦ λαοῦ; εἶπεν Μωϋσῆς· θεός ἐστιν ὑψηλός, θεὸς φοβερός, θεὸς προαιώνιος. καὶ ἀπεκρίθη φαραὼ καὶ εἶπεν· πόθεν γνώσομεν ὅτι ἀληθῶς λέγεις [5]); καὶ ῥίψας τὴν ῥάβδον ἐγένετο ὄφις. καὶ ἰδὼν φαραὼ ἐφοβήθην [6]) καὶ εἶπεν πρὸς Μωϋσῆν· ἀναπαύθητι ἕως οὗ σκέψομαι. καὶ ἀπῆλθεν Μωϋσῆς πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ τοὺς υἱοὺς Ἰσραὴλ καὶ ἀπήγγειλε πάντα(ς) τοὺς λόγους φαραώ. ὁ δὲ φαραὼ ἀκούσας ταῦτα συνῆξε τοὺς ἄρχοντας [7]) αὐτοῦ καὶ ἀπήγγειλεν αὐτῶν [8]) τοὺς λόγους [τοῦ] Μωσῆ καὶ τὸ θαῦμα [9]) τῆς ῥάβδου. ἀποκριθέντες δὲ Ἰα(ν)νεὶς καὶ Ἰαμβρεὶς εἶπον πρὸς τὸν φαραώ· καὶ ποῖός ἐστιν θεὸς δυνατώτερος [παρὰ] θεοῖς Αἰγύπτου; ἐὰν ἴδωμεν τὸν Μωϋσῆν ἀναγγελεῖ ἡμῖν καὶ ἡμεῖς δείξομεν αὐτὸν δύναμιν [10]) θεῶν Αἰγύπτου [11]). Ἐλθόντος οὖν [12]) τοῦ Μωϋσῆ πρὸς τὸν φαραὼ ἦλθον [καὶ] οἱ θεράποντες αὐτοῦ Ἰα(ν)νεὶς καὶ Ἰαμβρεὶς οἵτινες [καὶ] συνέβαλον λόγους καὶ μετὰ Μωσῆ. καὶ ἐκτείνας Μωσῆς τὴν χεῖρα [αὐτοῦ] ἔρ(ρ)ιψεν τὴν ῥάβδον αὐτοῦ καὶ γέγονεν [13]) ὄφις. Καὶ ἰδόντες Ἰα(ν)νεὶς καὶ Ἰαμβρεὶς κρατοῦντες καὶ αὐτοὶ ῥάβδους ἐξέτειναν καὶ αὐτοὶ καὶ ἐγένοντο ὄφεις [14]), στραφεῖσα δὲ τοῦ Μωϋσῆ ἡ ῥάβδος ἐγένετο [15]) δράκων καὶ ἀπέπνιξε [16]) τῶν μάγων τὰς ῥάβδας. ἐμβαλὼν [17]) δὲ Μωσῆς τὴν χεῖρα αὐτοῦ εἰς τὸν κόλπον αὐτοῦ γέγονεν ὡσεὶ χίων [18]) καὶ τοῦτο ἰδόντες οἱ μάγοι ἀπόρησαν [19]). Καὶ εἶπεν Μωσῆς τῷ φαραώ· ἀπόστειλον τὸν λαὸν Κυρίου ἵνα προσκυνήσωσιν τὸν θεὸν αὐτῶν

---

[1]) ἀπῆλθεν πρός. [2]) τὰ θαύματα προσεκ. [3]) In margine: ἔλευσις τοῦ Μωϋσῆ ἐν Αἰγύπτῳ. [4]) προσκυνήσωσι. [5]) νοήσομεν ὅτι ἀληθής ἐστιν ὁ λόγος σου. [6]) ἐφοβήθη. [7]) ὁ δὲ φαραὼ κράξας τοὺς ἀρχ. [8]) αὐτοῖς. [9]) τὸ σημεῖον, V θαύματι. [10]) αὐτῷ δυνάμεις. [11]) Αἰγυπτίων. [12]) δέ. [13]) ἐγένετο. [14]) αὐτοὶ τὴν ῥόβδον αὐτῶν καὶ ἐγένετο ὄφις. [15]) γέγονε. [16]) κατέπνιξε. [17]) εἰσάξας. [18]) χιών. [19]) ἠπόρησαν.

ἐν [τῷ] ὄρει Χωρὴβ ἤγουν Σινᾶ. [1]) καὶ ὁ μὲν φαραὼ ἐβούλετο τοῦτο ποιῆσαι, οἱ δὲ θεράποντες αὐτοῦ Ἰα(ν)νεὶς καὶ Ἰαμβρεὶς οἱ ἀρχιμάγοι οὐκ ἔασαν [2]) αὐτόν. Καὶ ἐκτείνας Μωσῆς τὴν χεῖραν αὐτοῦ εἶπεν· [Περὶ τῆς δεκάπληγος. α′] γενηθήτω τὸ σκότος ψηλάφητον [3]) ἐπὶ πᾶσαν τὴν Αἴγυπτον. καὶ γέγονεν [4]) [οὕτως] καὶ οὐκ ἦν φῶς τοῖς Αἰγυπτίοις, τοῖς δὲ Ἑβραίοις ἔνθα ἂν ὑπῆρχον [ἦν] σὺν αὐτοῖς φῶς. καὶ εἶπεν φαραὼ τοῖς παισὶν αὐτοῦ· εἴπατε τῷ Μωϋσεῖ ποιῆσαι φῶς ἐπ' Αἰγύπτου [5]) καὶ ἀποστελῶ τὸν λαόν. καὶ εἰπόντος τοῦ Μωϋσῆ ἐγένετο φῶς. καὶ πάλιν οἱ θεράποντες τοῦ φαραὼ ἐκώλυσαν τοῦ μὴ ἀποστεῖλαι τὸν λαὸν Κυρίου. Καὶ εἶπεν [6]) Μωσῆς· [β′] γενέσθω [7]) τὰ ὕδατα Αἰγύπτου εἰς αἷμα. καὶ γέγονεν οὕτως, καὶ οὐκ ἦν ὕδωρ πόσιμον. καὶ εἶπεν φαραὼ τῷ Μωϋσεῖ· ποίησον τὰ ὕδατα εἰς τὸ κατὰ φύσιν [καὶ ἀποστελῶ τὸν λαόν. καὶ ἐγένετο διὰ χειρὸς Μωσῆ τὰ ὕδατα κατὰ φύσιν]. Καὶ εἶπον οἱ παῖδες φαραώ· ἀπόστειλον [8]) τοὺς ἄνδρας, τὰς δὲ [9]) γυναῖκας σὺν [τοῖς] τέκνοις αὐτῶν καὶ προσηλύτων καὶ τοῖς βόοις [10]) αὐτῶν καταλείψωσιν ἐνταῦθα. καὶ εἶπεν Μωϋσῆς· καταλείψω ἐνταῦθα οὔτε γέροντα οὔτε νήπιον, ἀλλ' οὔτε ἄῤῥωστον [ἢ] λελωβημένον ἢ ἀδυνατοῦντα ὅτι προστάξει θεοῦ μοῦ ἐστιν. καὶ οὐκ ἤκουσαν αὐτόν. Καὶ εἶπεν Μωϋσῆς· [γ′] ἐξάξῃ βατράχους ἡ γῆ αὐτῶν [11]) καὶ καταφαγέτω τοὺς Αἰγυπτίους [12]). καὶ ἐγένετο οὕτως. καὶ ἐσκληρύνθησαν οἱ παῖδες φαραὼ καὶ οὐκ ἤφινον [τὸν φαραὸν] ἐξαποστεῖλαι [13]) τὸν λαόν. Καὶ εἶπεν Μωϋσῆς· [δ′] ἐλθέτω κυνόμυια καὶ καταφαγέτωσαν [14]) τοὺς Αἰγυπτίους. καὶ γέγονεν [15]) οὕτως [καὶ ἐσκληρύνθησαν οἱ παῖδες φαραὼ] καὶ οὐδὲ οὕτως κατεκάμφθησαν ἀπολύσαι τὸν λαὸν Κυρίου. Καὶ ἐλυπήθη Μωϋσῆς διὰ τὴν σκληροκαρδίαν αὐτῶν [16]) καὶ ἐκτείνας τὴν χεῖρα εἶπεν· [ε′] ἐλθέτωσαν σκνίπαις εἰς κατάπτωσιν τῶν Αἰγυπτίων. καὶ γέγονεν οὕτως. καὶ οὐδὲ οὕτως ἠγαθύνθη ἡ καρδία φαραὼ ἀποστεῖλαι τὸν λαόν. Καὶ ὠργίσθη Μωσῆς καὶ ἐλυπήθη καὶ εἶπεν· [ς′] ἐλθέτω χάλαζα καὶ καύσῃ [17]) τὰς [18]) ἀμπέλους αὐτῶν καὶ τὰ ξύλα [19]) αὐτῶν. καὶ γέγονεν οὕτως. Καὶ εἶπεν φαραὼ τοῖς παισίν αὐτοῦ· ἀπολύσωμεν τὸν

---

[1]) ὄρει Σινᾶ (om. Χωρ. ἤγ.). [2]) εἴασαν. [3]) ψηλάφησον (omisso ἐπί). [4]) ἐγένετο [5]) ἐν ἡμῖν. [6]) λέγει. [7]) γενέσθαι V. [8]) ἀπόλυσον. [9]) καὶ τὰς γ. [10]) τῶν ζώων. [11]) ἐξ. ἡ γῆ βατράχους. [12]) αὐτούς. [13]) ἀπολύσαι. [14]) καταφαγέτω. [15]) ἐγένετο. [16]) σκλ. φαραώ. [17]) καὶ κατακαύσῃ. [18]) τούς V. [19]) δένδρα.

λαὸν ὅτι μαστίζεται ἡ Αἴγυπτος δι᾿ αὐτοῦ [1]. καὶ ἀποκριθέντες οἱ παῖδες φαραὼ εἶπον πρὸς αὐτόν· ὅτι οἱ θεοὶ τῶν Αἰγυπτίων ἀντέχωσι [2]) τῷ Μωϋσεῖ καὶ ἐπάγουσι τοὺς καιροὺς αἰτίους [3]). καὶ ἐποίησαν [4]) τὸν φαραὼ τοῦ μὴ ἐξαποστεῖλαι τὸν λαόν. Καὶ εἶπεν Μωσῆς [5])· [ζ′] ἐλθέτω πῦρ καὶ καταφλεξάτω [6]) τὴν Αἴγυπτον. Καὶ ἐλθὼν πῦρ κατέφλεξεν [7]) τοὺς Αἰγυπτίους, καὶ κατεφλογίζοντο οἱ Αἰγύπτιοι. Καὶ εἶπεν φαραώ· καλέσατέ [μοι] τὸν Μωϋσῆν. καὶ ἐλθὼν λέγει αὐτόν [8])· ἕως πότε ταράσσεις τὴν Αἴγυπτον; καὶ εἶπεν Μωϋσῆς· ἕως πότε παροργίζεις τὸν θεὸν τοῦ Ἰσραὴλ [9]) τοῦ ἀπολύσαι τὸν λαὸν αὐτοῦ ὡς ἂν προσκυνήσωσιν τὸν θεὸν αὐτῶν ἐν τῷ ὄρει Χωρήβ; Καὶ εἶπεν φαραώ· λάβε τὸν λαὸν καὶ πορεύθητι [καὶ] λάτρευσον [Κύριον] τὸν θεόν σου καὶ τὰ ζῶα σὺν τοῖς προσηλύτοις [ἔασον] ἐν γῇ Γερσέμ [10]). καὶ εἶπεν Μωϋσῆς· οὐκ ἀφίω [11]) ἐνταῦθα οὔτε τρίχαν [12]) αἰγὸς οὔτε πρόβατον χωλεῦον, ἀλλ᾿ ἐπὶ τὴν ἅμαξαν ἀρῶ [13]) ὡς ἂν εὐλογηθῶσιν ὑπὸ τοῦ θεοῦ αὐτῶν. Καὶ οὐκ ἤκουσεν φαραὼ τοῦ ἀποστεῖλαι [14]) τὸν λαόν. καὶ εἶπε Μωϋσῆς· [η′] ἐλθέτω ἀκρὶς καὶ καταφαγέτω [15]) τὸν καρπὸν αὐτῶν [16]). καὶ ἦλθεν ἀκρὶς καὶ κατέφαγεν τὰς χώρας τῶν Αἰγυπτίων. καὶ οὐδὲ πάλιν ἀπέλυον [17]) τὸν λαόν [18]). Καὶ εἶπεν Μωϋσῆς· [θ′] ἐλθέτω βροῦχος καὶ καταφάγῃ τὰ καταλειφθέντα ἀπὸ τῆς ἀκρίδος [19]). Οἱ δὲ παῖδες [τοῦ] φαραὼ οἱ ἐπιστάται τῶν ἔργων κατεσκλήρυναν [20]) τοὺς ἰουδαίους ἐν τοῖς ἔργοις οἷς [21]) κατεδούλοντο αὐτούς [22]). καὶ ἦλθαν [23]) πρὸς Μωϋσῆν θρηνοῦντας καὶ καταβοῶντας αὐτόν [24])· ὅτι ἀφ᾿ οὗ ἦλθες οὐκ ἐλάβομεν [ἄνεσιν] ἐκ τῶν σκληρῶν ἔργων, ἀλλὰ καὶ τὸ ἄχυρον ἐκράτησαν τοῦ μὴ δοῦναι ἡμᾶς [25]) καὶ κατεδαπανήθημεν ἐν τῇ σκληρότητι τῶν ἔργων [26]). Καὶ ἐλυπήθη Μωϋσῆς σφόδρα καὶ ἠρώτησεν Κύριον τὸν θεόν, καὶ εἶπεν αὐτῷ Κύριος ὁ θεός· ἰδοὺ ἐγὼ τὰ βέλη μου συντελέσω ἐν Αἰγύπτῳ [27]) καὶ οὐδὲ οὕτως παιδευθήσονται οἱ Αἰγύπτιοι κἀγὼ μαστίξω αὐτοὺς ἐν ἑτέρῳ μάστιγι ἀνθ᾿ ὧν αὐτοὶ προετιμήσαντο [28]) [τοὺς] θεοὺς

[1]) δι᾿ αὐτῶν. [2]) ἄνται V. [3]) ἀπάγουσι τοὺς νεκροὺς ἐτίας (sic). [4]) ἔπεισαν. [5]) V addit πρὸς τὸν λαόν quod omisi. [6]) κατακαυσάτω. [7]) κατέκαυσε. [8]) αὐτῷ. [9]) Κύριον τὸν θεόν. [10]) Σεσέμ. [11]) οὐκ ἀφήσω. [12]) οὐ τριχός. [13]) αἴρω. [14]) ἀπολύσαι. [15]) καταφάγῃ. [16]) τῆς Αἰγύπτου. [17]) ἀπέλυε. [18]) αὐτοῦ add. V quod omisi. [19]) ἀπὸ τῶν ἀκρίδων. [20]) κατεσκλήρυνεν V. [21]) ἄν V. [22]) κατεδουλοῦντο αὐτοῖς. [23]) ἦλθον. [24]) θρηνοῦντες καὶ καταβοῶντες αὐτῷ. [25]) ἡμῖν. [26]) ἐκ τῶν σκληρῶν ἔργων. [27]) ἐν Αἰγυπτίοις. [28]) προετίμησαν.

Αἰγυπτίους [1]) ὑπὲρ ἐμοῦ [2]) καὶ τὸ τελευταῖον ἀπολέσω αὐτοὺς καὶ ποιήσω ᾄδεσθαι αὐτοὺς τὴν π(τ)ῶσιν αὐτῶν ἐν πᾶσι τοῖς ἔθνεσιν, οὐ γὰρ βούλονταί με θεὸν εἶναι αὐτῶν [ἀλλὰ προετίμησαν τοὺς θεοὺς αὐτῶν] καὶ οὐκ εἶδον ὅτι ἐγὼ θεὸς παιδεύων καὶ πάλιν ἰώμενος.

Περὶ τοῦ Πάσχα [3]). Καὶ εἶπεν Κύριος πρὸς Μωϋσῆν· λάλησον πρὸς πᾶσαν συναγωγὴν υἱῶν Ἰσραὴλ [4]) καὶ λαβέτωσαν ἕκαστος πρόβατον πανοικί, πρόβατον κατ' οἰκίαν ἄρσεν, πρόβατον ἄμωμον ἐνιαύσιον καὶ σφάξωσιν αὐτὸν [5]) πᾶν τὸ πλῆθος τῶν υἱῶν Ἰσραὴλ καὶ ἑσπέρᾳ χρίσωσιν [6]) ἀπὸ τοῦ αἵματος αὐτῶν [7]) καὶ ἀφορίσωσιν [ἐπὶ] τοὺς δύο σταθμοὺς καὶ ἐπὶ τὴν φλιὰν [8]) καὶ φάγονται αὐτὰ πᾶσα συναγωγὴ υἱῶν Ἰσραὴλ ὀπτὰ πυρὶ καὶ ἄζυμα ἐπὶ πικρίδων ἔδονται, φάγονται δὲ αὐτὰ οὕτως· αἱ ὀσφύαι ὑμῶν διεζωσμέναι [9]) καὶ τὰ ὑποδήματα ὑμῶν ἐν τοῖς ποσὶν ὑμῶν [καὶ αἱ βακτηρίαι ὑμῶν ἐν ταῖς χερσὶν ὑμῶν] καὶ ἔδεσθε αὐτὰ μετὰ σπουδῆς, πάσχα εἰσὶν Κυρίου, καὶ χρίσητε ἀπὸ τοῦ αἵματος αὐτοῦ ἐπὶ τοὺς δύο σταθμοὺς καὶ ἐπὶ τὴν φλιὰν καὶ ἐν τοῖς οἴκοις ἐν οἷς φάγωσιν αὐτά· (ι') ἰδοὺ γὰρ ἐγὼ ἀποστέ(λ)λω ἄγγελον ὀλοθρεύοντα πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ ἀπὸ ἀνθρώπου ἕως κτήνους, καὶ ἔσται ἐν τοῖς οἴκοις ἐν οἷς ἂν εὕρῃ τὸ αἷμα οὐκ εἰσελεύσεται, καὶ τότε δείξω ἐγὼ τοῖς Αἰγυπτίοις τίς [10]) ἐστιν ὁ ζῶν θεὸς [11]) Ἰσραὴλ ποιῶν θαυμάσια. φάγωνται δὲ ἀπὸ [12]) τὸν ἀριθμὸν ψυχαὶ δέκα, ἐὰν δὲ ὀλιγοστοὶ ὦσιν ἐν τῇ οἰκίᾳ τοῦ μὴ ἱκανοὺς εἶναι εἰς πρόβατον, λήψεται μεθ' ἑαυτοῦ τὸν γείτονα τὸν πλησίον αὐτοῦ [13]). Καὶ οὕτως ἀκούσας Μωϋσῆς παρὰ Κυρίου ἐξῆλθεν καὶ ἐλάλησεν πρὸς πᾶσαν συναγωγὴν υἱῶν Ἰσραήλ, καὶ ἐποίησαν τὸ πάσχα πρὸς ἑσπέραν φάγοντες [14]) αὐτό. ἦλθεν δὲ ἄγγελος Κυρίου προστάξει θεοῦ καὶ ἔνθα οὐχ εὕρισκεν τὸ αἷμα εἰσέρχετο [15]) καὶ ἔκτεινε πᾶν πρωτότοκον ἐν τῇ οἰκίᾳ ἐκείνῃ, καὶ ἦν θρῆνος πολὺς τοῖς Αἰγυπτίοις. οὐχ ὑπῆρχεν γὰρ οἰκία ἐν ᾗ οὐκ ἦν θρῆνος ἐν αὐτῇ [16]). καὶ συνήχθη πᾶσα ἡ Αἴγυπτος κατ' αὐτοῦ τοῦ φαραὼ βοῶσα· ἀπό-

---

[1]) Αἰγυπτίων. [2]) ἐμέ. [3]) Titulus deest. [4]) τοῖς υἱοῖς Ἰσραὴλ πρὸς πᾶσαν τὴν συν. [5]) αὐτά. [6]) πρὸς ἑσπέραν καὶ χρίσουσιν. [7]) ἀπ' αὐτοῦ τοῦ αἵματος. [8]) τὰς φλιάς. [9]) αἱ ὀσφύαις ὑμῶν περιεζωσμέναι. [10]) τί V. [11]) ἐστὶν Κύριος ζῶν θεός. [12]) φ. δὲ αὐτῶν. [13]) αὐτῶν V. [14]) φαγόντα. [15]) ηὕρισκεν αἷμα, εἰσήρχετο. [16]) sic O; οἰκία ἐν ἡλίῳ ἣν οὐκ ἦν θρ. ἐπ' αὐτῇ V.

λυσον ἔνθα τὸ ἔθνος τοῦτο διότι ἀπωλόμεθα δι' αὐτούς [1]). καὶ ἦσαν εὐτρεπιζόμενοι τοῦ ἐξελθεῖν ἐκ γῆς Αἰγύπτου [2]). Καὶ εἶπεν Κύριος πρὸς Μωσῆν· μηδεὶς ἐξέλθῃ κενὸς ἐξ ὑμῶν, ἀλλὰ πορεύσεται ἡ γυνὴ πρὸς τὴν γείτονα καὶ αἰτήσεται τὰ κόσμια αὐτῆς καὶ τὸν ἱματισμὸν λέγουσα· δός [3]) μοι ὡς ἂν περιβάλλωμαι κόσμον [4]) ἐνώπιον τοῦ θεοῦ μου καὶ πάλιν ἀγάγω σοι αὐτόν [5]). [οὕτω] καὶ οἱ ἄνδρες ὁμοίως ποιήσωσιν καὶ λαβέτωσαν μεθ' ἑαυτῶν πάντα κόσμον [6]) Αἰγύπτου καὶ πᾶσαν περιουσίαν καὶ οὐκ ἐξέλθετε κενοὶ ἐξ αὐτῶν, ἀλλὰ λάβετε πάντα κόσμον Αἰγύπτου μεθ' ὑμῶν. Καὶ οὕτως ποιήσαντες ἀνελάβοντο πάντα κόσμον στολισμὸν Αἰγύπτου καὶ [7]) λαβόντες τὰ ὀστᾶ Ἰωσὴφ τοῦ ἀδελφοῦ αὐτῶν μεθ' ἑαυτῶν ὅτι οὕτω παρήγγειλεν αὐτοῖς ἐν τῷ θανάτῳ αὐτοῦ λέγων· ἐπισκοπῇ ἐπισκέψεται ὑμᾶς [ὁ] θεὸς ἐξελθεῖν ἐκ γῆς Αἰγύπτου [8]) καὶ συνανοίσετε [9]) τὰ ὀστᾶ μου ἐνταῦθα [10]). Καὶ οὕτως ποιήσαντες κακεῖθεν ἀναζεύξαντες ἐξῆλθον [11]) πᾶν τὸ δωδεκάφυλον [12])τοῦ Ἰσραήλ. καὶ εἶπεν Κύριος πρὸς Μωϋσῆν· λάλησον τοῖς υἱοῖς Ἰσραὴλ καὶ ἀποστρέψαντες στρατοπεδεύσωσιν ἀπέναντι τῆς ἐπαύλεως ἀναμέσον τῶν Μαγδάλων [13]) καὶ ἀναμέσον τῆς θαλάσσης στρατοπεδεύσῃς. καὶ ὑποστρέψαντες ἐστρατοπέδευσαν. Ἀκούσας δὲ φαραὼ εἶπεν· [οἱ] υἱοὶ Ἰσραὴλ πλανῶνται, συγκέκλεικε γὰρ αὐτοὺς ἡ ἔρημος. καὶ ζεύξας φαραὼ τὰ ἅρματα [αὐτοῦ] καὶ τριστάτας ἐπὶ πᾶσαν τὴν ἵππον Αἰγύπτου [14]) καὶ τὰ ἅρματα καὶ τριστάτας ἐπὶ πάντων καὶ ἑξακόσια ἅρματα [καὶ τριστάτας] ἐκλεκτὰ [ὄντα καὶ] κατεδίωξαν [15]) ὀπίσω αὐτῶν. οἱ δὲ υἱοὶ Ἰσραὴλ ἐπορεύοντο [16]) ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ καὶ ὡδήγησεν αὐτοὺς Κύριος ὁ θεὸς ὅλην τὴν νύκταν ἐν στύλῳ πυρὸς καὶ ὅλην ἡμέραν ἐν (ν)εφέλῃ καὶ προῆγεν αὐτούς. οὐκ ἐξέλιπεν δὲ ὁ στύλος ἡμέρας τῆς νεφέλης ἐνώπιον παντὸς Ἰσραήλ [17]). καὶ ἐγένετο πορευομένων αὐτῶν εὗρον αὐτοὺς παραβεβληκότας παρὰ [18]) τὴν θάλασσαν, καὶ ἐγόγγυζεν ὁ λαὸς κατὰ Μωσῆ(ν) λέγοντες [19])· παρὰ τὸ μὴ

---

[1]) ἀπολώλαμεν δι' ἑαυτούς. [2]) ἐξελθεῖν ἐκεῖθεν. [3]) πορευέτω πρὸς τὸν γείτονα αὐτοῦ καὶ αἰτησάτω τῶν κοσμιῶν αὐτῶν λέγων ὅτι δός. [4]) κόσμια. [5]) ταῦτα. [6]) πάντα τὰ κόσμια. [7]) λάβετε πάντα τὰ κόσμια Αἰγύπτου (mediis praetermissis) καί. [8]) ἐκ τῆς γῆς ταύτης. [9]) συναντήσετε V. [10]) ἐντεῦθεν. [11]) ἐξῆλθεν. [12]) τὸ δώδεκα φυλῶν V. [13]) ἀναμέσον Μαγδόλου. [14]) αὐτοῦ καὶ λαβὼν πᾶσαν τὴν γῆν Αἰγύπτου. [15]) κατεδίωζεν [16]) ἐπορεύθησαν. [17]) πυρὸς καὶ προῆγεν αὐτοὺς ὅλην τὴν νύκτα, ἀλλ' οὐδὲ νεφέλη ἦν τῇ ἡμέρᾳ (omissis ἐνώπιον παντὸς Ἰσραήλ). [18]) ἐπί. [19]) λέγων.

ὑπάρχειν [1]) μνήματα ἐν Αἰγύπτῳ ἐξήγαγες ἡμᾶς τοῦ θανατῶσαι ἐν τῇ ἐρήμῳ ταύτῃ [2]); εἶπεν δὲ Μωσῆς πρὸς αὐτούς· θαρσεῖτε, στήκητε [3]) [καὶ] μὴ φοβεῖσθε καὶ ὄψεσθε τὴν σωτηρίαν παρὰ Κυρίου ἣν ποιήσει ἡμῖν σήμερον. Εἶπεν δὲ Κύριος πρὸς Μωσῆν [λέγων]· τί βοᾷς πρός με; λάλησον τοῖς υἱοῖς Ἰσραὴλ καὶ ἀναζευξάτωσαν καὶ σὺ ἔπαρον τὴν ῥάβδον σου καὶ ἔκτεινον τὴν χεῖράν σου ἐπὶ τὴν θάλασσαν καὶ ῥῆξον αὐτὴν καὶ εἰσελθέτωσαν [οἱ] υἱοὶ Ἰσραὴλ εἰς μέσον τῆς θαλάσσης κατὰ τὸ ξηρὸν καὶ ἰδοὺ ἐγὼ στερεῶ τὴν καρδίαν φαραὼ καὶ τῶν θεραπόντων αὐτοῦ καὶ τῶν Αἰγυπτίων πάντων καὶ εἰσελεύσεται [4]) ὀπίσω αὐτῶν. καὶ ἐνδοξασθήσομαι ἐν φαραὼ καὶ ἐν τοῖς ἅρμασι καὶ ἐν τοῖς ἵπποις [αὐτοῦ]. Ἐξέτεινεν [5]) δὲ Μωσῆς τὴν χεῖρα [ἐπὶ τὴν θάλασσαν καὶ ἐπήγαγε Κύριος τὴν θάλασσαν] ἐν ἀνέμῳ νότῳ βιαίῳ ὅλην τὴν νύκταν καὶ ἐποίησε τὴν θάλασσαν ξηράν, καὶ εἰσῆλθον [6]) [οἱ] υἱοὶ Ἰσραὴλ εἰς μέσον τῆς θαλάσσης κατὰ τὸ ξηρὸν καὶ τὸ ὕδωρ αὐτοῖς τεῖχος ἐκ δεξιῶν καὶ τεῖχος ἐξ εὐωνύμων. κατεδίωξαν δὲ οἱ Αἰγύπτιοι ὀπίσω αὐτῶν καὶ πᾶσα ἡ ἵππος φαραὼ καὶ οἱ ἀναβάται εἰς μέσον τῆς θαλάσσης. Καὶ ἐγένετο τῇ φυλακῇ τῇ ἑωθινῇ εἰσέβλεψεν Κύριος εἰς τὴν παρεμβολὴν [7]) τῶν Αἰγυπτίων καὶ συνέδησε τοὺς ἄξωνας τῶν ἁρμάτων αὐτῶν καὶ ἀγαγὼν [8]) αὐτοὺς μετὰ βίας. καὶ εἶπον οἱ Αἰγύπτιοι· φύγωμεν ἀπὸ προσώπου Ἰσραὴλ ὅτι Κύριος πολεμεῖ ὑπὲρ αὐτῶν τοὺς Αἰγυπτίους. Εἶπεν δὲ Κύριος πρὸς Μωσῆν· [καὶ] ἐπιστραφοῦ ποίησον εἰς [9]) τὴν θάλασσαν ὡς τὸ πρίν. καὶ ἐπιστρέψας Μωσῆς τὴν χεῖρα αὐτοῦ ἐπιστρεπτικῶς μετὰ τῆς ῥάβδου ἐπαναστραφὲν τὸ ὕδωρ ἐκάλυψε τὰ ἅρματα φαραὼ καὶ τοὺς ἀναβάτας εἰς μέσον τῆς θαλάσσης καὶ πᾶσαν τὴν ἵππον φαραώ, οὐ κατελείφθη [δὲ] ἐξ αὐτῶν οὐδὲ εἷς. οἱ δὲ υἱοὶ Ἰσραὴλ ἐπορεύθησαν διὰ ξηρᾶς ἐν μέσῳ τῆς θαλάσσης. Καὶ εἶδον [10]) [οἱ] υἱοὶ Ἰσραὴλ τὴν χεῖραν τὴν μεγάλην καὶ κραταιὰν ἣν ἐποίησεν [ὁ] Κύριος καὶ ἐρ(ῥ)ύσατο τὸν Ἰσραὴλ [11]) ἐκ χειρὸς Αἰγυπτίων [12]) καὶ τοὺς ἐχθροὺς [αὐτῶν] παραβεβληκότας παρὰ τὸ χεῖλος τῆς θαλάσσης. Καὶ λαβοῦσα Μαρία ἡ ἀδελφὴ Μωϋσέως τῇ χειρὶ αὐτῆς τὸ τύμπανον [13])

---

[1]) ἐν τῷ μὴ εἶναι. [2]) εἰς τὴν ἔρημον. [3]) στήκετε. [4]) εἰσελεύσονται. [5]) In imo margine ἡ πνιγμονὴ τοῦ φαραώ. [6]) εἰσήλθωσαν. [7]) παραβολήν V. [8]) ἤγαγεν. [9]) εἰς om. [10]) Ἰδόντες. [11]) ἐρ. αὐτούς. [12]) Αἰγύπτου V. [13]) τὸ τύμπ. ἐν τῇ χειρὶ αὐτῆς.

ἤνεσαν αὐτὴ καὶ ὁ ἀδελφὸς αὐτῆς Μωϋσῆς καὶ [οἱ] υἱοὶ Ἰσραὴλ τὴν ᾠδὴν ταύτην τῷ Κυρίῳ, εἶπον· ᾄσωμεν τῷ Κυρίῳ, ἐνδόξως γὰρ δεδόξασθαι, ἵππον καὶ ἀναβάτην.

Περὶ τοῦ Ἀμαλήκ. Ἀπάραντες [1]) δὲ [οἱ] υἱοὶ Ἰσραὴλ ἀπὸ θαλάσσης Ἐρυθρᾶς ὥδευον [2]) διὰ τῆς ἐρήμου ἐλθὼν [3]) ἐν τῷ ὄρει Σινᾶ. Ἀκούσας δὲ ὁ Ἀμαλὴκ ὅτι τὸν πλοῦτον τῶν Αἰγυπτίων ἀνέλαβον [4]) [οἱ] υἱοὶ Ἰσραὴλ ἦλθεν πολεμῆσαι αὐτοὺς ἐν χιλιάσιν καὶ μυριάσιν λέγων γάρ· ὅτι ἄοπλοί εἰσιν κἀγὼ λήψομαι αὐτοὺς ἐν τῇ ἐρήμῳ καὶ κερδήσω τὸν πλοῦτον τῶν Αἰγυπτίων ὅνπερ αὐτοὶ ἀφείλαντο [5]). Καὶ ἦλθεν Ἀμαλὴκ ἐν χιλιάσιν καὶ μυριάσιν καὶ συνέμιξαν πόλεμον μετὰ τῶν Ἑβραίων. ὁ δὲ Μωϋσῆς ἀνελθὼν ἐν τῷ ὄρει ἐξέτεινεν (ἐν) τῷ ὄρει τὰς χεῖρας εἰς προσευχήν· καὶ ὅτε ὕψει [ὁ Μωϋσῆς] τὰς χεῖρας ἐτροποῦτο ὁ Ἀμαλήκ, ὅτε δὲ ἐνάρκησεν Μωϋσῆς τὰς χεῖρας [καὶ] ἐταπεινοῦντο αἱ χεῖρες αὐτοῦ ἐτρέπετο ὁ λαὸς τοῦ Ἰσραήλ. καὶ πάλιν ὅτε ὕψει Μωϋσῆς τὰς χεῖρας ἐτρέπετο [6]) ὁ Ἀμαλήκ. καὶ συνῆψαν πόλεμον ἔτι σφοδρότερον [7]). Ἰδὼν [8]) δὲ Ἀαρὼν καὶ Ὢρ ὅτι ἐν τῷ ὑψεῖν [Μωϋσῆς] τὰς χεῖρας ἐτροποῦτο ὁ Ἀμαλὴκ ἦλθεν ὁ εἷς [9]) ἐκ δεξιῶν καὶ ὁ ἕτερος ἐξ εὐωνύμων καὶ οὕτως ὑψοῦντες τὰς χεῖρας τοῦ Μωϋσέως κατετροποῦντο τὸν Ἀμαλὴκ καὶ εἰς τέλος ἀπώλετο. Καὶ ἐπληρώθη ἐπ' αὐτοῖς τὸ Ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλός· ὁ γὰρ Ἀμαλὴκ βουληθεὶς πορθῆσαι τὸν Ἰσραὴλ ἐπορθήθη [10]) αὐτός. Καὶ εἰσελθὼν ὁ Ἰσραὴλ ἐπόρθησεν τὰς πόλεις Ἀμαλὴκ καὶ ἐσκύλευσεν αὐτὰς καὶ ἀναλαβόντες [11]) τὰς οὐσίας [12]) αὐτῶν συνέκοψαν αὐτοὺς [13]) καὶ μετὰ ταῦτα ἀπάραντες ἀπὸ τῆς Ἐρυθρᾶς θαλάσσης [οἱ] υἱοὶ Ἰσραὴλ [14]) ἦλθον εἰς τὴν ἔρημον Σοὺρ καὶ ἐπορεύοντο τρεῖς ἡμέρας ἐν τῇ ἐρήμῳ καὶ οὐχ εὑρίσκων ὕδωρ ὥστε πιεῖν [15]), ὕδωρ ἐκ Μεῤ(ῥ)ᾶς πικρὸν γὰρ ἦν [16]), [καὶ] διὰ τοῦτο ἐπωνομάσθη τὸ ὄνομα τοῦ τόπου ἐκείνου πικρία. Καὶ διεγόγγυζεν [17]) ὁ λαὸς λέγοντες κατὰ Μωσῆ [18])· τί πιώμεθα; ἐβόησεν δὲ Μωσῆς πρὸς Κύριον

[1]) ἐπάραντες. [2]) ὁδεύων V. [3]) διὰ ξηρᾶς ἐν τῇ ἐρήμῳ ἐλθεῖν [4]) ἔλαβον. [5]) ἀνελάβοντο. [6]) ἐτροποῦτο. [7]) σφοδρόν. [8]) ἰδόντες. [9]) εἰσῆλθεν εἷς. [10]) ἐσκυλεύθη. [11]) ἀνελάβοντο (καὶ συνέκοψαν). [12]) ὁσίας (vel ὡσίας) V. [13]) αὐτάς V. [14]) ἐπάραντες οἱ υἱοὶ Ἰ. ἀπὸ θαλ. Ἐρ. [15]) ηὕρισκον ὕδωρ πιεῖν. [16]) τὸ γὰρ ὕδ. τῆς Μεῤῥᾶς πικ. ἦν. [17]) ἐγόγγυζεν. [18]) τὸν Μ. λέγων.

καὶ ἐπέδειξεν [1]) αὐτῷ Κύριος ξύλον καὶ ἐνέβαλον [2]) αὐτὸ εἰς τὸ ὕδωρ καὶ ἐγλυκάνθη τὸ ὕδωρ. ἐκεῖ ἔθετο [αὐτῷ] Κύριος ὁ θεὸς δικαιώματα καὶ κρίσεις καὶ ἐκεῖ αὐτὸν ἐπείραζεν καὶ εἶπεν· ἐὰν ἀκοῇ ἀκούσῃς [3]) τῆς φωνῆς Κυρίου τοῦ θεοῦ σου καὶ τὰ ἀρεστὰ ποιήσῃς [4]) ἐνώπιον αὐτοῦ καὶ ἐνωτίσῃ τὰς ἐντολὰς αὐτοῦ καὶ φυλάξῃς [5]) πάντα τὰ δικαιώματα αὐτοῦ, πᾶσαν νόσον ἣν ἐπήγαγον τοῖς Αἰγυπτίοις οὐκ ἐπάξω ἐπὶ σέ, ἐγὼ γάρ εἰμι Κύριος ὁ ἰώμενός σε. Καὶ ἦλθον εἰς 'Ελὴμ καὶ ἦσαν ἐκεῖ δώδεκα πηγαὶ ὑδάτων καὶ ἑβδομήκοντα στελέχη φοινίκων, παρενέβαλον δὲ ἐκεῖ πᾶσα συναγωγὴ υἱῶν 'Ισραήλ.

Περὶ τῶν ιβʹ πηγῶν [6]). Τὰς δώδεκα πηγὰς τῶν ὑδάτων προδηλοῦσι τοὺς δώδεκα ἀποστόλους. διὰ τί [δὲ] καὶ δώδεκα πηγαὶ ὑδάτων εὑρέθησαν; ἵνα ἑκάστη φυλὴ τὴν ἰδίαν πηγὴν κέκτηται καὶ μὴ διαμάχωνται. καὶ ἑβδομήκοντα στελέχη [τῶν] φοινίκων; φοίνικες δὲ οἱ δώδεκα ἀπόστολοι, στελέχη δὲ αὐτῶν οἱ ἑβδομήκοντα μαθηταί εἰσιν [7]). Παραβαλόντες [8]) δὲ ἐκεῖ παρὰ τὰ ὕδατα ἀπῆραν ἐξ 'Ελὴμ καὶ ἦλθεν πᾶσα [ἡ] συναγωγὴ υἱῶν 'Ισραὴλ εἰς τὴν ἔρημον Σοὺρ ἥ [9]) ἐστιν ἀναμέσον 'Ελὴμ καὶ ἀναμέσον Σινᾶ. καὶ παρενέβαλον ὑποκάτω τοῦ ὄρους. Καὶ θύσαντος Μωϋσῇ τῷ θεῷ [10]) εἶπεν αὐτῷ Κύριος· ἀνάβηθι πρός με εἰς τὸ ὄρος καὶ δώσω σοι τὰ πηξία τὰ λίθινα, τὸν νόμον καὶ τὰς ἐντολὰς ἃς ἔγραψα νομοθετῆσαι αὐτάς [11]). Καὶ ὀρθρίσας Μωϋσῆς τῷ πρωῒ ἀνέβη εἰς τὸ ὄρος καὶ ἦν ἐκεῖ τεσ(σ)αράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας. παρήγγειλε δὲ τῷ λαῷ λέγων· ἰδοὺ ἐγὼ ἀνέρχομαι ἐν τῷ ὄρει Κυρίου καὶ ἰδοὺ 'Ααρὼν καὶ Ὦρ [μεθ' ὑμῶν οἱ ἀδελφοί μου] καὶ ἐάν τινα [12]) συμβῇ κρίσις προπορευέτωσαν αὐτοῖς [13]), καὶ φυλάξατε τεσσαράκοντα ἡμέρας νηστεύοντας [14]) [ἕως οὗ ἔλθω ἀπὸ τοῦ ὄρους. Οἱ δὲ μὴ φυλάξαντες τὴν ἐντολὴν οὐκ ἐνήστευσαν] ἕως οὗ κατέλθῃ [15]) Μωϋσῆς, ὁ δὲ 'Ααρὼν οὐκ ἤφινεν [16]) αὐτούς, ἀλ(λ)' ἔλεγεν [17]) [αὐτοῖς]· φυλάξατε ἕως τοῦ ὑποστρέψαι [18]) Μωϋσῆς ἀπὸ τοῦ ὄρους. οἱ δὲ οὐκ ἠνέσχοντο [19]) καὶ ὁ

---

[1]) ἔδειξεν [2]) ἔβαλεν. [3]) ἀκουῇ (in O excidit) ἀκούσῃ V. [4]) ποιήσῃ V. [5]) φυλάξῃ V. [6]) Inscribitur solum ἑρμηνεία. [7]) μαθηταὶ τῶν ἀποστόλων εἰσίν. [8]) παραβάλλονται V. [9]) ὁ V. [10]) καὶ ἔθυσε Μωσῆς θυσίαν Κυρίῳ τῷ θεῷ καί. [11]) αὐτοῖς. [12]) τινί. [13]) προπορεύεσθε αὐτοῖς [14]) νηστεύοντες. [15]) ἦλθε. [16]) ἤφιεν. [17]) ἔλεγον V. [18]) ἕως οὗ ἔλθῃ. [19]) ἠνέχοντο V.

'Ααρὼν ἐλυπεῖτο περὶ [1]) τοῦ λαοῦ. ὁ δὲ λαὸς ἠνάγκαζεν τὸν 'Ααρὼν λέγοντες [2])· δὸς ἡμῖν θεὸν ἵνα προσκυνήσαντες λύσωμεν τὴν νηστείαν, ὁ γὰρ Μωσῆς οὐκ οἴδαμεν τί γέγονεν. ἀγανακτήσας δὲ 'Ααρὼν εἶπεν πρὸς τὸν λαόν· ἀγάγετέ μοι τὰ τῆς Αἰγύπτου ἐγκόσμια [3]) ἅπερ ἐκεῖθεν [4]) ἐξηγάγετε καὶ βάλωμεν αὐτὰ εἰς τὸ πῦρ καὶ οἷος θεὸς φανερωθῇ τοῦτον καὶ λατρεύσομεν. τοῦτο δὲ εἶπεν 'Ααρὼν βουλόμενος αὐτοῖς ἀναχαιτίσαι τὴν ὁρμὴν [5]) μή πως ἐλεήσωσι τὸν χρυσὸν [6]) καὶ τὸν ἄργυρον τοῦ χωνεῦσαι ταῦτα [7]) καὶ κρατήσωσιν τῆς νηστείας. οἱ δὲ διὰ τὴν ἄστατον αὐτῶν γαστριμαργίαν ἤνεγκαν τὰ ἀργυρᾶ [αὐτῶν καὶ τὰ χρυσᾶ] καὶ ἀνάψας πῦρ ὁ 'Ααρὼν ἔβαλεν ταῦτα ἐν [8]) αὐτῷ, καὶ χωνευθέντα [9]) ἐγένοντο ὡς ὁμοίωμα μόσχου, καὶ ἰδόντες [10]) πᾶς ὁ λαὸς προσεκύνησαν αὐτόν [11]). Ἔγνω δὲ Μωϋσῆς τὸ δρᾶμα ἐν τῷ ὄρει, τὴν παρονομίαν τοῦ λαοῦ καὶ ἐλυπήθη. εἶπεν δὲ Κύριος πρὸς Μωϋσῆν [12])· ἄφες ἐξολοθρεύσω [13]) αὐτοὺς καὶ ποιήσω σε εἰς ἔθνος μέγα. ὁ δὲ Μωσῆς οὐκ ἠνέσχετο, ἀλλ' εἶπεν πρὸς Κύριον· εἰ βουληθῇς τούτους ἀπολέσαι [14]) κἀμὲ συναπόλεσον μετ' αὐτοῖς, μή πως καυχήσωνται τὰ ἀλ(λ)όφυλα ἔθνη λέγοντες· ποῦ ἐστιν ὁ θεὸς αὐτῶν; Καὶ ταῦτα μὲν οὕτως.

Μωσῆς [15]) δὲ ἀνελθὼν ἐν τῷ ὄρει καὶ ἐδόθη αὐτῷ νόμος εἰς παιδαγωγίαν ὡς ἂν μάθωσιν τὰς ἐντολὰς Κυρίου καὶ τὰ δικαιώματα αὐτοῦ. καὶ εἶπεν Κύριος πρὸς Μωσῆν· ταῦτα τὰ δικαιώματα ἃ δίδωμί σοι καὶ ἁγιάσῃς [16]) τὴν ἑβδόμην ἡμέραν καὶ καλέσῃς αὐτὴν σάββατον καὶ πᾶν ἔργον οὐ προέσθαι ἐν ταῖς χερσὶν ὑμῶν. ἀλλ' ἐν ταύτῃ τῇ ἡμέρᾳ ἀναπαύσεται ὁ βοῦ(ς) σου καὶ τὸ ὑποζύγιόν σου [καὶ ὁ προσήλυτός σου] καὶ ὁ ἀργυρώνητό(ς) σου ἀναπάυσεται καὶ πάντες οἱ ἐν τῷ οἴκῳ σου ἀναπαύσονται, καὶ ἐροῦσιν· αὕτη ἡ ἡμέρα [17]) κλητὴ ἁγία τῷ Κυρίῳ. καὶ ἔσται ὑμῖν τοῦτο κατὰ πᾶν σάββατον αἰώνιον, νόμιμον καὶ οὐ ποιήσῃς ἔργον ἐν ταῖς χερσίν σου τῇ ἡμέρᾳ τοῦ σαββάτου, ἀλλ'

---

[1]) ἐλυπήθη ὑπέρ. [2]) λέγων. [3]) κόσμια. [4]) ἐκεῖσε. [5]) ἀναχαιτίπαι τῆς ὁρμῆς V. [6]) ὁρμὴν μετεπλέκοντες τὸ χρυσόν. [7]) φονεῦσαι ταύτας V. [8]) ἐπ'. [9]) χωνευθέντων. [10]) ἰδών. [11]) αὐτῷ. [12]) αὐτόν. [13]) ἄφες με ἐξολοθρεῦσαι. [14]) τοῦτο ποιῆσαι τοῦ ἀπολέσαι αὐτούς. [15]) In margine inscribitur περὶ τῆς νομοθεσίας. [16]) ἱλάσεις quod correxit librarius ex εἱλάβεις. [17]) ἐν αὐτῇ ἡμέρᾳ, V αὐτῇ τῇ ἡ quod correxi.

ἐπελεύσῃ [1]) πρὸς τὸ ἅγιον εἰς [2]) τὸν ἱερέαν ἐν τῇ σκηνῇ ὃν ἂν χρήσωσιν [3]) οἱ ἀδελφοί σου καὶ διδαχθήσῃ παρ' αὐτοῦ καὶ μαθήσῃ [4]) τὸν νόμον καὶ τὰς ἐντολάς.

Περὶ τῆς νομοθεσίας [5]). Οὐ παραλήψῃ ἀκοὴν μάταιαν [6]), οὐ συγκαθίσῃ μετὰ ἀδίκων γενέσθαι [7]) μάρτυς ἄδικος. οὐκ ἔσῃ μὲ [8]) πλειόνων ἐν τῇ κακίᾳ [9]). οὐκ ἐλεήσῃς πένητα ἐν κρίσει, οὐ διαστρέψῃς κρίσιν πένητος, ἀπὸ παντὸς κρίματος ἀδίκου [10]) ἀποστήσῃ, ἀθῷον καὶ ἄδικον [11]) οὐκ ἀποκτενεῖς, οὐ δικαιώσῃς τὸν ἀσεβῆν ἕνεκεν δώρων, τὰ γὰρ δῶρα ἐκτυφλοῦσιν ὀφθαλμοὺς βλεπόντων καὶ λιμαίνεται δίκαια, οὐ [12]) ποιήσῃ ἀδικίαν ἐν κρίσει, οὐ λήψῃ πρόσωπον πτωχοῦ οὐδ' οὐ μὴ θαυμάσῃ [13]) πρόσωπον δυναστοῦ [14]). ἐν δικαιοσύνῃ κρινεῖς τὸν πλησίον σου, οὐ πορνεύσει δοῦλος [15]) ἐν τῷ ἔθνει σου καὶ ἡ γῆ συσθήσεται [16]) ἀφ' αἵματος τοῦ πλησίον σου.

Περὶ τῆς δεκαλόγου (=δεκάλογος) τοῦ νόμου. α'. Ἐγώ εἰμι Κύριος ὁ θεός σου ὁ ἐξαγαγών σε ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δουλείας. οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ. β'. Οὐ ποιήσεις ἑαυτῷ εἴδωλα [17]) οὔτε πᾶν ὁμοίωμα ὅσα ἐν τῷ οὐρανῷ ἄνω καὶ ὅσα ἐπὶ τῆς γῆς κάτω οὐ προσκυνήσεις αὐτὰ [οὐδ' οὐ μὴ λατρεύσεις αὐτοῖς]. γ'. Οὐ λήψῃ [18]) τὸ ὄνομα Κυρίου τοῦ θεοῦ σου ἐπὶ ματαίῳ οὐδὲ μὴ καθαιρίσει [19]) Κύριος τὸν λα(μ)βάνοντα [20]) τὸ ὄνομα αὐτοῦ ἐπὶ ματαίῳ. δ'. Μνήσθητι τὴν ἡμέραν τοῦ σαββάτου ἁγιάζειν αὐτήν [21]), [ἓξ ἡμέρας ποιήσας πάντα τὰ ἔργα σου], τὴν δὲ ἡμέραν τοῦ σαββάτου μὴ ποιήσεις οὐδὲν οὔτε σὺ οὔτε ὁ υἱό(ς) σου οὔτε ἡ θυγάτηρ [22]) σου οὔτε ἡ παιδίσκη σου οὔτε τὸ ὑποζύγιόν σου [οὔτε τὸ ὑπόμοσχόν σου] οὔτε [23]) ὁ βοῦ(ς) σου [οὔτε ὁ προσήλυτος ὁ οἰκῶν ἐν σοὶ] οὔτε ὁ ἀργυρώνητό(ς) σου, ἀλλὰ ἀναπαύσονται [πάντες] οἱ ἐν τῷ οἴκῳ σου [καὶ ἐροῦσιν· αὕτη ἡ ἡμέρα κλητὴ ἁγία τῷ Κυρίῳ καὶ δοξάζουσιν Κύριον τὸν θεόν σου πάντες οἱ ἐν τῷ οἴκῳ σου], σὺ δὲ ἄπελθε εἰς τὸ ἅγιόν καὶ μαθήσῃ [24]) τὸν νόμον καὶ τὰς ἐντολὰς καὶ εὐλογηθήσῃ [25]) πα-

---

[1]) ἀπελεύσῃ. [2]) πρός. [3]) χρήσωνται. [4]) μάθωσι. [5]) Tit. exstat in margine inferiore cnfr p. 239 not. 15. [6]) ματαίαν. [7]) μετὰ ἀδίκου οὐ γενέσθαι. [8]) μετά. [9]) οἰκίᾳ σου. [10]) ἀδικίας. [11]) δίκαιον V. [12]) ὅς. [13]) θαυμάσῃς. [14]) δυνάστου. [15]) οὐ πορεύσει δόλος. [16]) συσσείσεται. [17]) εἶδος V. [18]) οὐκ ἐκλείψει. [19]) οὐδ' οὐ μὴ καθαρίσει. [20]) λαβόντα. [21]) αὐτό. [22]) θυγατέρα V. [23]) ἤ. [24]) μάθωσι. [25]) εὐλογηθήσεσθαι.

ρὰ τοῦ ἱερέως καὶ λύτρωσιν [λάβεις] ἁμαρτημάτων [1]) τῶν ἕξι [2]) ἡμερῶν τῆς ἑβδομάδος καὶ ἔσῃ εὐλογημένος. ε'. Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου ἵνα εὖ [3]) σοι γένηται παρ' αὐτῶν καὶ παρακάλει κληρονομῆσαι εὐχὴν πατρός σου καὶ μητρός σου καὶ μακροχρόνιος γενήσῃ [4]) ἐπὶ γήρους. ς'. Οὐ [5]) μοιχεύσεις, οὐ φονεύσεις, οὐ ποιήσεις συκοφαντίαν κατὰ τοῦ πλησίον [6]) σου, οὐ κλέψεις, οὐ ψευδομαρτυρήσεις [7]). ζ'. Οὐκ ἐπιθυμήσεις τὴν γυναῖκαν τοῦ πλησίον σου οὔτε τὸν παῖδα αὐτοῦ οὔτε τὴν θυγατέρα [8]) αὐτοῦ οὔτε τὴν παιδίσκην αὐτοῦ οὔτε τὸν ἀγρὸν αὐτοῦ [οὔτε τοὺς βόας αὐτοῦ] οὔτε τὸ ὑποζύγιον αὐτοῦ οὔτε πᾶν κτῆμα αὐτοῦ οὐδὲ ὅσα τὸν πλησίον σοῦ [9]) ἐστιν. η'. Ἐλάλησεν Κύριος πρὸς Μωσῆν λέγων· λάλησον τοῖς υἱοῖς Ἰσραὴλ καὶ ἐρεῖς αὐτοῖς· ἄνθρωπος ὃς καταράσεται [τὸν] θεὸν αὐτοῦ ἁμαρτίαν μεγάλην λήψεται ἑαυτῷ [10]). ὁ ἀράμενος ἀρὰν τὸ ὄνομα Κυρίου [αὐτοῦ] θανάτῳ θανατοῦται ἢ λίθοις λιθοβολήσει αὐτὸν πᾶσα συναγωγὴ υἱῶν [11]) Ἰσραήλ. ἐὰν προσήλυτος ἢ [12]) πτωχὸς ἀράσεται τὸ ὄνομα Κυρίου τοῦ θεοῦ, τελευτήσει [13]). θ'. Ἀπὸ προσώπου πολιοῦ [14]) ἀναστήσεις καὶ τιμήσεις [15]) πρόσωπον πρεσβύτου [16]) καὶ φοβηθήσῃ Κύριον τὸν θεόν σου [17]) [ἐγὼ γὰρ Κύριος ὁ θεός σου]. ι'. Ὅταν [18]) ὁ ἄνθρωπος πατάξῃ τὸν πατέρα αὐτοῦ ἢ τὴν μητέρα αὐτοῦ θανάτῳ θανατοῦσθαι [19]), ἔνοχος γὰρ θανάτου ἐστίν. οὐχ ἀποθανοῦνται πατέρες ὑπὲρ [20]) τέκνων καὶ υἱοὶ οὐχ ἀποθανοῦνται ὑπὲρ πατέρων, ἕκαστος γὰρ τῇ ἰδίᾳ ἁμαρτίᾳ [21]) ἀποθανεῖται. Ὅστις [22]) τύψει τὸν πατέρα αὐτοῦ ἢ τὴν μητέρα αὐτοῦ, θανατοῦσθαι [23]), φονεὺς γάρ ἐστιν.

Ταῦτα καὶ ἕτερα [πλείονα] ἐνομοθέτησεν ὁ θεὸς τῷ Μωϋσεῖ. καὶ ἦν Μωϋσῆς ἐν τῷ ὄρει τε(σ)σαράκοντα ἡμέρας καὶ τε(σ)σαράκοντα νύκτας. ὁ δὲ λαὸς συναχθέντες [ἐθυσίασαν τὸν μόσχον] ὅ(ν)περ [24]) τῇ χωνίᾳ ὁ χρυσὸς ἐποίησεν. εἶπεν δὲ Ἀαρὼν πρὸς αὐτούς· ἴδε, υἱοὶ [25]) Ἰσραήλ, οὗτός ἐστιν ὁ θεὸς ὁ ῥυσάμενός σε ἐκ γῆς [26]) Αἰγύπ-

---

[1]) ἁμαρτιῶν. [2]) ἕξ. [3]) εὐχή V. [4]) γένῃ. [5]) μή. [6]) πλησίου V. [7]) οὐ κλέψεις, οὐ ψευδ., οὐ συκοφαντήσεις κατὰ τοῦ πλησίον σου. [8]) τὴν θυγάτηρ V. [9]) οὐδ' ὅσα τῷ πλησίον αὐτοῦ. [10]) αὐτῷ. [11]) υἱοί V. [12]) ἐάν. [13]) θανατοῦται. [14]) In O excidit, V πολιοῦν quod correxi. [15]) ἀναστήσει ἐὰν τιμήσει. [16]) πρεσβυτέρου. [17]) αὐτοῦ. [18]) ἐάν. [19]) θανατοῦται [20]) ἐπί. [21]) τῇ αὐτῇ ἁμ. οὐκ. [22]) ὅς. [23]) θανατοῦται. [24]) οὗπερ. [25]) υἱοί om. [26]) ὁ ῥ. σε δουλείας.

του. καὶ ἔθυσαν υἱοὶ Ἰσραὴλ τῷ μόσχῳ [1]) εἰς ὄνομα θεοῦ καὶ ἔφαγον ἀπὸ τῶν θυσιῶν ἐν ἡμέρας εἴκοσι [2]) ἕως ὅτου [3]) κατέβη Μωϋσῆς ἀπὸ τοῦ ὄρους. Κατερχομένου δὲ αὐτοῦ συνήντησεν αὐτὸν [4]) Ἀαρὼν καὶ Ὢρ καί τινες τῆς γερουσίας τῶν υἱῶν Ἰσραήλ, καὶ ἐρωτηθέντες παρὰ τοῦ Μωϋσῆ [περὶ τοῦ λαοῦ] πῶς ἔχουσιν [5]) εἶπον αὐτῷ τὰ τοῦ πράγματος. θυμοῦ δὲ πλησθεὶς ὁ Μωϋσῆς συνέτριψεν τὰς πλάκας τὰς χειρὶ θεοῦ γραφείσας. καὶ μαρτυρεῖ μοι τῷ λόγῳ σοφός τις γράφων οὕτως· θεοτεύκτους [6]) πλάκας Μωϋσῆς γεγρα(μ)μένας τῷ θείῳ πνεύματι ἐν θυμῷ συνέτριψεν. Τούτων οὖν γινομένων ὠργίσθη Μωϋσῆς κατὰ τοῦ λαοῦ καὶ ἐλαμπρύνθη τὸ πρόσωπον τοῦ Μωϋσέως ὑπὲρ [7]) τὸν ἥλιον καὶ οὐκ ἴσχυον υἱοὶ Ἰσραὴλ ἀτενίσαι εἰς τὸ πρόσωπον τοῦ Μοϋσέως. τούτου βῆλον [8]) κρεμάσας ἔσωθεν ἐκάθητο [9]) Μωϋσῆς καὶ ἐδέχοντο τὰς φάσεις [10]) [οἱ] υἱοὶ Ἰσραὴλ διὰ τοῦ Ἀαρὼν διότι οὐκ ἠδύναντο ἀτενίσαι τὸ πρόσωπον τοῦ Μωϋσέως. Ἴδε [οὖν] τοὺς τρυφήσαντας [11]) καὶ τὸν νηστεύοντα [12]), πῶς οἱ ἰουδαῖοι τρυφήσαντες [13]) καὶ Μωϋσῆς νηστεύων [14]) ἐλαμπρύνθη τὸ πρόσωπον αὐτοῦ. διὰ τοῦτο ἐδεήθη Μωϋσῆς ἑτέρας νομοθεσίας καὶ ἀνελθὼν ἐν τῷ ὄρει ἔλαβεν ἑτέραν νομοθεσίαν ὁμοίαν τῆς πρώτης [15]).

Μετὰ δὲ τοῦτο εἶπεν Κύριος πρὸς Μωσῆν· ποίησόν μοι σκηνὴν κατὰ [16]) τὸν τύπον τοῦ οὐρανοῦ. καὶ προστάξει θεοῦ ἐπήρθησαν τὰ νέφη καὶ ὤφθη τὸ ἐκτύπωμα τοῦ οὐρανοῦ τῷ Μωϋσεῖ καθαρὸν καὶ εἶπεν αὐτῷ Κύριος· τοιαύτη(ν) μοι σκηνὴν ποίησον καὶ ἔσωθεν ταύτης προσενέγκεις μοι τὰς λατρείας, οὐ γὰρ βούλομαί σε [17]) θυσιάζειν με ἐν βουνοῖς καὶ πέτραις [18]) καὶ νάπαις, ἀλλ' ἔν(δο)θεν τῆς σκηνῆς ἥτις ἐστὶν ἐκτύπωμα τοῦ οὐρανοῦ [καὶ ποιήσεις τὴν σκηνὴν οὕτως· ποίησον αὐτὴν μονόστεγον κατὰ τὸ ἐκτύπωμα τοῦ οὐρανοῦ] καὶ ποιήσεις ἐν αὐτῇ [19]) χωρίσματα τρία διὰ δύο καταπετασμάτων καὶ τὸ μὲν ἔξωθεν τῆς σκηνῆς

---

[1]) τὸν μόσχον. [2]) ἐν ἡμέρᾳ εἰκοστῇ. [3]) ὅπου V. [4]) συνήντησαν αὐτῷ. [5]) ἔχωσιν. [6]) θεογράφους. [7]) παρά. [8]) καὶ δὴ βύβλον. Legendumne καὶ δὴ βέλος vel τὸ δὲ βέλος? [9]) καὶ ἐκ. V. [10]) τὰς φωνάς. [11]) τοὺς γραφήσαντας. [12]) τοὺς νηστεύοντας V. [13]) τρυφήσαντας V. [14]) νηστεύοντα (mediis praetermissis) νηστεύων γὰρ Μ. ἡμέρας μ'. [15]) πρόσωπον Μωσέως ὑπὲρ τὸν ἥλιον καὶ νομοθεσίας ἐδέξατο, αὐτοὶ δὲ υἱοὶ Ἰσραὴλ μὴ νηστεύσαντες οὐκ ἠξιώθησαν ἀκούειν τοῦ νόμου. καὶ ταῦτα πάλιν δεηθέντος τοῦ Μωϋσῆ ἑτέραν νομοθεσίαν ἐδέξατο. [16]) μετά V. [17]) σοί. [18]) πέτρας, V πέτροις. [19]) ποιήσεις αὐτήν V.

βάτον τοῖς πᾶσιν, τὸ δὲ μέσον τῆς (σ)κηνῆς βάτον τοῖς καθαροῖς, τὸ δὲ ἔνδοθεν τῆς (σ)κηνῆς βάτον [1]) μόνον τοῖς ἱερεῦσι [2]). πᾶς δὲ ὁ βουλόμενος εἰσελθεῖν ἐν τῇ σκηνῇ [3]) λουέσθω ὕδατι καθαρῷ ἔμπροσθεν τῆς σκηνῆς καὶ οὕτως εἰσερχέσθω [4]) [ἐν τῇ σκηνῇ. καὶ] μετὰ τοῦτο ποίησόν [μοι] στολὴν ἁγίαν καὶ ἔνδυσον αὐτὴν Ἀαρὼν [τὸν ἀδελφόν σου] καὶ εἰσερχέσθω εἰς τὸ ἄδυτον, εἰς τὸ ἐνδότερον [5]) τῆς σκηνῆς καὶ ἐξιλάσεται περὶ τῆς (σ)κηνῆς καὶ περὶ [6]) παντὸς κόσμου [καὶ περὶ [7]) ἀέρων καὶ ὄμβρων καὶ περὶ [7]) βασιλέων καὶ ἀρχόντων καὶ περὶ λαοῦ καὶ παντὸς κόσμου. καὶ] ποιήσεις μοι [8]) ἐν τῇ σκηνῇ βωμοὺς δύο καὶ τὸν μὲν ἕναν ἔσωθεν τῶν ἀδύτων, τὸν δὲ ἕτερον εἰς τὸ μέσον τοῦ ἁγίου, καὶ τὸ μὲν ἔξωθεν δεχέσθω ἄρτο(ν) [9]) [καὶ κρέη] καὶ οἶνον, ὁ δὲ ἔσωθεν βωμὸς [10]) δεχέσθω θυμίαμα καὶ μόνον. Καὶ ἐποίησε πάντα Μωϋσῆς τὰ προσταχθέντα αὐτῷ ὑπὸ τοῦ θεοῦ καὶ μετὰ τοῦτο εἶπεν Κύριος ὁ θεὸς τῷ Μωϋσεῖ· ὅρα μοι ἐνταῦθα ἃ [11]) ἐγώ σοι ἐντέλ(λ)ομαι φυλάξεις [12]) καὶ εἰπὲ πρὸς Ἀαρὼν τὸν ἀδελφόν σου καὶ μὴ εἰσερχέσθω κατὰ πᾶσαν ὥραν εἰς τὸ ἅγιον καὶ οὐ μὴ ἀποθάνῃ. καὶ διετάξατο Κύριος ὁ θεὸς τῷ Μωϋσεῖ διατάγματα καὶ συνεγράψατο καὶ τὴν γέννησιν τῶν ὑπὸ θεοῦ κτισθέντων πάντων καὶ περὶ λυτρώσεως ἁμαρτιῶν καὶ ἐξιλασμάτων [13]) ἀνθρώπων ἁμαρτανόντων.

Περὶ τῶν ἐγκαινίων τῆς σκηνῆς [14]). Ἐγένετο δὲ ἐν τῷ ἐγκαινίζεσθαι τὴν σκηνὴν τοῦ μαρτυρίου κατέβη Κύριος ἐν (ν)εφέλῃ [καὶ ἐκάλυψεν ἡ νεφέλη] εἰς [15]) τὴν σκηνήν, μόνος δὲ Μωϋσῆς ὑπῆρχεν [16]) ἔνδοθεν τῆς σκηνῆς [οἱ δὲ υἱοὶ Ἰσραὴλ οὐκ ἠδύναντο εἰσελθεῖν εἰς τὴν σκηνήν]. ἰδόντες δὲ αἱ λοιπαὶ φυλαὶ τὴν δόξαν [τοῦ] Μωϋσέως καὶ Ἀαρὼν φθόνῳ ληφθέντες διεγόγγυζον κατ' αὐτῶν τῶν δύο [17]) λέγοντες· οὐχὶ καὶ ἡμεῖς τοῦ Ἰακὼβ [18]) ἐσμεν σπέρμα; οὐχὶ καὶ ἡμᾶς [ὁ θεὸς] τὴν Ἐρυθρὰν ἐπέρασεν [19]) θάλασσαν; [καὶ] διὰ τί οὐ μετέδωκεν καὶ ἡμᾶς τῆς ἱερω-

---

1) βατόν (sic ter). 2) ἱεροῖς V. 3) εἰς τὴν σκ. 4) εἰσέρχεσθαι V. 5) εἰς τὰ ἐνδότερα. 6) παρά. 7) παρά quod correxi. 8) V add. δέ quod om. 9) ἄρτους. 10) τὸ δὲ ἔσωθεν μέν. 11) ὅρα μοι πάντα ὅσα. 12) φυλάξαι. 13) ἐξιλάσματα. 14) Titul. deest. 15) εἰς om. 16) μόνως δὲ Μ. καὶ Ἀαρὼν ὑπῆρχον. 17) ἐγόγγυζον κατὰ Μωσῆ καὶ Ἀαρών. 18) Ἰσραήλ. 19) διεπέρασεν.

σύνης Μωσῆς [1]), ἀλλὰ τὸν ἀδελφὸν [2]) αὐτοῦ Ἀαρών; καὶ ἐπανέστησαν κατὰ τοῦ Μωϋσῆ καὶ ἐλυπήθη Μωϋσῆς καὶ ᾐτήσατο τὸν Κύριον ἕνεκα τοῦτο [3]) καὶ εἶπεν αὐτῷ Κύριος· ἔξελθε καὶ λάβε δώδεκα ῥάβδους κατὰ φυλὴν ῥάβδον μίαν [τῶν ιβ' φυλῶν Ἰσραὴλ] καὶ εἰσάγαγε [4]) αὐτὰς εἰς τὴν σκηνὴν καὶ ἐξελθὼν διάδος αὐτοῖς ταύτας [5]) κἀγὼ δείξω αὐτοῖς τὰ θαυμάσιά μου. καὶ ἐποίησεν Μωϋσῆς κατὰ τὸ πρόσταγμαν Κυρίου τοῦ θεοῦ καὶ ἐξελθὼν ἐκ τῆς σκηνῆς εὗρεν πάντα τὸν λαὸν τοῦ Ἰσραὴλ προσδεχομένους αὐτὸν κύκλῳ τῆς σκηνῆς καὶ ἐπέδωκεν αὐτοῖς τὰς ῥάβδους [κατὰ φυλὴν ῥάβδον μίαν] καὶ οὐκ ἦν σημεῖον ἐν αὐτοῖς. ὕστερον δέδωκεν [καὶ] τὸν [6]) Ἀαρὼν τὴν ἰδίαν ῥάβδον καὶ εὐθὺς ἐβλάστησεν [ἡ ῥάβδος] καὶ ἤνεγκεν [7]) φύλ(λ)α καὶ τρία καρύα [8]). καὶ ἰδὼν ὁ λαὸς τὸ θαῦμα ἐδόξασαν [9]) τὸν θεὸν Ἰσραήλ. Καὶ μαρτυρεῖ μοι τῷ λόγῳ ὁ γράφων ἐν ὕμνοις [10]) οὕτως· ῥάβδος εἰς τύπον τοῦ μυστηρίου παραλα(μ)βάνεται, τῷ βλαστῷ γὰρ προκρίνει τὸν ἱερέαν τῆς στερευούσης. τουτέστιν ἡ βλαστήσασα ῥάβδος προέκρινεν τὸν Ἀαρὼν εἰς ἱερέαν [11]). καὶ ἦν Ἀαρὼν ἱερατεύων [τὴν σκηνὴν] κατὰ τὸ πρόσταγμα [τοῦ] Κυρίου. Καὶ πάλιν ἀνέστησαν ἄνδρες ἐκ τῆς φυλῆς Ρουβὶμ τῆς συναγωγῆς Δαθὰν καὶ ἐπανέστησαν ἐπανάστασιν κατὰ Μωσῆν καὶ Ἀαρὼν λέγοντες· διὰ τί καὶ ἡμεῖς μὴ προσφέρομεν τῷ θεῷ θυμίαμα εἰ μὴ μόνον Ἀαρών; μὴ γὰρ μόνον [τῷ] Ἀαρὼν ὤφθη ὁ θεός [12]); [οὐχὶ καὶ ἡμεῖς αὐτὸν πάντες ἑωράκαμεν ἐν τῷ ὄρει Σινᾶ;] οὐχὶ καὶ ἡμεῖς τοῦ Ἰακὼβ ἐσμεν σπέρμα [13]) καὶ τὴν δωδεκάφυλον καὶ ἡμεῖς συμπληροῦμεν; καὶ λαβόντες τὰ πυρεῖα ἔβαλον [14]) θυμίαμα καὶ ἐκάπνιζον [15]). Ὠργίσθη δὲ ἐπ' αὐτοῖς Κύριος ἐν θυμῷ [16]) καὶ χανοῦσα ἡ γῆ κατέπιεν τὴν συναγωγὴν Δαθὰν καὶ ἤρξατο καὶ τὴν συναγωγὴν Ἀβηρών, καὶ ἐγένετο ἐπ' αὐτοῖς θρῆνος καὶ κλα(υ)θμὸς οὐκ ὀλίγος καὶ ἤρξα(ν)το θρηνεῖν υἱοὶ Ἰσραὴλ περὶ τῆς συμφορᾶς ταύτης. ἀκούσας δὲ Μωϋσῆς ἦλθεν δρομαῖος καὶ ηὗρεν ὅτι ἡ θραῦσις ἐκάλυψεν καὶ τὴν συναγωγὴν Ἀβηρὼν [τὰ γὰρ πυρεῖα ἅπερ ἐκρατοῦντο καὶ ἐκάπνιζον προστάξει θεοῦ φλογίσαντες κατ-

---

[1]) ἡμῖν τὴν ἱερωσύνην M. [2]) τῷ ἀδελφῷ. [3]) ἕνεκεν τούτου. [4]) εἰσαγάγετε. [5]) ταύταις V. [6]) τῷ [7]) ἐποίησε. [8]) καρύδια. [9]) ἐδόξαζε. [10]) ὁ ὑμνογράφος. [11]) τὸν ἱερέα Ἀαρὼν εἰς ἱερωσύνην. [12]) ὁ Κύριος. [13]) σπέρματα. [14]) λαβόντες περιέβαλον V. [15]) ἐθυμίαζον. [16]) ὀργισθεὶς δὲ Κ. ἐν θυμῷ ἐπ 'αὐτοῖς.

ἔκαυσαν αὐτούς]. Ἐκτείνας δὲ Μωϋσῆς τὰς χεῖρας ἱκέτευσεν τὸν θεὸν καὶ κατεπαύθη τοῦ κατεσθίειν αὐτοὺς ἡ φλόξ [1]). [Εἶπε δὲ Κύριος πρὸς Μωϋσῆν· ἔασόν με καταλαβεῖν αὐτοὺς ἐν τῇ ἐρήμῳ ταύτῃ καί σε ποιήσω βασιλέα εἰς ἔθνος μέγα διότι ἔθνος παραπικραῖνόν ἐστι καὶ στραγγαλιῶδες. ὁ δὲ Μωσῆς ἦν παρακαλῶν τὸν θεὸν ὑπὲρ αὐτῶν. Καὶ] περὶ ταύτης τῆς [2]) θραύσεως μέμνηται ὁ ψαλμῳδὸς λέγων [3]) [οὕτως]· ἠνοίχθη ἡ γῆ καὶ κατέπιεν Δαθὰν καὶ ἐκάλυψεν ἐπὶ τὴν συναγωγὴν Ἀβηρὼν καὶ ἐξεκαύθη πῦρ ἐν τῇ συναγωγῇ αὐτῶν, φλὸξ κατέφλεξεν αὐτούς [4]). ὁμοίως τῇ ἡμέρᾳ τοῦ σαββάτου ἦλθόν τινες ξυλεύσασθαι ξύλα [5]) καὶ κατέφλεξεν αὐτοὺς ἡ φλὸξ ἐλθοῦσα ἐκ τῆς ἐρήμου. Καὶ ἕτερα πολλὰ [6]) περὶ τῆς νομοθεσίας καὶ περὶ τῶν πρακτέων αὐτῶν [7]) ἐστιν τοῦ λέγειν, ἀλλ' ἐν παραδρομῇ ταύτῃ ποιοῦμεν τὰς ἱστορίας αὐτῶν μόνον γράφοντες ἁρμοδίως γράφει (sic) [8]). Καὶ μετὰ ταῦτα κατελάλησεν ἡ ἀδελφὴ Μωϋσέως περὶ τῆς Αἰθιωπίσσης [9]) τῆς γυναικὸς αὐτοῦ καὶ παρευθὺς ἐλεπρώθη, ὁ δὲ Μωσῆς [10]) ὁ ἀδελφὸς αὐτῆς ἐλυπήθη διὰ τὴν ἀδελφὴν αὐτοῦ καὶ αἰτησάμενος τὸν θεὸν ἰάσατο αὐτήν.

Περὶ τῆς κιβωτοῦ ἧς ἐποίησεν Μωσῆς [11]). Καὶ εἶπεν Κύριος πρὸς Μωϋσῆν· ποίησον κιβωτὸν ἐκ ξύλων μυρσίνης πέντε ἥμισυ πηχέων [12]) τὸ μῆκος καὶ πηχέων ἡμίσεων [13]) τὸ πλάτος καὶ ἐνδύσεις αὐτὴν χρυσίον καθαρὸν ἔσωθεν καὶ ἔξωθεν καὶ θήσεις ἔνδοθεν αὐτῆς [14]) τὴν ῥάβδον Ἀαρὼν καὶ τὴν σὴν ῥάβδον καὶ ποιήσεις στάμνον χρυσὸν [15]) καὶ βάλεις [16]) ἐν αὐτῇ ἀπὸ τοῦ μάν(ν)α καὶ ἔσται διαπεφυλαγμένον τοῖς ἐκγόνοις αὐτῶν ὡς ἂν γινώσκωσιν [17]) τὰ θαυμάσια [18]) ἃ ἐποίησα μετὰ τῶν πατέρων αὐτῶν. καὶ βάλεις [19]) ἔνδοθεν τῆς κιβωτοῦ τὰς πλάκας τοῦ νόμου, γράψεις καὶ τὰ λόγια τοῦ νόμου ἐν βεβράνοις ἀθίκτοις καὶ ἀναγινώσκεις αὐτὰ [20]) κατὰ πᾶν σάββατον εἰς ἐπήκοον παντὸς τοῦ λαοῦ ὡς ἂν μάθωσι τὰς τοῦ νόμου ἐντολὰς πᾶς ὁ οἶκος [21]) Ἰσραήλ. ὅτε δὲ μέλ(λ)ετε ἀναζεῦξαι ἔνδοθεν [22]) ποιήσεις ἅμαξαν μικρὰν καὶ θήσεις ἄνω-

---

[1]) ἐπαύθη ἡ θραῦσις καὶ ἡ κατεσθίουσα αὐτοὺς φλόξ. [2]) περὶ τῆς τοιαύτης [3]) γράφων. [4]) ἁμαρτωλούς. [5]) ξύλον. [6]) ἕτεροι πολλοί. [7]) V αὐτοῦ, O om. [8]) in O plura exciderunt. [9]) θεοπήσης. [10]) καὶ Μ. [11]) Titul. deest. [12]) πηχῶν. [13]) μιᾶς ἥμισυ πηχῶν. [14]) θ. ἐν αὐτῇ. [15]) χρυσῆν. [16]) βάλε. [17]) γνώσωσιν. [18]) V addit αὐτοῦ quod omisi. [19]) βάλε. [20]) ἀναγίνωσκε αὐτάς. [21]) πᾶς ὁ λαός. [22]) ἔνθεν.

θεν αὐτῆς τὴν κιβωτὸν ἐπὶ δίφρου καὶ ζεύξεις μόσχους ἐνιαυσίους ἀπειροζύγους ἕλκειν [1]) τὴν ἅμαξαν τῆς κιβωτοῦ [καὶ] οὔτε τοὺς μόσχους [προσψαύσαι τις οὔτε τὴν ἅμαξαν] εἰ μὴ μόνοι οἱ ἱερεῖς καὶ λευῖται· αὐτοὶ δουλεύσωσιν τὴν κιβωτόν. ὁ δὲ τολμήσας [2]) προςεγγίσαι τὴν ἅμαξαν τῆς κιβωτοῦ ἢ τὴν κιβωτὸν τὴν ἁγίαν, θανάτῳ καταδικασθήσεται [ἀλλὰ μόνοι ἱερεῖς καὶ λευῖται δουλεύσωσι τὴν κιβωτὸν τὴν ἁγίαν καὶ τὰ αὐτῆς πάντα]. Ποιήσεις δὲ καὶ θυμιατήριον χρυσοῦν καὶ ἔχεις [3]) τοῦτο θυμιᾶν [4]) τὴν κιβωτὸν τὴν ἁγίαν [καὶ τὰ αὐτῆς πάντα]. Πάντα δὲ ἐκατεσκεύασεν [5]) Μωϋσῆς καθὰ [6]) ἐνετείλατο αὐτῷ Κύριος ὁ θεός. Ἀπάραντες δὲ ἀπὸ τοῦ ὄρους Σινᾶ οἱ υἱοὶ Ἰσραὴλ διήλθωσαν ἕως οὗ ἔφθασαν εἰς τὴν ἔρημον [7]) Κάδ(δ)ης. καὶ ἦν αὐτὴ [8]) μεστὴ ὄφεων, καὶ κατέσθιον [9]) οἱ ὄφεις τοὺς υἱοὺς Ἰσραὴλ καὶ ἀπέθνησκον. [εἶχον εἰς ἀνάμνησιν πρὸ τοῦ τὰ κρέη τῆς Αἰγύπτου καὶ τὰ σκόροδα καὶ τὰ κρόμυα, ὅταν δὲ κατέσθιον αὐτοὺς οἱ ὄφεις ἐδείκνυν τὴν συμφορὰν τῶν δακνόντων αὐτοὺς [10]) ὄφεων, καὶ ἐπαύσα(ν)το μαχόμενοι τὸν Μωσῆν. δακνοῦντες οὖν αὐτοὺς οἱ ὄφεις ἐθανατοῦντο, καὶ ἦν θρῆνος τοῖς υἱοῖς Ἰσραήλ. Τοῦτο δηλῶν ὁ ψαλμῳδὸς ἔλεγεν· καὶ συσσείσει Κύριος τὴν ἔρημον Κάδδης]. Καὶ (αἰ)τησάμενος [11]) δὲ Μωϋσῆς Κύριον τὸν θεὸν [ἐπὶ τούτου] εἶπεν αὐτὸν [12]) Κύριος ὁ θεός· ποίησον ὄφιν χαλκοῦν καὶ στῆσον ὄρθριον ξύλον πήχεας [13]) πεντήκοντα κἀκεῖ ἥλωσαι [14]) τὸν χαλκοῦν ὄφιν [ἐγκαρσίως εἰς ὕψος καὶ] παύσονται οἱ δάκνοντες ὄφεις. [Καὶ τοῦτο ποιήσας Μωϋσῆς ἔστησαν οἱ δάκνοντες ὄφεις. ἀλλὰ καὶ ὅσοι ἔτυχον δηχθέντες ὑπὸ τῶν ἰοβόλων ὄφεων καὶ τὸ ξύλον ἀτενίσαντες ἐῤῥύοντο τοῦ θανάτου]. Μέμνηται οὖν [15]) τῆς ἱστορίας ταύτης σοφός τις [16]) ἐν ὕμνοις γράφων οὕτως· ἀνέθηκεν Μωϋσῆς ἐπὶ στήλης ἄκος [17]) φθοροποιοῦ λυτήριον καὶ ἰοβόλου δήγματος ξύλο(ν) τύπο(ν) σταυροῦ [18]) [καὶ τὰ λοιπά [19]). ἐγκάρσιον δὲ τὸ πλάγιον λέγει. καὶ πολλαχοῦ εἰς τὰς θείας γραφὰς εὑρήσεις περὶ τῆς ἱστορίας ταύτης].

Ῥυσθέντες δὲ τοῦ πονηροῦ πειρασμοῦ τούτου [20]) καὶ πλησιά-

---

[1]) ἕλκον V. [2]) καὶ εἰ τολμήσαι τις. [3]) εἰσχύς V. [4]) θυμιάζειν. [5]) κατεσκεύασε. [6]) καθώς. [7]) οἱ υἱοὶ Ἰσραὴλ ἀπ' ὄρους Σινᾶ ἦλθον εἰς τὴν ἔρημον. [8]) ἡ ἔρημος ἐκείνη. [9]) ἔδακνον. [10]) αὐτοῖς. [11]) αἰτήσας. [12]) αὐτῷ. [13]) πηχῶν. [14]) ἡλώσας. [15]) δέ. [16]) ὁ σοφός. [17]) ἄκων V. [18]) ξύλ. τ. σταυροῦ om. [19]) post λοιπά exciderunt quaedam? [20]) τὸν πονηρὸν πειρασμὸν τοῦτον V.

σαντες εἰς τὴν γῆν τῆς ἐπαγγελίας ἕως ὀφρύος τοῦ ὄρους οὐκ ἠβουλήθησαν εἰσελθεῖν ἐν αὐτῇ, ἀλλ' εἶπο(ν) τῷ Μωϋσεῖ· ἀπόστειλον ἄνδρας σοφοὺς καὶ δυνατοὺς κατασκοπεῦσαι [1]) τὴν γῆν ἣν ὤμοσεν ὁ θεὸς [2]) [δοῦναι] τοῖς πατράσιν ἡμῶν, καὶ ἐάν ἐστιν ἀγαθὴ οἰκήσομεν ἐν αὐτῇ [3]) καὶ οἱ ἐ(γ)χώριοι φοβοῦνται ἡμᾶς. καὶ εἶπεν Μωϋσῆς πρὸς αὐτούς· ἐκλέξασθε ὑμεῖς οὓς ἂν βούλεσθε ἀπὸ τῶν δώδεκα φυλῶν καὶ ἀποστελῶ [4]) κἀγὼ τοὺς ἐμοὺς ἀνθρώπους [καὶ κατασκοπεύσωσι τὴν γῆν]. καὶ συναχθέντες ἅπαντες [5]) ἔστειλαν ἄνδρας ὡσεὶ [6]) πεντήκοντα καὶ Μωϋσῆς ἀπέστειλεν ['Ιησοῦν] τὸν υἱὸν τοῦ Ναυὶ καὶ [τὸν] Φινεές, καὶ ἀπῆλθον ἕως ὀφρύος τοῦ ὄρους καὶ εὗρωσαν καρποὺς [7]) τῶν δένδρων, ῥοίας [8]) καὶ κυδώνας [καὶ βότρυας] οἷα οὐκ εἰσὶν ἐν ἑτέρᾳ χώρᾳ [9]), παρὰ φύσιν γὰρ ὑπῆρχον παμ(μ)εγεθεῖς [10]), τὸν γὰρ βότρυν ἄνδρες δύο ἐβάσταζον, ὁμοίως καὶ ῥοίαι καὶ κυδῶναι [11]) [οἷον κιτρία ἐτύγχανον]. 'Ελθόντες δὲ [12]) οἱ πεντήκοντα ἄνδρες ἔψεξαν τὴν γῆν καὶ ἦν θρῆνος πολὺς ἐν τῇ παρεμβολῇ οὐ μικρὸν [13]) λέγοντες· ὅτι ἐπλανήθημεν ἀκολουθήσαντες [14]) Μωϋσεῖ καὶ ἰδοὺ κινδυνεύσομεν [15]) ἐν τῇ ξένῃ χώρᾳ. ἐπλανήθημεν [γὰρ λέγοντες] ὅτι θεῷ ἀκολουθοῦμεν καὶ οὐκ ἔστιν θεός, κρεῖττον γὰρ ἦν οἰκεῖν ἐν Αἰγύπτῳ καὶ δουλεύειν Αἰγυπτίους [16]) ἢ γενέσθαι κατάγελος Χαναναίοις. 'Ακούσας δὲ Μωϋσῆς τὸν κλα(υ)θμὸν αὐτῶν διερώτα [17]) [τὸν 'Ιησοῦν] τὸν υἱὸν τοῦ Ναυὶ [καὶ τὸν Φινεές. οἱ δὲ ἐπαίνεσαν τὴν γῆν] καὶ τὸν καρπὸν αὐτῆς, τοὺς δὲ Χαναναίους τοὺς κατοικοῦντας [18]) τὴν γῆν ἐκείνην ὡς μύρμηγγες [19]) ἐνώπιον ἡμῶν λογίζονται. Καὶ Μωσῆς ἐπερώτησεν [20]) τὸν θεὸν καὶ ἀπεκρίθη αὐτῷ Κύριος καὶ εἶπεν· ὅτι ἐποίησας τοῦτο καὶ κατεσκόπευσας τὴν γῆν μου ἣν ἐπηγγειλάμην δοῦναι τὸ σπέρμα (=τῷ σπέρματι) τοῦ 'Αβραὰμ εἰς κατάσχεσιν αἰώνιον καὶ σὺ μετ' αὐτῶν σκληροτράχηλος ἐφάνης κατασκοπεῦσαι [21]) τὴν γῆν μου καὶ οὐκ εἰσήκουσας τῆς φωνῆς μου, ἀλλ' ἀπειθησάντων [22]) [μοι ὅτι ἀπείθησάν] με τοῦ μὴ εἰσελθεῖν εἰς

[1]) ἀποστεῖλαι ἄν. σ. καὶ ἐπιστήμους καὶ κατασκοπῆσαι. [2]) ὤμ. Κύριος. [3]) ἐὰν οὐκ ἔστιν ἀγαθὴ οἰκήσομεν ἐνθάδε, ὅτι ἀγαθὴ γῆ ἐστιν ἐνθάδε. [4]) στελῶ. [5]) πάντες. [6]) ὡσεί om. [7]) εὑρὼν τὸν καρπόν. [8]) ῥοία. [9]) γῇ. [10]) ἐν μεγέθει. [11]) ῥόδον (sic) καὶ κυδώνην. [12]) τοίνυν. [13]) οὐ μικρά. [14]) ἀκολουθεῖν. [15]) κινδυνεύομεν. [16]) Αἰγυπτίοις. [17]) διηρώτα. [18]) οἰκοῦντας V. [19]) μύρμηκες. [20]) ἐπηρώτησε, V addit ἡμῶν quod omisi. [21]) καὶ κατεσκόπευσας. [22]) ἀλλὰ τῶν ἀπειθησάντων.

καὶ ἐπέδειξεν [1]) αὐτῷ Κύριος ξύλον καὶ ἐνέβαλον [2]) αὐτὸ εἰς τὸ ὕδωρ καὶ ἐγλυκάνθη τὸ ὕδωρ. ἐκεῖ ἔθετο [αὐτῷ] Κύριος ὁ θεὸς δικαιώματα καὶ κρίσεις καὶ ἐκεῖ αὐτὸν ἐπείραζεν καὶ εἶπεν· ἐὰν ἀκοῇ ἀκούσῃς [3]) τῆς φωνῆς Κυρίου τοῦ θεοῦ σου καὶ τὰ ἀρεστὰ ποιήσῃς [4]) ἐνώπιον αὐτοῦ καὶ ἐνωτίσῃ τὰς ἐντολὰς αὐτοῦ καὶ φυλάξῃς [5]) πάντα τὰ δικαιώματα αὐτοῦ, πᾶσαν νόσον ἣν ἐπήγαγον τοῖς Αἰγυπτίοις οὐκ ἐπάξω ἐπὶ σέ, ἐγὼ γάρ εἰμι Κύριος ὁ ἰώμενός σε. Καὶ ἦλθον εἰς Ἐλὴμ καὶ ἦσαν ἐκεῖ δώδεκα πηγαὶ ὑδάτων καὶ ἑβδομήκοντα στελέχη φοινίκων, παρενέβαλον δὲ ἐκεῖ πᾶσα συναγωγὴ υἱῶν Ἰσραήλ.

Περὶ τῶν ιβʹ πηγῶν [6]). Τὰς δώδεκα πηγὰς τῶν ὑδάτων προδηλοῦσι τοὺς δώδεκα ἀποστόλους. διὰ τί [δὲ] καὶ δώδεκα πηγαὶ ὑδάτων εὑρέθησαν; ἵνα ἑκάστη φυλὴ τὴν ἰδίαν πηγὴν κέκτηται καὶ μὴ διαμάχωνται. καὶ ἑβδομήκοντα στελέχη [τῶν] φοινίκων; φοίνικες δὲ οἱ δώδεκα ἀπόστολοι, στελέχη δὲ αὐτῶν οἱ ἑβδομήκοντα μαθηταί εἰσιν [7]). Παραβαλόντες [8]) δὲ ἐκεῖ παρὰ τὰ ὕδατα ἀπῆραν ἐξ Ἐλὴμ καὶ ἦλθεν πᾶσα [ἡ] συναγωγὴ υἱῶν Ἰσραὴλ εἰς τὴν ἔρημον Σοὺρ ἥ [9]) ἐστιν ἀναμέσον Ἐλὴμ καὶ ἀναμέσον Σινᾶ. καὶ παρενέβαλον ὑποκάτω τοῦ ὄρους. Καὶ θύσαντος Μωϋσῇ τῷ θεῷ [10]) εἶπεν αὐτῷ Κύριος· ἀνάβηθι πρός με εἰς τὸ ὄρος καὶ δώσω σοι τὰ πηξία τὰ λίθινα, τὸν νόμον καὶ τὰς ἐντολὰς ἃς ἔγραψα νομοθετῆσαι αὐτάς [11]). Καὶ ὀρθρίσας Μωϋσῆς τῷ πρωῒ ἀνέβη εἰς τὸ ὄρος καὶ ἦν ἐκεῖ τεσ(σ)αράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας. παρήγγειλε δὲ τῷ λαῷ λέγων· ἰδοὺ ἐγὼ ἀνέρχομαι ἐν τῷ ὄρει Κυρίου καὶ ἰδοὺ Ἀαρὼν καὶ Ὢρ [μεθ' ὑμῶν οἱ ἀδελφοί μου] καὶ ἐάν τινα [12]) συμβῇ κρίσις προπορευέτωσαν αὐτοῖς [13]), καὶ φυλάξατε τεσσαράκοντα ἡμέρας νηστεύοντας [14]) [ἕως οὗ ἔλθω ἀπὸ τοῦ ὄρους. Οἱ δὲ μὴ φυλάξαντες τὴν ἐντολὴν οὐκ ἐνήστευσαν] ἕως οὗ κατέλθῃ [15]) Μωϋσῆς, ὁ δὲ Ἀαρὼν οὐκ ἤφινεν [16]) αὐτούς, ἀλ(λ)' ἔλεγεν [17]) [αὐτοῖς]· φυλάξατε ἕως τοῦ ὑποστρέψαι [18]) Μωϋσῆς ἀπὸ τοῦ ὄρους. οἱ δὲ οὐκ ἠνέσχοντο [19]) καὶ ὁ

---

[1]) ἔδειξεν [2]) ἔβαλεν. [3]) ἀκουῇ (in O excidit) ἀκούσῃ V. [4]) ποιήσῃ V. [5]) φυλάξῃ V. [6]) Inscribitur solum ἑρμηνεία. [7]) μαθηταὶ τῶν ἀποστόλων εἰσίν. [8]) παραβάλλονται V. [9]) ὁ V. [10]) καὶ ἔθυσε Μωσῆς θυσίαν Κυρίῳ τῷ θεῷ καί. [11]) αὐτοῖς. [12]) τινί. [13]) προπορεύεσθε αὐτοῖς [14]) νηστεύοντες. [15]) ἦλθε. [16]) ἤφιεν. [17]) ἔλεγον V. [18]) ἕως οὗ ἔλθῃ. [19]) ἠνέχοντο V.

'Αρὼν ἐλυπεῖτο περὶ [1]) τοῦ λαοῦ. ὁ δὲ λαὸς ἠνάγκαζεν τὸν 'Αρὼν λέγοντες [2])· δὸς ἡμῖν θεὸν ἵνα προσκυνήσαντες λύσωμεν τὴν νηστείαν, ὁ γὰρ Μωσῆς οὐκ οἴδαμεν τί γέγονεν. ἀγανακτήσας δὲ 'Αρὼν εἶπεν πρὸς τὸν λαόν· ἀγάγετέ μοι τὰ τῆς Αἰγύπτου ἐγκόσμια [3]) ἅπερ ἐκεῖθεν [4]) ἐξηγάγετε καὶ βάλωμεν αὐτὰ εἰς τὸ πῦρ καὶ οἷος θεὸς φανερωθῇ τοῦτον καὶ λατρεύσομεν. τοῦτο δὲ εἶπεν 'Αρὼν βουλόμενος αὐτοῖς ἀναχαιτίσαι τὴν ὁρμὴν [5]) μή πως ἐλεήσωσι τὸν χρυσὸν [6]) καὶ τὸν ἄργυρον τοῦ χωνεῦσαι ταῦτα [7]) καὶ κρατήσωσιν τῆς νηστείας. οἱ δὲ διὰ τὴν ἄστατον αὐτῶν γαστριμαργίαν ἤνεγκαν τὰ ἀργυρᾶ [αὐτῶν καὶ τὰ χρυσᾶ] καὶ ἀνάψας πῦρ ὁ 'Αρὼν ἔβαλεν ταῦτα ἐν [8]) αὐτῷ, καὶ χωνευθέντα [9]) ἐγένοντο ὡς ὁμοίωμα μόσχου, καὶ ἰδόντες [10]) πᾶς ὁ λαὸς προσεκύνησαν αὐτόν [11]). Ἔγνω δὲ Μωϋσῆς τὸ δρᾶμα ἐν τῷ ὄρει, τὴν παρονομίαν τοῦ λαοῦ καὶ ἐλυπήθη. εἶπεν δὲ Κύριος πρὸς Μωϋσῆν [12])· ἄφες ἐξολοθρεύσω [13]) αὐτοὺς καὶ ποιήσω σε εἰς ἔθνος μέγα. ὁ δὲ Μωσῆς οὐκ ἠνέσχετο, ἀλλ' εἶπεν πρὸς Κύριον· εἰ βουληθῇς τούτους ἀπολέσαι [14]) κἀμὲ συναπόλεσον μετ' αὐτοῖς, μή πως καυχήσωνται τὰ ἀλ(λ)όφυλα ἔθνη λέγοντες· ποῦ ἐστιν ὁ θεὸς αὐτῶν; Καὶ ταῦτα μὲν οὕτως.

Μωσῆς [15]) δὲ ἀνελθὼν ἐν τῷ ὄρει καὶ ἐδόθη αὐτῷ νόμος εἰς παιδαγωγίαν ὡς ἂν μάθωσιν τὰς ἐντολὰς Κυρίου καὶ τὰ δικαιώματα αὐτοῦ. καὶ εἶπεν Κύριος πρὸς Μωσῆν· ταῦτα τὰ δικαιώματα ἃ δίδωμί σοι καὶ ἁγιάσῃς [16]) τὴν ἑβδόμην ἡμέραν καὶ καλέσῃς αὐτὴν σάββατον καὶ πᾶν ἔργον οὐ προέσθαι ἐν ταῖς χερσὶν ὑμῶν. ἀλλ' ἐν ταύτῃ τῇ ἡμέρᾳ ἀναπαύσεται ὁ βοῦ(ς) σου καὶ τὸ ὑποζύγιόν σου [καὶ ὁ προσήλυτός σου] καὶ ὁ ἀργυρώνητό(ς) σου ἀναπαύσεται καὶ πάντες οἱ ἐν τῷ οἴκῳ σου ἀναπαύσονται, καὶ ἐροῦσιν· αὕτη ἡ ἡμέρα [17]) κλητὴ ἁγία τῷ Κυρίῳ. καὶ ἔσται ὑμῖν τοῦτο κατὰ πᾶν σάββατον αἰώνιον, νόμιμον καὶ οὐ ποιήσῃς ἔργον ἐν ταῖς χερσίν σου τῇ ἡμέρᾳ τοῦ σαββάτου, ἀλλ'

---

[1]) ἐλυπήθη ὑπέρ. [2]) λέγων. [3]) κόσμια. [4]) ἐκεῖσε. [5]) ἀναχαιτίπαι τῆς ὁρμῆς V. [6]) ὁρμὴν μετεπλέκοντες τὸ χρυσόν. [7]) φονεῦσαι ταύτας V. [8]) ἐπ'. [9]) χωνευθέντων. [10]) ἰδών. [11]) αὐτῷ. [12]) αὐτόν. [13]) ἄφες με ἐξολοθρεῦσαι. [14]) τοῦτο ποιῆσαι τοῦ ἀπολέσαι αὐτούς. [15]) In margine inscribitur περὶ τῆς νομοθεσίας. [16]) ἱλάσεις quod correxit librarius ex εἱλάβεις. [17]) ἐν αὐτῇ ἡμέρᾳ, V αὐτῇ τῇ ἡ quod correxi.

ἔβρεξεν [ἐπ'] αὐτοῖς οὐρανόθεν τὸ μάννα καὶ καθ' ἑκάστην ἡμέραν τοῦτο [1]) συναγαγόντες [πρωίας καὶ φυροῦντες] ἕψων ἐσθίοντες [καὶ ἦν αὐτοῖς τροφὴ τὸ μάννα οὐχ ὅτε ὑπῆρχον εἰς ἔρημον τόπον], ἀλλὰ καὶ εἰς χώραν [2]) ἐθνῶν ἐὰν εἰσῆλθον τὸ μάννα αὐτοῖς ἦν ἀδιάλειπτον [3]) [καὶ] ἵνα μὴ μιανθῶσιν ἐν ταῖς τροφαῖς τῶν ἐθνῶν. καὶ ἦσαν διερχόμενοι ἀπὸ [χώρας εἰς] χώραν καὶ τῶν ἐθνῶν τὰς χώρας ἀφανίζοντες καὶ πάσας τὰς δυνάμεις αὐτῶν ὀλοῦντες [4]) [καὶ τὰς χώρας αὐτῶν κατεσθίοντες]. Καὶ ἤκουσεν [5]) Βαλαὰκ ὁ βασιλεὺς Μωαβιτῶν καὶ ἐφοβήθη καὶ ἐτρόμαξεν καὶ συνέπεσεν αὐτὸν [6]) ἡ καρδία καὶ ἦν ἐν πολλῇ μεριμνῃ περὶ τούτου.

Περὶ τοῦ Μωάβ [7]). Μωὰβ δὲ ἀκούσας περὶ τῶν Ἰουδαίων γένους [8]) ὅτι μέγαν θεὸν ἔχουσιν [9]), δύναται γὰρ [10]) ὁ θεὸς αὐτῶν θάλασσαν διατεμεῖν καὶ ἐκλῆξαι [11]) ὕδατα καὶ ξηρᾶναι [12]) ποταμοὺς καὶ ἔλη [13]) καὶ μεταστῆσαι ὄρη [14]) καὶ συντρίψαι [15]) βασιλεῖς καὶ ἄρχοντας [16]) καὶ συντρίψαι [15]) αὐχένας δυναστῶν, καί ἐστιν θεὸς δυνατός, θεὸς δυνάμεων, θεὸς ποιῶν παράδοξα. Καὶ Βαλαὰκ βασιλεὺς Μωαβιτῶν [17]) ἦν ἐν θρήνῳ καὶ φόβῳ, ἐτάκησαν γὰρ [18]) αὐτοῦ οἱ ἄρχοντες μεγάλως. ᾐτήσατο γὰρ βασιλεὺς τῶν Μωαβιτῶν Βαλαὰμ τὸν μάντιν ἐλθεῖν εἰς [τὴν] συμ(μ)αχίαν αὐτῶν. [οὗτος δὲ ὁ Βαλαὰμ ὑπῆρχεν καταγόμενος ἀπὸ γένους Ἡσαῦ· ἐγέννησε δὲ Ἡσαῦ τὸν Ραγουὴλ καὶ Ραγουὴλ ἐγέννησεν τὸν Ζαρὰ καὶ Ζαρὰς ἐγέννησεν τὸν Ἰὼβ καὶ Ἰὼβ ἐγέννησεν τὸν Σαλμὼν καὶ Σαλμὼν ἐγέννησεν τὸν Νηρὶ καὶ Νηρὶ ἐγέννησεν τὸν Ἀδὴμ καὶ Ἀδὴμ ἦν ἄτεκνος καὶ προσῆλθε τῷ Βὴλ τῷ θεῷ αὐτῶν ὅτι ἐὰν ποιήσαι (=ποιήσῃ?) αὐτὸς γεννῆσαι παῖδα παράσχει αὐτῷ τοῦτον εἰς ὑπουργείαν. Καὶ δὴ συνέλαβεν ἡ γυνὴ αὐτοῦ Δὴμ καὶ ἔτεκεν υἱὸν καὶ ἐπωνόμασεν αὐτὸν Βαλαὰμ ὡς ἀπὸ τοῦ Βὴλ γεννηθείς. καὶ γενομένου αὐτοῦ ἐτῶν δ' δέδωκεν αὐτὸν ὁ πατὴρ αὐτοῦ Ἀδὴμ δουλεύειν τῷ Βὴλ. Καὶ ἦν τὸ παιδίον Βαλαὰμ ἀνατρεφόμενον ἐν τῷ οἴκῳ τοῦ Βὴλ καὶ παι-

---

[1]) τούτους V. [2]) χώρας. [3]) τροφὴ ἀδιάλειπτος. [4]) ἐθνῶν τὰς δυνάμεις ἐξαφανίζοντες καὶ τὰς χώρας αὐτῶν πορθοῦντες καὶ π. τ. δ. αὐτῶν ἐλοῦντο. [5]) Ἤκουσε δέ. [6]) αὐτοί = αὐτῷ. [7]) περὶ Βαλαὰμ τοῦ μάγου. [8]) ἔθνους. [9]) ἔχωσιν. [10]) καὶ δυνατός ἐστιν [11]) ἐκβλύζειν. [12]) ξηραίνει(ν). [13]) In O exeidit, V ἔλην [14]) ὄρεια. [15]) συντρίβειν (bis). [16]) ἄρχοντες V. [17]) Ἀμαλὶκ βασ. Μωάβ. [18]) καὶ ἐτάκησαν.

δευόμενος τά τε μαγικὰ καὶ μαντικά· τοῦτο γὰρ ἦν σπουδὴ ἀσκεῖσθαι τοὺς Πέρσας εἰς παιδείαν συνέσεως τὰ μαγικά τε καὶ μαντικά, οὐδὲν γὰρ ἄλλο ἦν ἐν αὐτῷ σπουδαζόμενον εἰ μὴ τὸ τῆς ἀστρολογίας, μαγικά τε καὶ μαντικὰ τέχνης ἐπιτηδεύματα. Καὶ Βαλαὰμ προέκοψεν ἐν πάσῃ τῇ μαγικῇ τέχνῃ διὰ τῆς ἀστρόας κινήσεως,, τὴν μαντείαν ἐπιτηδεύεται] Οὗτος οὖν ὁ Βαλαὰμ τοιοῦτος ἦν ἐν τοῖς μαγικοῖς ἐνεργετικὸς [1]) ὅτι ὃν ἂν εὐλογῇ κατευοδοῦτο [2]) καὶ ὃν κατηρᾶτο [3]) ἐκινδύνευεν. Τοῦτο δὲ γινώσκων [4]) [Βαλαὰκ] ὁ βασιλεὺς τῶν Μωαβιτῶν [ἀκούσας ὅτι Βαλαὰμ ἐνεργεῖ πρὸς τὰ μαγικὰ καὶ ἔχων τὴν χρῆσιν] πρέσβεις ἀπέστειλεν πρὸς αὐτὸν μετὰ δώρων ὅπως ἐλθὼν ἀράσῃ [5]) τὸν θεὸν τοῦ Ἰσραήλ. Ἰδὼν δὲ Βαλαὰμ ὁ μάντις τοὺς πρέσβεις [Βαλαὰκ] τοῦ βασιλέως [Μωαβιτῶν] μετὰ δώρων πρὸς αὐτὸν ἐλθόντας [6]) εἶπεν· τί πρός με ἥκατε [7]) ἄνδρες ἐξ [8]) ἀλ(λ)οδαπῆς χώρας καὶ λαοῦ ἑτερογλώσσου ὄντες [9]); οἱ δὲ ἀπεκρίθησαν· Βαλαὰκ βασιλεὺς Μωαβιτῶν [10]) ἀπέστειλεν ἡμᾶς πρός (σ)ε. ὁ δέ φησιν· καὶ τί τὸ αἴτιον δι' οὗ πάρεστε [11]); μὴ οἱ ἄρχοντες αὐτοῦ καὶ οἱ σατράπαι ἐπανάστασιν κατ' αὐτοῦ ἐμελέτησαν; ἢ ἀπὸ τῆς βασιλείας αὐτοῦ ἀπώλεσέν τι; οἱ δὲ ἀποκριθέντες εἶπον· οὐχί, ἀλλ' ἐμάθομεν ὅτι ἔθνος δυνατὸν ἐξῆλθεν ἐξ Αἰγύπτου ἔχων [12]) θεὸν δυνατόν, ἰσχυρόν τε καὶ ἀμετάτρεπτον ποιοῦντα μεγάλα τε καὶ φοβερά [13]), ἔνδοξά τε καὶ ἐξαίσια ὧν οὐκ ἔστιν ἀριθμός· τῆς γὰρ Αἰγύπτου πληγὰς [14]) δέκα ἐμάστιξεν, θάλασσαν ἔτεμεν καὶ διήγαγεν αὐτούς [15]), τὸν [δὲ] Ἀμαλὶκ ἔχοντα μυριάδας κατεξολόθρευσεν [16]) [καὶ τοὺς Φιλιστιὴμ ἠφάνισε] καὶ ἁπλῶς πάντα ὅσα ἂν [εἴπῃ ὁ λαὸς αὐτοῦ] ἐνεργεῖ ὁ θεὸς αὐτῶν. καὶ ἰδοὺ ἥκασιν ἕως ἡμῶν [καὶ βούλονται καὶ τὴν ἡμῶν πόλιν ἐκπορθῆσαι] καὶ ἐστάλημεν παρὰ τοῦ βασιλέως ἡμῶν αἰτούμενοί [σε] ἵνα [17]) ἐλθὼν βοηθήσῃς ἡμῖν, ἔχεις [γὰρ] παῤῥησίαν [18]) ἐν [19]) θεοῖς καὶ συνεργοῦσί σοι ἐν μπᾶσιν [20]) [καὶ οὐκ ἔστιν ὁ ἀντιτασσόμενός σοι, ἀλλ' ὁ παρά σου εὐλογη-

---

[1]) ἐπιτηδεύεται καὶ τοσοῦτον γέγονεν ἐν τοῖς μαγικοῖς ἔργοις. [2]) ὃν δ' ἂν ηὐλόγησεν ἐκατευοδοῦτο. [3]) κατηράσατο [4]) τούτων οὖν γινομένων. [5]) κατηράσατο. [6]) ἐλθόντες uterque cod. [7]) ἤλθατε. [8]) ἀπό. [9]) ὄντος V. [10]) βασιλέως (sic) Μωάβ. [11]) παρεγένεσθε. [12]) ἔχοντες. [13]) θ. μέγαν, ἰσχυρόν, δυνατόν, ἀμ., ποιοῦντα θαυμάσια φοβερά. [14]) τὴν γὰρ Αἴγυπτον ἐν πληγαῖς [15]) τὸν Ἰσραηλιτῶν λαόν. [16]) ἐξολόθρευσεν. [17]) ὅπως. [18]) παρουσίαν V. [19]) παρά. [20]) συνεροῦσί σε ἐν πᾶσι.

θεὶς ἔσται εὐλογημένος, ὁ δὲ παρά σου κατηραθεὶς ἔσται κατηραμένος. καὶ διὰ τοῦτο αἰτούμεθά σε ἵνα ἐλθὼν βοηθήσῃς ἡμῖν, μή πως ἐκπορθηθέντες ἀπολώμεθα]. Ὁ δὲ Βαλαὰμ ὁ μάντις ἀκούσας ταῦτα ἅμα τε [1]) ἰδὼν τὰ δῶρα εἶπεν αὐτοῖς· σκέψομαι ἐν τοῖς τοῦ θεοῦ μου Βὴλ κρίμασιν καὶ ἐὰν εἴπῃ μοι ἀπελθεῖν [2]) ἀπέρχομαι, εἰ δὲ μή, μένω [3]). καὶ σκεψάμενος ἐν ταῖς μαντικαῖς [4]) αὐτοῦ βίβλοις οὐκ ἦν αὐτῷ λόγος [5]) τοῦ ἀπελθεῖν. καὶ εἶπεν Βαλαὰμ τοῖς παισὶν βασιλέως Μωάβ [6])· οὐ δύναμαι ἐλθεῖν διότι [οὐ] τρέπονταί [7]) με τὰ ὁροσκόπειά μου οὔτε αἱ μαντικαί μου βίβλοι. Καὶ ἀπῆλθον οἱ ἄνδρες ἄπρακτοι πρὸς Βαλαὰκ βασιλέαν Μωὰβ λέγοντες τὰ ῥήματα τοῦ μάντεως· ὅτι οὐ δύναμαι ἐλθεῖν καὶ τὰ ἑξῆς [8]). Καὶ ἐλυπήθη ὁ βασιλεὺς Μωάβ. [οἱ δὲ Ἰσραηλῖται προσήγγισαν τῇ χώρᾳ] καὶ ἦν στενοχωρία [πολλὴ τοῖς Μωαβίταις καὶ θλίψις [9]) πολλὴ ἀπαραμύθητος]. καὶ πάλιν [ὁ βασιλεὺς Βαλαὰκ] ἀπέστειλεν πρέσβεις ἑτέρους [10]) παρακαλῶν τὸν Βαλαάμ· ἐλθὼν καὶ ἀράσεται τὸν λαὸν τοῦ Ἰσραήλ. ὁ δὲ Βαλαὰμ πάλιν σκεψάμενος τὰς μαντικὰς [11]) αὐτοῦ βίβλους οὐ προέτρεπον αὐτὸν ἀπελθεῖν καὶ πάλιν ἀπῆλθον οἱ πρέσβεις αὐτοῦ ἄπρακτοι [12]). ὁ δὲ λαὸς Κυρίου παρενέβαλον τή(ν) χώρα(ν) Μωαβιτῶν [13]) καὶ οὐκ ἴσχυον [οἱ Μωαβῖται] ἀντιπαρατάξασθαι αὐτούς, ἀλλ' ἐτρόμαξαν [14]) ἀπὸ προσώπου τοῦ Ἰσραήλ. Καὶ πάλιν ἀπέστειλεν ὁ βασιλεὺς Μωὰβ [τοὺς μεγιστάνους αὐτοῦ] μετ' ἐπιστολῆς [αὐτοῦ] καὶ δώρων πλείστων πρὸς Βαλαὰμ τὸν μάντιν ἐπαγγειλάμενος αὐτῷ καὶ τὸ ἥμισυ τῆς βασιλείας αὐτοῦ [15]). Ἐκτυφλωθεὶς οὖν [16]) τοῖς δώροις Βαλαὰμ ἀπῆλθε σὺν αὐτοῖς καὶ ἀνελθὼν ἐπὶ [17]) ὄρος εἶδεν τὴν παρεμβολὴν [18]) τῶν υἱῶν Ἰσραὴλ καὶ θυσιάσας ταύρους καὶ μόσχους καὶ κριοὺς καὶ πάντα ποιήσας τὰ μαγικὰ αὐτοῦ ἔργα [19]) σταθεὶς ἐπάνω τῆς πέτρας ἤνοιξε τὸ στόμα αὐτοῦ ἀράσασθαι [20]) τὸν λαὸν Κυρίου. ἀνοίξαντος [21]) δὲ

---

[1]) (ταῦτα) καί. [2]) ἄπελθε. [3]) μενῶ. [4]) τοῖς μαγικοῖς (uterque cod. mascul.) [5]) οὐκ εἶπεν αὐτῷ λόγῳ. [6]) παισὶ Βαλάκ. [7]) ὅτι οὐ προτρέπουσι. [8]) καὶ εἶπον αὐτῷ ταῦτα· οὐ δυνάμεθα λέγειν τοῦ μάντεως τὰ ῥήματα. [9]) θλίψει [10]) ἄλλους πρέσβεις. [11]) μαγικάς. [12]) πάλιν οἱ πρ. ἄπρακτοι πρὸς τὸν βασιλέα ἐλθόντες. [13]) τὴν χώραν Μωάβ. [14]) ἐτρόμαξεν V. [15]) καὶ τὸ τῆς βασιλείας αὐτοῦ τὸ ἥμισυ. [16]) δέ. [17]) εἰς. [18]) παραβολήν V. [19]) πάσας τὰς μαγικὰς αὐτοῦ τέχνας. [20]) ἤρξατο ἀρᾶσθαι. [21]) καὶ ἀνοίξας.

τὸ στόμα αὐτοῦ ἅπερ οὐκ ἠβούλετο διηγόρευσεν [1]) καὶ ἀντὶ τῆς κατάρας εὐλόγει αὐτούς [2]) [ἐπὶ δύο καὶ τρεῖς καὶ οὐκ ἦν ἐπ' αὐτῷ λαλῆσαι ἅπερ ἠβούλετο]. ἐν θλίψει δὲ πολλῇ τοῦ βασιλέως οἱ ἄνθρωποι [3]) ὄντες πάλιν προσήνεγκαν αὐτοῦ [4]) ταύρους καὶ κριοὺς καὶ μόσχους. καὶ πάλιν θυσιάσας [5]) ἐνθυμώτερον ἤρξατο λαλεῖν τοῦ καταρᾶσθαι [6]) τὸν λαὸν τοῦ Ἰσραήλ, καὶ ἀντιλαβὼν τὴν παρεμβολὴν [7]) αὐτοῦ εἶπεν· ὡς καλοί σου [οἱ] οἶκοι, Ἰακώβ, [(καὶ) αἱ σκηναί σου, Ἰσραήλ· ὡσεὶ νάπαι σκιάζουσαι καὶ ὡσεὶ παράδεισοι ἐπὶ ποταμῶν καὶ ὡς σκηναὶ ἃς ἔπηξεν ὁ Κύριος, ὡσεὶ κέδροι παρ' ὕδατα. ἀνατελεῖ ἄστρον ἐξ Ἰακὼβ] καὶ ἀναστήσεται ἄνθρωπος ἐξ Ἰσραὴλ καὶ θραύσει τοὺς ἀρχηγοὺς [8]) Μωὰβ καὶ προνομεύσει τοὺς υἱοὺς Σὴθ καὶ ἔσται Ἐδὼμ κληρονομία (αὐτοῦ καὶ) Ἡσαῦ ὁ ἐχθρὸς αὐτοῦ, καὶ Ἰσραὴλ ἐποίησεν ἰσχύν. Καὶ ταῦτα λέγοντος τοῦ Βαλαὰμ τοῦ μάντεως [9]) ἤρξαντο τοῦ βασιλέως οἱ ἄνθρωποι [10]) θρῆνον ποιεῖσθαι μέγα(ν) λέγοντες αὐτῷ [11])· τί πεποίηκας ἡμῖν; ἠγάγομέν σε ἵνα αὐτοὺς ἀράσῃ [12]) καὶ ἡμᾶς εὐλογήσῃς καὶ σὺ ἄλλα ἀντ' ἄλλων [13]) πεποίηκας· αὐτοὺς γὰρ εὐλογήσας [14]) καὶ ἡμᾶς κατηράσω. Ὁ δὲ Βαλαάμ φησιν· καὶ τίνα εἰσὶν ἅπερ εἶπον; καὶ ἐπέδειξαν αὐτὸν ἐγ(γ)ράφως ταῦτα [15]), καὶ ἰδὼν αὐτὰ ἐθυμώθη [16]) καθ' ἑαυτὸν καὶ ἐπιβὰς τὴν ὄνον αὐτοῦ ἀπήρχετο [17]) [οἴκαδε] ὅπως ἴδῃ τὰς μαγικὰς αὐτοῦ βίβλους ἵνα [18]) ποιήσῃ μαγίας ἑτέρας κατὰ τῶν Ἰουδαίων. Ἀπελθόντος [19]) δὲ αὐτοῦ καὶ εἰσελθόντος ἐν μέσῳ τείχων [20]) ἀμπελώνου [21]) ἰδοὺ ἄγγελος Κυρίου ἔστη μέσον τῆς ὁδοῦ καὶ ἡ μὲν ὄνος ἔβλεπεν τὸν ἄγγελον, Βαλαὰμ δὲ οὐκ εἶδε [22]). ἰδοῦσα δὲ [23]) ἡ ὄνος τὸν ἄγγελον ἐφοβήθη καὶ οὐκ ἔβαινεν ἔμπροσθεν [24]), ὁ δὲ Βαλαὰμ ἔτυπτεν τὴν ὄνον διελθεῖν, ἡ δὲ ὄνος ἀναγκαζομένη ὑπὸ τοῦ ἀγγέλου προσέκρουσε τῷ τείχῳ καὶ συνέτριψε τοῦ Βαλαὰμ τὸν πόδα. ὁ δὲ Βαλαὰμ καίτοι ἤρξατο μαστίζειν τὴν ὄνον σφοδρῶς, νεύματι δὲ [25]) θεοῦ ἐλάλησεν ἡ ὄνος φωνῇ ἀνθρωπίνῃ λέ-

---

[1]) διηγόρευεν. [2]) εὐλογίαν αὐτοῖς ἔλεγεν. [3]) οἱ τοῦ β. ἄνθρωποι. [4]) αὐτῷ [5]) θύσας θυσίαν. [6]) ἐνθυμώτερα ἄρξατο (sic) ἀρᾶσθαι. [7]) παραβολήν V. [8]) υἱούς. [9]) μάντι V. [10]) ἤρξατον οἱ τοῦ β. Μωὰβ ἄνθρ. [11]) τὸν Βαλαάμ. [12]) ἵνα ἀράσαι αὐτούς. [13]) ἄλλου V. [14]) ηὐλόγησας. [15]) οἱ δὲ ἐπ. αὐτῷ ἐγγράφως ἅπερ εἶπεν. [16]) ἐφημώθη. [17]) ὑπήρχετο V. [18]) καί· [19]) ἀπελθών V. [20]) τείχου. [21]) ἀμπελῶνος. [22]) ἔβλεπε, V εἴδι. [23]) καὶ ἰδοῦσα. [24]) ἐπὶ τὰ πρόσωπα. [25]) καὶ νεύματι.

γουσα [1])· ἄνθρωπε, τί [με] δέρεις; λέγει αὐτῇ Βαλαάμ· διὰ τί συνέτριψας τὸν πόδα μου; ἀπεκρίθη ἡ ὄνος καὶ εἶπεν αὐτῷ· οὐχ ὁρᾷς τὸν ἄγγελον τοῦ θεοῦ ἑστῶτα καὶ οὐκ ἐᾷ με διελθεῖν; τότε διηνοίχθησαν οἱ ὀφθαλμοὶ Βαλαὰμ καὶ εἶδεν τὸν ἄγγελον τοῦ θεοῦ καὶ πεσὼν ἐπὶ τὴν γῆν προσεκύνησεν αὐτὸ(ν) καὶ εἶπεν· τίς εἶ σύ, κύριε; ὁ δὲ ἄγγελος Κυρίου τοῦ θεοῦ φησιν πρὸς αὐτόν· ἐγώ εἰμι ἄγγελος [Κυρίου] τοῦ θεοῦ καὶ ἦλθον ἐλέ(γ)ξαι σε, ὅτι πῶς ἐτόλμησας καταμαντεύσασθαι καὶ καταράσασθαι τὸν λαὸν Κυρίου [2]); νῦν οὖν παῦσαι τῆς ὁρμῆς ἵνα μὴ ἀποθάνῃς. εἶπε δὲ Βαλαὰμ πρὸς τὸν ἄγγελον· ἀγνοῶν πέπραχα τοῦτο καὶ συγχώρησόν μοι, κύριε [3]). καὶ ἀπῆλθεν [4]) ἀπ' αὐτοῦ ὁ ἄγγελος, ὁ δὲ Βαλαὰμ ἀπῆλθεν. ὅθεν καὶ ὁ σοφὸς γράφει [5])· ἀπειθήσαντα πάλαι τοῦ θεοῦ τὰ ἄρ(ρ)ητα καὶ θεῖα χρίματα Βαλαὰμ τῷ μάντει ἐν ἀμφόδοις [6]) ὁ ἄγγελος ὄνῳ φανεὶς φοβερὸς ἤλεγξεν [7]) καὶ λογικὸν τὸ ζῶον δείξας τὸ θαῦμα [ὁ τῆς φύσεως ἤμειψε γνώρισμα]. Περὶ δὲ τοῦτον τὸ [8]) εἰπεῖν αὐτὸν Ἀνατελεῖ ἄστρον ἐξ Ἰακὼβ [καὶ ἀναστήσεται ἄνθρωπος ἐξ Ἰσραὴλ] καὶ θραύσει τοὺς ἀρχηγοὺς [9]) Μωάβ, καὶ τοῦτον τὸ λόγον συνεγράψαντο [10]) οἱ τῶν Περσῶν [παῖδες καὶ] ἀστρονόμοι [11]) [προσδοκῶντες παρὰ πάντας ὅτι ὁ μάντις οὐ ψεύδεται. καὶ ἦσαν ἐκδεχόμενοι τὴν λάμψιν τοῦ ἀστέρος] καὶ καθ' ἕνα ἕκαστον καιρὸν ἐσκόπουν τὸν ἀστέραν καὶ ὅτε ἐγεννήθη ὁ Χριστὸς ἠλήθευσεν ὁ Βαλαάμ [12]). τοῦτο αἰνιττόμενος ὁ σοφὸς ἐν ὕμνοις γράφει [13])· τοῦ μάντεως πάλαι Βαλαὰμ τῷ λόγῳ [14]) μυητὰς σοφοὺς ἀστεροσκόπους χαρᾶς ἔπλησας [15]), ἀστὴρ ἐκ τοῦ Ἰακὼβ ἀνατείλας, Δέσποτα. τουτέστιν ἰδοὺ πεπλήρωται τοῦ μάντεως ὁ λό-

---

[1]) φωνὴν ἀνθρωπίνην λέγων. [2]) καταμαντεῦσαι τὸν λαὸν Κυρίου καὶ καταρᾶσθαι αὐτούς. [3]) πέπρακα τοῦτο, κύριε, καὶ συγχώρησόν μοι. [4]) ἀπελθών. [5]) Περὶ δὲ τῆς ἱστορίας ταύτης μέμνηταί τις σοφὸς ἐν τῇ ἐξηγήσει τῶν παρὰ θεοῦ ἀγγέλων (sic) τελουμένων θαυμασίων γράφων οὕτως. [6]) ἐν ἀφόδῳ V. [7]) ἐν ὄνῳ φωνῆς (=φανεὶς) ἤλεγξεν. [8]) Περὶ δὲ τοῦ. [9]) ἄρχοντας. [10]) τούτους τοὺς λόγους συνέγραψαν. [11]) ἀστρολόγοι. [12]) τοῦ ἀστέρος σκοποῦντες καθ' ἕνα ἕκαστον καιρόν, πότε φανεῖ ὁ ἀστήρ. ὅτε δὲ εἴδωσαν τὸν ἀστέρα ἐν τῷ καιρῷ τῆς Χριστοῦ γεννήσεως τότε ἐμνήσθησαν τοῦ μάντεως Βαλαὰμ τὸν λόγον καὶ προφήτου· καὶ ὅτε τοῦ ἀστέρος φανέντος τότε βασιλεὺς φανήσεται μέγας, καὶ ὅτε εἶδον τὸν ἀστέρα ἐχάρησαν χαρὰν μεγάλην τοῦ μάντεως καὶ προφήτου τὸν λόγον ἀληθεύοντα ὁρῶντες. τότε ἀπέστειλε μάγους Περσῶν ὁ βασιλεὺς ἐν Βηθλεὲμ πρὸς τὸν γεννηθέντα ἐν σαρκὶ Χριστὸν προσκυνῆσαι αὐτόν. [13]) ὁ σοφὸς οὕτως γράφει. [14]) τῶν λόγων. [15]) ἔπλησαν.

γος, ἀνατείλαντος τοῦ ἀστέρος καὶ φανέντος τοῦ Χριστοῦ. Καὶ ταῦτα μὲν περὶ τούτου.

Βαλαὰκ δὲ [ὁ] βασιλεὺς τῶν Μωαβιτῶν ἀστοχήσας ἀπὸ τῆς μαγίας ἐνεθυμήθην [1]) παρὰ τοῦ διαβόλου· ὅτι τὸ γένος τῶν Ἰουδαίων [ἔχουσι] θεὸν δυνατόν, θεὸν φοβερόν, θεὸν μισοῦντα ἀδικίας [2]) καὶ ποιήσω μιανθῆναι αὐτοὺς καὶ ἐὰν μιανθῶσιν [3]), βδελυχθήσονται παρὰ τοῦ θεοῦ αὐτῶν καὶ τότε ἐπιβήσομαι ἐπ' αὐτοὺς [4]) καὶ καταπολεμήσω αὐτούς. καὶ ἐποίησεν Βαλαὰκ [5]) σκηνὰς ἔμπροσθεν αὐτῶν ἐν τῇ ὁδῷ ᾗ ἔμελ(λ)ον διέρχεσθαι οἱ μαχισταὶ τῶν Ἰουδαίων καὶ ἐκάθισεν [6]) εἰς τὰς σκηνὰς εὐώπους γυναῖκας ἐλευθέρας καὶ παρέθηκεν τραπέζας καὶ κρέη [7]) καὶ οἶνον καὶ τὸ εἴδωλον τοῦ Βὴλ ἐνώπιον τῶν σκηνῶν. καὶ εἰσῆλθον εἰς αὐτὰς καὶ ἔφαγον ἐκ τῶν θυσιῶν αὐτῶν καὶ ἔπιον [8]) οἶνον καὶ προσεκύνησαν τὸν Βὴλ τουτέστιν τὸν Κρόνον. οὕτως γὰρ ἑρμηνεύεται ὁ Βὴλ ὁ παρ' Ἕλ(λ)ησιν λεγόμενος Κρόνος [9]). [καὶ] συνεγένοντο ταῖς γυναιξὶν καὶ ὠργίσθη [10]) Κύριος κατ' αὐτοὺς [11]) καὶ ἀπέστρεψεν τὸ πρόσωπον αὐτοῦ ἀπ' αὐτῶν καὶ ἐπιπεσόντες οἱ Μωαβῖται εὗρον [12]) αὐτοὺς μεθύοντας ἐν ταῖς σκηναῖς καὶ συνέχοψαν [13]) αὐτούς. τοῦτο γὰρ [ἐστιν ὃ] λέγει ὁ ψαλμῳδός· καὶ ἐτελέσθησαν τῷ Βεελφεγὼρ καὶ ἔφαγον θυσίας νεκρῶν, τουτέστιν [14]) εἰδωλόθυτα [15]) τοῦ Βὴλ ἐν τῷ τόπῳ τοῦ Φεγώρ, [ὅτι δὲ ἔφαγον θυσίας νεκρῶν] νεκροὶ γὰρ οἱ περὶ τὸν Κρόνον. ταῦτα καὶ τῆς θραύσεως τῆς γενομένης εἰς τοὺς Ἰουδαίους αἰνίττονται. Ἀπέστειλεν δὲ Μωϋσῆς τὸν Φινεὲς ἰδεῖν τί τὸ γεγονός [16]). καὶ ἐλθὼν ὁ Φινεὲς εὗρεν ἰουδαῖον πορνεύοντα μετὰ τῆς μωαβίτιδος καὶ κεντήσας ἀμφοτέρους [17]) μετὰ δόρατος [18]) ἤγουν κονταρίου ἦρεν αὐτοὺς καὶ ηὔξατο [τῷ θεῷ τοῦ] μὴ γενέσθαι αὐτῷ εἰς ἁμαρτίαν [19]), ἀλλ' [20]) εὐξαμένου αὐτοῦ ἐκόπασεν ἡ θραῦσις. [τοῦτο καὶ ὁ ψαλμῳδὸς λέγει· καὶ ἔστη Φινεὲς καὶ ἐξηλάσατο καὶ ἐκόπασεν ἡ θραῦσις] καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην εἰς γενεὰν καὶ γενεὰν [ἕως] τοῦ αἰῶνος. καὶ μετὰ τὸ

---

[1]) ἐνεθυμήθη. [2]) ἀδικίαν. [3]) ἐὰν ποιήσω μιανθῆναι. [4]) ἐπιβ. αὐτοῖς. [5]) καὶ εἶπε Βαλαὰκ βασιλεὺς Μωάβ· ποιήσατε. [6]) οὗ μέλλοντες ἔρχεσθαι οἱ μαχηταὶ τ. Ἰ. καὶ βάλλεται. [7]) κρέας. [8]) ἔπινον. [9]) ὁ Βήλ, παρ' Ἕλλησι γὰρ Κρόνος καλεῖται. [10]) ὀργισθείς. [11]) κατ'αὐτῶν. [12]) καὶ εὑρόντες. [13]) συνέκοψαν. [14]) οἷον. [15]) εἴδωλον V. [16]) ταύτης δὲ τῆς θραύσεως γενομένης εἰς τοὺς Ἰουδαίους ἀπέστειλεν Μ. τὸν Φ. ἰδεῖν τὸ γεγονός. [17]) αὐτούς. [18]) δόρυ. [19]) ἁμαρτίας V. [20]) καί.

ποιῆσαι τὸν Φινεὲς τὴν ἐκδίκησιν ταύτην ἐνεδυναμώθησαν παρὰ τοῦ ὑψίστου καὶ ἐπόρθησαν τῶν Μωαβιτῶν [τὸν] λαὸν καὶ τὰ στρατεύματα αὐτῶν [1]) συνέκοψαν, τὰς πόλεις αὐτῶν [ἐπόρθησαν δὲ καὶ] ἐνέπρησαν καὶ κατεκυρίευσαν πάντας τοὺς Μωαβίτας καὶ τὴν χώραν Ἐδώμ. Τότε ἐπληρώθη τὸ ῥηθὲν τοῦ Μωϋσέως. τότε ἔσπευσαν ἡγέμονες Ἐδὼμ καὶ ἄρχοντες Μωαβιτῶν ἔλαβεν αὐτοὺς τρόμος [ἐτάκησαν πάντες οἱ κατοικοῦντες]. καὶ μετὰ τὸ καταναλῶσαι τὴν τῶν Μωαβιτῶν χώραν καὶ μετὰ ταῦτα ἀνέστησαν ἐκεῖθεν διελθεῖν εἰς χώραν ἑτέραν [2]) καὶ πορευομένων αὐτῶν εἰσῆλθον εἰς τόπον ἔρημον καὶ ἄβατον καὶ ἄνυδρον καὶ οὐχ εὕρισκον ὕδωρ εἰς πόσιν αὐτῶν καὶ ἤρξαντο βοᾶν κατὰ Μωϋσέως. ὁ δὲ Μωϋσῆς ἐβαρύνθη [3]) τῇ καρδίᾳ βλέπων αὐτοὺς βοῶντας καὶ ὡς ἐκράτει ἐν τῇ χειρὶ αὐτοῦ τὴν ῥάβδον [4]) ἔκρουσεν τὴν πέτραν μετὰ θυμοῦ λέγων οὕτως· πόθεν δώσω ὑμῖν ὕδωρ ἀπὸ ταύτης τῆς πέτρας; καὶ οὐκ εἶπεν ὅτι εὐλογητὸς ὁ θεός, ἀλλὰ [5]) μετὰ πικρασμοῦ ἔδωκεν ῥάβδον τὴν πέτραν [6]) καὶ εὐθὺς ἐτμήθη καὶ εὐθὺς ἔβλυσεν ὕδωρ πολὺ [7]) ὅπερ ἰδὼν Μωϋσῆς ἐξέστη. καὶ ὁ μὲν Μωϋσῆς παραπικραίνων [8]) ἔκρουσε τὴν πέτραν, ἡ δὲ ῥάβδος ἔχουσα τὴν ἐνέργειαν προστάξει θεοῦ [9]) ἐνήργησεν τὸ τεράστιον, καὶ ἦν ἰδεῖν θαῦμα ἐξαίσιον· ἐβαστάζετο γὰρ ἡ πέτρα ἐφ' ἀμάξης [10]) καὶ ἔβλυσεν τὸ ὕδωρ καὶ ἤρδευεν τὸν λαὸν [πάντα εἰς πόσιν αὐτῶν καὶ τῶν ζώων] καὶ ἦν ἡ πόσις τοῦ ὕδατος [ἐκείνου] ἐνεργητικὴ ἀπέχουσα [11]) δίψαν καὶ θρεπτικὴ [12]) ὑπὲρ πᾶσαν βρῶσιν ἦν γλυκύτατον τὸ ὕδωρ ὡς γλυκύτερον μέλιτος καὶ παντὸς εἴδους ὅσα ἐπὶ γῆς [13]). καὶ ἦσαν [οἱ] υἱοὶ Ἰσραὴλ διερχόμενοι ἐκεῖθεν ἐν ἡμέραις πολλαῖς [14]) καὶ διήρχοντο τὰς πόλεις [15]) τῶν ἐθνῶν λεηλατοῦντες καὶ ἦσαν τεσ(σ)αράκοντα χρόνους πελαζόμενοι ἀπὸ [χώρας εἰς] χώραν [καὶ εἰς ἐρήμους τόπους] ἕως ὅτου [16]) ἠφανίσθησαν πάντες οἱ ἀντιλογισάμενοι τὴν γῆν [17]) τῆς ἐπαγγελίας καὶ τοῦτο ἦν θαυμαστότερον ὅτι τοὺς τεσσαράκοντα χρόνους οὐ δεή-

---

[1]) αὐτοῦ V. [2]) ἐκεῖ εἰσελθεῖν εἰς ἑτέρας χώρας. [3]) ἐσκληρύνθη. [4]) ὡς ἐν τῇ χειρὶ κρατῶν τ. ρ. [5]) καὶ δή. [6]) κρούσας τὴν πέτραν μετὰ τῆς ῥάβδου. [7]) πολλύν V. [8]) παρεπίκραινον V. [9]) ἐνέργειαν ἐκ θεοῦ. [10]) ἐπὶ τὴν ἅμαξαν. [11]) ἐπέχουσα. [12]) θρεπτικόν. [13]) ἡδύτατον ὑπὲρ πᾶσαν γλυκύτητα μέλιτος καὶ ὕδατος καὶ π. εἴδ. ὁ. ἐ. τῆς γῆς ἐστιν. [14]) ἐκ. διερχ. ἡμέρας πολλάς. [15]) τῶν Ἰουδαίων add. V quod omisi. [16]) οὗ. [17]) περὶ τῆς γῆς.

θησαν [1]) ἐνδυμάτων ἢ ὑποδημάτων ἢ σκεπασμάτων, ἀλλ' οὕτως ἄθικτα [ἦσαν] οἷα ἐῤ(ῥ)άφησαν ἐν τῇ ἐξελεύσει τῆς Αἰγύπτου. Ἡ δὲ πέτρα αὐτή [2]) τὸν Χριστὸν ἐτύπου [3]) καθὼς ὁ θεῖος ἀπόστολός φησιν· ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας, ἡ δὲ πέτρα ἦν ὁ Χριστός. ὅτι δὲ [4]) θρεπτικὸν ὑπῆρχε τὸ ὕδωρ ἄκουσον τί γράφει σοφός τις· χολὴν μὲν οἱ ἐκ πέτρας τὸ μέλι θηλάσαντες τῷ ἐν τῇ ἐρήμῳ τηρατουργήσαντι. Ὁρᾷς ὅτι διὰ τὸ θρεπτικὸν ὠνόμασε [5]) μέλι; ἀλλὰ καὶ ὁ ψαλμῳδὸς οὕτως φησίν· καὶ ἐκ πέτρας μέλι ἐχόρτασεν αὐτούς· καὶ [ἐν τῇ ᾠδῇ [6]) τοῦ Δευτερονόμου οὕτω φησίν·] ἔλαιον ἐκ στερεᾶς πέτρας. [καὶ ἰδοὺ μαρτυροῦσι πάντες ὅτι τοιαύτην ἐνέργειαν ἐκέκτητο τὸ ὕδωρ εἰς χρῆσιν πάντων τῶν βρωμάτων]. Μετὰ δὲ τὸ ἀποθανεῖν [7]) τὴν γενεὰν τῶν ἀπειθῶν [8]) πᾶσαν [ἐκείνην] καὶ ἀναστάντος τοῦ σπέρματος αὐτῶν καὶ ἀνδριθέντος [9]) μόνος Μωϋσῆς κατελείφθη ἀπὸ τῆς γενεᾶς ἐκείνης καὶ εἶπεν αὐτῷ ὁ θεός· δίδαξον τοὺς υἱοὺς [Ἰσραὴλ] τῶν ἀπειθῶν τῶν ἐνταλμάτων μου [10]) [καὶ ὑπόμνησον αὐτοὺς τὰ τεράστιά μου] καὶ γράψον αὐτοῖς τὴν ᾠδὴν ταύτην· πρόσεχε, οὐρανέ, καὶ λαλήσω καὶ ἀκουέτω γῆ ῥήματα ἐκ στόματός μου. [ἐν ᾧ καὶ ἐτέθη ταύτη ᾠδὴ β'. καὶ διδαχθέσθωσαν μανθάνων ταύτην, καὶ εἴ τις οὐ μανθάνει τὴν ᾠδὴν ταύτην ἐκ στόματος καὶ κέκτηται ἐν ἄκροις χείλεσιν αὐτὴν ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ, ἀλλὰ ἂς γράφωσιν οἱ υἱοὶ Ἰσραὴλ τὴν ᾠδὴν ταύτην καὶ φερέτωσαν διὰ στόματος καὶ κέκτηνται ταύτην, ὅπως διδάσκονται διὰ τῆς ᾠδῆς ταύτης ἃ ἐποίησα μετ' αὐτῶν θαυμάσια καὶ πόσα παρεπίκρανάν με οἱ πατέρες αὐτῶν]. Καὶ ἐγὼ [11]) διὰ τοὺς ὅρκους οὓς ἐθέμην πρὸς Ἀβραὰμ οὐκ ἠθέτησα εὐεργετῶν [12]) αὐτούς. καὶ δίδαξον αὐτοῖς [13]) τὰ θελήματά μου πάντα ὅσα ἐγώ σοι ἐνετειλάμην [14]) ἐν τῷ ὄρει· Καὶ εἶπεν Μωϋσῆς ἐν τῷ λαῷ [15]) πάντα τὰ ῥήματα ταῦτα.

Περὶ τῆς τελευτῆς Μωϋσέως [16]). Καὶ εἶπεν Μωϋσῆς πρὸς Ἰησοῦν τοῦ Ναυί· ἀνέλθωμεν ἐν τῷ ὄρει. καὶ ἀνελθόντων αὐτῶν εἶδεν Μωϋσῆς τὴν γῆν τῆς ἐπαγγελίας καὶ εἶπεν πρὸς αὐτὸν [17])·

---

[1]) οὐκ ἐδεήθησαν. [2]) αὔτη. [3]) ἐτύπει. [4]) καὶ ὅτι. [5]) ὠνομάσθη. [6]) ὁδῷ quod correxi. [7]) ἀποθανῆναι V. [8]) τῶν ἀπειθῶν om. [9]) ἀνδριθέντων V. [10]) τὰ ἐντάλματά μου. [11]) ἐγὼ δέ. [12]) εὐεργετεῖν. [13]) αὐτούς. [14]) ἐντέλ(λ)ομαι V. [15]) πρὸς τὸν λαόν. [16]) Titulus deest. [17]) Ἰησοῦν.

κάτελθε πρὸς τὸν λαὸν καὶ ἀνάγγειλον αὐτοῖς ὅτι Μωϋσῆς ἐτελεύτησεν. καὶ κατῆλθεν Ἰησοῦς πρὸς τὸν λαόν, ὁ δὲ Μωϋσῆς τὰ τέλη τοῦ βίου ἐκτήσατο [1]). Καὶ ἐπειρᾶτο Σαμουὴλ ὡς ἂν καταβάσῃ τὸ σκύνωμα αὐτοῦ τῷ λαῷ ἵνα θεοποιηθῶσιν αὐτόν [2]), Μιχαὴλ δὲ ὁ ἀρχιστράτηγος προστάξει θεοῦ ἦλθεν λαβεῖν αὐτὸ(ν) καὶ συνστεῖλαι, καὶ ἀνθίστατο αὐτῷ Σαμουὴλ καὶ διεμάχοντο [3]). ἀγχανακτήσας οὖν ὁ ἀρχιστράτηγος ἐπετίμησεν αὐτὸν εἰπών· ἐπιτιμᾷ σε [4]) Κύριος, διάβολε. καὶ οὕτως ἡττήθη ὁ ἀντικείμενος καὶ φυγὴν ἐχρήσατο, ὁ δὲ ἀρχάγγελος Μιχαὴλ συνέστειλεν τὸ σκύνωμα Μωϋσῆ [5]) ὅπου προσετάχθη παρὰ θεοῦ τοῦ Χριστοῦ ἡμῶν [καὶ οὐδεὶς εἶδεν τὴν ταφὴν Μωσέως].

Περὶ τοῦ Ἰησοῦ τοῦ Ναυί [6]). Ἰησοῦς δὲ ὁ τοῦ Ναυὶ παραλαβὼν [7]) τὸν λαὸν Κυρίου ἦλθεν εἰς τὸν Ἰορδάνην βουλόμενος εἰσελθεῖν [8]) εἰς τὴν γῆν τῆς ἐπαγγελίας. Καὶ ἦν πόλις πλησίον τοῦ Ἰορδάνου πρὸς δυσμὰς καὶ εἶχεν πᾶσαν τὴν οἰκοδομὴν τοῦ πύργου ἐκ λίθον [9]) [τὸν] λεγόμενον μαγνήτην. ἀκούσας δὲ [10]) ὁ Ἰησοῦς ἀπέστειλεν κατασκόπους θεάσασθαι τὴν πόλιν καὶ κατασκοπεῦσαι αὐτὴν αὐτοῦ [11]). Εἰσελθόντες δὲ οἱ κατάσκοποι ἐγνώσθησαν παρὰ τῶν πολιτῶν Ἱεριχὼ καὶ ἐξῆλθον φεύγοντες. ἦλθον δὲ ἐν πανδοχείῳ καὶ εὗρον [12]) Ῥαὰβ τὴν πόρνην καὶ ἤρξα(ν)το παρακαλεῖν αὐτὴν ἵνα αὐτοὺς κρύψῃ, αὐτὴ δὲ ἐπερώτησεν [13]) αὐτούς· τίνες ἐστέ; οἱ δὲ εἶπον· Ἰουδαῖοί [ἐσμεν]. εἶπεν δὲ Ῥαάβ· ἤκουσα [ἐγὼ] ὅτι μέγαν θεὸν ἔχετε καὶ μεγάλου θεοῦ τυ(γ)χάνετε δοῦλοι, νῦν ἀφόβως παρεύεσθε τὴν ὁδὸν ὑμῶν, ἐγὼ γὰρ ἀποκρούσομαι τοὺς Ἱεριχουντιαίους [14]). καὶ διὰ τοῦ τείχους ἐξαγαγοῦσα αὐτοὺς ἡ Ῥαὰβ ἔδειξεν αὐτοὺς τὴν ὁδὸν [15]). ἐλθόντες δὲ οἱ Ἱεριχουνταῖοι ἔδειξεν αὐτοὺς [16]) ὁδὸν ἑτέραν λέγουσα· ὅτι ἐν ταύτῃ [17]) τῇ ὁδῷ ἀπήλθωσαν [18]). καὶ οὕτως διεσώθησαν οἱ κατάσκοποι. Ἀπελθόντες δὲ οἱ κατάσκοποι ἀπήγγειλαν πάντα Ἰησοῦ τοῦ Ναυὶ [ὅπως ἐγνώσθησαν παρὰ τῶν πολιτῶν

---

[1]) τέλος τοῦ βίου ἐχρήσατο. [2]) αὐτό. [3]) στεῖλαι add. V quod omisi. [4]) ἀρχιστράτηγος ἐπετίμησεν αὐτῷ λέγων· ἐπιτιμᾷ σοι, V ὁ ἀρχ. εἰπὼν ἐπ. αὐτόν· ἐπιτίμησέ σε. [5]) τὸ σῶμα Μωσέως. [6]) Titulus deest. [7]) λαβών. [8]) ἐλθεῖν. [9]) εἶχεν τὴν οἰκοδομὴν πᾶν τὸ τεῖχος τῆς πόλεως ἀπὸ τὸν λίθον. [10]) καὶ ἀκούσας. [11]) κατασκοπεύσωσιν αὐτήν. [12]) εἰς πανδοχεῖον καὶ εὕρωσαν. [13]) ἐπηρώτησεν. [14]) ἀποκρούσω τοὺς Ἱεριχοῦντας. [15]) καὶ δείξων (=δείξασα) αὐτοῖς τὴν ὁδὸν ἐξήγαγεν αὐτούς. [16]) ἀπέδειξεν αὐτοῖς. [17]) αὐτῇ. [18]) ἀπῆλθον.

καὶ ὡς διεσώθησαν ὑπὸ τῆς πόρνης Ῥαάβ]. Καὶ μετὰ τὸ γενέσθαι αὐτοὺς πλησίον τοῦ Ἰορδάνου εἶπεν Κύριος πρὸς Ἰησοῦν τοῦ Ναυί· ἐν τῇ ἡμέρᾳ ταύτῃ ἔρχομαι [1]) τοῦ ὑψῶσαί σε κατενώπιον [2]) πάντων τῶν υἱῶν Ἰσραὴλ ἵνα γνῶσιν ὅτι καθὼς ἤμην μετὰ Μωσῆ οὕτως ἔσομαι καὶ μετὰ σοῦ. καὶ νῦν ἔντειλαι τοῖς ἱερεῦσιν τοῖς αἴρουσιν τὴν κιβωτὸν τῆς διαθήκης [3]) Κυρίου ὡς ἂν ἐλεύσωνται [4]) καὶ στήσωνται ἐν τῷ Ἰορδάνῃ, ὁ γὰρ Ἰορδάνης ποταμὸς οὐ περαιοῦται [5]) ποσὶν ἀνθρώπου [6]) βάτος, ἀλλ' ἐπίνειαν [7]). καὶ ἐλθόντες [8]) οἱ ἱερεῖς ἔστησαν εἰς μέσον [9]) τοῦ ὕδατος τοῦ Ἰορδάνου, ὁ δὲ Ἰορδάνης ἐπληροῦτο καθ' ὅλην τὴν κρηπῖδα αὐτοῦ ὡς [ἐν] ἡμέρᾳ θερισμοῦ πυρῶν [10]). αὐτὸς γὰρ ὁ ποταμὸς [11]) γεννᾶται ἀπὸ τῆς θαλάσσης τῆς Ταβαρίας [12]) τὸ ἥμισυ αὐτοῦ καὶ τὸ ἥμισυ αὐτοῦ ἀπὸ τῆς λίμνης Γεννησαρὲτ καὶ τὸ μὲν [ἓν] λέγεται Ἰόρ, τὸ δὲ [13]) ἕτερον Δάνης, μιγόμενα δὲ [14]) κάτω τὰ δύο λέγεται Ἰορδάνης. Καὶ εἰσελθόντες τοίνυν οἱ ἱερεῖς τοῦ θεοῦ [οἱ] βαστάζοντες τὴν κιβωτὸν ἐκόπη τὸ ὕδωρ καὶ ἔστη τὰ ὕδατα καταβαίνων [15]) ἄνωθεν εἰς πῆγμα ἓν ἀφεστηκὸς μακρὰν σφόδρα ἀπὸ Δαμὴν τῆς πόλεως ἕως μέρους Καριαθιαρήμ, τὸ δὲ καταβαῖνον κατέβη εἰς τὴν θάλασσαν Ἄραβαν [16]), θάλασσαν τῶν ἁλῶν ἕως τέλους ἐξέλιπεν. καὶ διῆλθεν [17]) πᾶς ὁ λαὸς διὰ ξηρᾶς τὸν Ἰορδάνην καὶ οὕτως ἤρξαντο τοῦ πολέμου Ἱεριχώ. [18]).

Περὶ τῆς ἐμφανείας τοῦ ἀρχιστρατήγου [19]). Καὶ ἤρξαντο συνάπτειν πόλεμον οἱ (Ἰ)εριχουνταῖοι [20]) καὶ ἦν καθημερινὴ μάχη [21]). συνάπτοντες οἱ μαχισταὶ [22]) πόλεμον καὶ [μὴ] δυναμένων συντρίψαι τοὺς Ἱεριχουνταίους [23]) ἐλυπήθη Ἰησοῦς. μιᾷ δὲ τῶν ἡμερῶν συνάψαντες πόλεμον ἦν [ὁ] Ἰησοῦς παραμυθούμενος καὶ παραθαρ(ρ)ύνων τὸν λαὸν καὶ ὤφθη αὐτῷ ὁ ἀρχιστράτηγος Κυρίου [(ἐκ) δεξιῶν ἱστάμενος τοῦ πολέμου ἐσπασμένην ἔχων τὴν ῥομφαίαν αὐτοῦ ἐν τῇ χειρὶ αὐτοῦ. ἰδὼν δὲ αὐτὸν ὁ Ἰησοῦς ἦλθε πρὸς αὐτὸν καὶ λέγει αὐτῷ· τίς εἶ σύ;] ἡμέτερος εἶ ἢ τῶν ὑπ-

1) ἄρχωμαὶ 2) ἐνώπιον. 3) τοῖς αἴρ. τὴν διαθήκην. 4) εἰσελεύσωνται. 5) περᾶται 6) ἀνθρώποις V. 7) βατός, ἀλλ' ἐπινειός. 8) εἰσελθόντες. 9) μέρος V. 10) πυρός V. 11) αὐ. δὲ ὁ Ἰορδάνης. 12) τῆς Βερίαδος. 13) καὶ τό. 14) γάρ. 15) καταβαίνοντα. 16) ἄραβα. 17) ἦλθε. 18) πολεμεῖν τὴν πόλιν Ἱεριχώ. 19) Titul. deest. 20) καὶ ἤρ. πολεμεῖν τοὺς Ἱεριχοῦντας. 21) καθ'ἡμέραν ἡ μάχη. 22) συνάπτουσιν τοίνυν οἱ μαχηταί. 23) Ἱεριχοῦντας.

εναντίων; ἀπεκρίθη δὲ αὐτῷ ὁ ἀρχιστράτηγος [λέγων· ἐγώ εἰμι ἀρχιστράτηγος] Κυρίου, ἐγὼ νυνὶ παραγέγονα τοῦ βοηθῆσαί σοι. Καὶ πεσὼν Ἰησοῦς προσεκύνησεν αὐτῷ λέγων· κύριε [1]), τί προστάσ(σ)εις τῷ σῷ οἰκέτῃ; λέγει πρὸς αὐτὸν [2]) ὁ ἀρχιστράτηγος Κυρίου· λύσαι [3]) τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου, Κύριος γὰρ ὁ θεὸς παραδώσει [4]) [σοι] τοὺς Ἱεριχουντιαίους [5]) ὑπὸ χεῖράς σου, ἀλλὰ μὴ λήψῃ ἐξ αὐτῶν [ἄχρι ἀφαιροτέρου, ἀλλὰ φυλάσσου ἐξ αὐτῶν] μή ποτε προσκυνήσῃς θεοὺς αὐτῶν [6]) καὶ ἔσῃ μαχόμενος τῷ νόμῳ Κυρίου [7]), ὁ γὰρ νόμος [τοῦ] θεοῦ σωτήριός ἐστιν. καὶ εἶπεν ὁ ἀρχιστράτηγος· λαβέτωσαν οἱ ἱερεῖς ἑπτὰ σάλπιγγας καὶ κυκλώσωσιν τὰ Ἱεριχούντια τείχη ἡμέρας ἑπτὰ (καὶ) σαλπίσωσιν κύκλῳ Ἱεριχὼ καὶ πεσοῦνται τὰ τείχη. καὶ οὕτως ἀπῆλθεν ὁ ἀρχιστράτηγος. καὶ οὕτως ποιήσαντες οἱ ἱερεῖς τῇ ἑβδόμῃ [8]) ἡμέρᾳ συνέπεσον τὰ τείχη Ἱεριχὼ καὶ συνεπτώθη πᾶσα ἡ πόλις. Καὶ τούτων γινομένων [9]) ἐλάλησεν [ὁ] Ἰησοῦς τῷ λαῷ λέγων· μὴ λάβητε ἐκ τῆς πόλεως ταύτης μηδὲν [μέχρις ὀβολοῦ ἑνὸς] μηδὲ μείνῃ ἐξ αὐτῶν τις [10]) εἰ μὴ Ῥαὰβ ἡ πόρνη ἡ τοὺς κατασκόπους διασώσασα. Εὑρέθη δὲ ἀνὴρ ὀνόματι Ἄχαρ ἰουδαῖος τῷ γένει [11]) καὶ ἔκλεψε ψελλία [12]) καὶ γλώσσας εἰς ἀριθμὸν πολλὰ [13]) καὶ οὕτως παρέλαβον τὴν πόλιν Ἱεριχώ.

Περὶ τῆς Ἱεριχὼ καὶ τῆς Γάϊς [14]). Παραλαβόντες δὲ τὴν [πόλιν] Ἱεριχὼ ἀνῆλθον εἰς τὸ ὄρος [εἰς] κάστρον μικρὸν [15]) καλούμενον Γάϊν. καὶ ἐνεδρεύοντες οἱ Γάϊν [16]) ἀπέκτειναν ἄνδρας [17]) ὁπλίτας [πολεμιστὰς] τὸν ἀριθμὸν τριάκοντα. καὶ ἐλυπήθη Ἰησοῦς καὶ συνέπεσεν τὸ πρόσωπον αὐτοῦ καὶ λέγει πρὸς αὐτὸν [ὁ] ἄγγελος Κυρίου· ἴδε καὶ ἐρεύνησον τὸν λαὸν [Κυρίου] ὅτι παρέβησαν τὴν ἐντολήν σου [διὰ τοῦ Ἄχαρ] καὶ διὰ τοῦτο ἠνδρύνθησαν οἱ Γάϊν [18]). Καὶ ἐρευνήσας [19]) [ὁ] Ἰησοῦς εὗρεν ὅτι ἔκλεψεν ὁ Ἄχαρ [20]) [τούτων

---

[1]) δέσποτα. [2]) λέγει αὐτῷ. [3]) λύσον. [4]) παραδίδει [5]) Ἱεριχουνταίους. In margine Περὶ τῆς Ἱεριχώ. [6]) αὐτούς V. [7]) τοῦ θεοῦ. [8]) κυκλώσουσιν τὰ Ἱεριχούντια τείχη καὶ οὕτως ἀπῆλθεν ὁ ἀρχιστράτηγος. ὁ δὲ Ἰησοῦς ἐλάλησε τῷ λαῷ λέγων· λαβέτωσαν οἱ ἱερεῖς σάλπιγγας ἑπτὰ καὶ κυκλώσουσιν τὴν Ἱεριχὼ ἡμέρας ἑπτὰ κύκλῳ τοῦ τείχους σαλπίζοντες τῇ ἑβδόμῃ κτλ. [9]) τούτου γενομένου. [10]) καὶ μὴ διασωθῇ ἐκ τῆς πόλεως ταύτης μηδέν. [11]) ἰουδ. ὤν. [12]) ψελλίσματα λόγων. [13]) πολύν. [14]) Cnfr. supra not. 5. [15]) μικρότατον κάστρον. [16]) ἐνεδρεύοντο οἱ Γαϊνοί. [17]) ἄνδρες V. [18]) οἱ Γαϊνοί. [19]) ἐρευνήσας δέ. [20]) ὅτι Ἄχαρ ἦν ὁ κλέψας (post λόγους add. πεποίηκεν quod omisi).

τοὺς λόγους καὶ πρὸς ταῦτα] καὶ προστάτ(τ)ει ὁ Ἰησοῦς [λιθασθῆναι τὸν Ἄχαρ] καὶ ἐλίθησαν [1]) αὐτὸν πᾶς ὁ οἶκος Ἰσραὴλ καὶ τὰ κτήνη αὐτοῦ κατέκαψαν [2]) [καὶ πᾶν τὸ γένος αὐτοῦ ἐξολόθρευσε] καὶ μετὰ τὸ ποιῆσαι τὴν ἐκδίκησιν τότε ἀνῆλθον καὶ παρέλαβον [3]) τὴν [γῆν] Γάϊν καὶ ἐξολόθρευσαν αὐτὴν καὶ οὐ διέσωσαν ἀπὸ τὴν Γάϊν [τι] πλὴν ζώων [4]), ἀπὸ δὲ τῆς Ἱεριχὼ Ραὰβ τὴν πόρνην [5]). Ταῦτα μέμνηται ὁ ψαλμῳδὸς λέγων· μνησθήσομαι Ραὰβ καὶ Βαβυλῶνος τοῖς γινώσκουσίν με [τουτέστι τοὺς φοβηθέντας με. Ἤκουσαν οἱ Χαναναῖοι τὴν ἔφοδον τῶν Ἰουδαίων καὶ ἐτάκησαν. τότε ἐπληρώθη τὸ ῥηθέν· ἐτάκησαν πάντες οἱ κατοικοῦντες Χαναάν, οἱ δὲ Χαναναῖοι κατῴκουν τὴν γῆν ταύτην.

Ἀκούσαντες δὲ οἱ Γαβαωνῖται ὅτι ἔθνος θεοῦ ἥκει πρὸς αὐτοὺς δυνατὸν ἔλεγον· ὁ θεὸς αὐτῶν θάλασσαν ἔτεμεν καὶ διήγαγεν αὐτούς, τὸν Ἀμαλὶκ τροπωσάμενος ἐξεφάνισεν, τοὺς Ἀσ(σ)υρίους κατίσχυνεν, τοὺς Μωαβίτας ἐξολόθρευσεν, τὴν Ἐδὼμ κατεκυρίευσε, τὴν χώραν Μαδιὰμ κατίσχυνε, τὴν Αὐσίτιδα κατηδάφησεν, τοὺς Ἀμανίτας εἰς τέλος ἐξήλειψεν, τὴν χώραν τῶν ἀλῶν κατεδαπάνησε, τὸν Ἰορδάνην τεμὼν εἰς τέλος διὰ ξηρᾶς αὐτοὺς ἐπέρασε καὶ ἁπλῶς οὐκ ἔστι ὁ ἀνθιστάμενος αὐτοῖς οὐ ποταμός, οὐ θάλασσα, οὐ παρεμβολαί, οὐ τείχη Ἱεριχούντων, ἀλλὰ καὶ αὐτὰ καταπεπτώκασι τῇ δυνάμει τοῦ θεοῦ αὐτῶν. Ταῦτα πάντα ἐνωτισθέντες οἱ Γαβαωνῖται βουλεύονται μηχανήματα τοιαῦτα· περιβάλ(λ)ονται ἱμάτια ῥυπώδη καὶ χιτῶνας ἐρερυγμένους ἀσκοὺς παλαιοὺς καὶ οἶνον σαπρόν, σχιστοὺς ἄρτους καὶ ὑποδήματα παλαιά, καὶ οὕτως μεταβληθέντες ἦλθον εἰς τὴν παρεμβολὴν πρὸς τοὺς ἄρχοντας καὶ Ἰησοῦν [6]) τὸν τοῦ Ναυὶ καὶ προσπεσόντες εἶπον αὐτῷ· κύριοι, ἤλθομεν προσκυνῆσαι ὑμᾶς μή ποτε ἐξολοθρεύσετε ἡμᾶς. καὶ εἶπον πρὸς αὐτοὺς οἱ ἄρχοντες· πόθεν ἥκατε; οἱ δὲ εἶπον· ἐκ μήκοθεν χώρας ἤλθομεν ὁρῶντες καὶ ζητοῦντες ἀφ' ὑμῶν εἰρήνην. ὁρᾶτε τοὺς παλαιοὺς χιτῶνας οὓς περιβεβλήμεθα; ἀθίκτους αὐτοὺς περιεβαλόμεθα, τοὺς δὲ ἄρτους νεοψήτους ἐλάβομεν καὶ ἤλθομεν ζητοῦντες εἰρήνην. ἠπάτησαν οὖν τοὺς ἄρχοντας καὶ Ἰησοῦν τὸν τοῦ Ναυὶ καὶ ἐποίησαν εἰρήνην μετ' αὐτῶν καθὼς

---

[1]) ἐλίθασαν. [2]) κατέκαυσαν. [3]) ἀνῆλθε καὶ παρέλαβε. [4]) εἰ μὴ ζῶα. [5]) P. ἡ πόρνη V. [6]) Cod. Ἰησοῦς.

ἠτήσαντο καὶ ἠπατήθησαν ὅτι πλησίον ὄντες εἶπον ἐκ μήκοθεν ἥκασιν. καὶ ἀπῆλθον οἱ Γαβαωνῖται οἴκαδε ἀμέριμνοι ὄντες. Οἱ δὲ Ἰουδαῖοι ἐξῆλθον σκυλεύσαντες τὰς κύκλῳ πόλεις, ἦλθον πρὸς Γαβαών. καὶ ἐξῆλθον οἱ Γαβαωνῖται εἰς συνάντησιν αὐτῶν οἱ ἐλθόντες πρὸς εἰρήνην, καὶ ἀναγνωρίσαντες αὐτοὺς οἱ Ἰουδαῖοι εἶπον αὐτοῖς· ὅτι αὕτη ἐστὶν ἡ πόλις ὑμῶν; καὶ εἶπον αὐτοί· ναί. καὶ εἶπον αὐτοῖς· καὶ διὰ τί ἐπλανήσατε ἡμᾶς εἰπόντες ὅτι ἐκ μακρᾶς χώρας ἥκαμεν πρὸς ὑμᾶς; Καὶ ἐπανέστη πᾶς ὁ λαὸς κατὰ Ἰησοῦ καὶ κατὰ τῶν ἀρχόντων λέγοντες· διὰ τί οὐκ ἠρωτήσατε τὸν θεόν, ἀλλ' ἐποιήσατε μετὰ ἀβουλίας πρᾶγμα ἀσύμφερον; Ἐξῆλθον οὖν οἱ Γαβαωνῖται εἰς ὑπάντησιν τοῦ Ἰησοῦ προσπίπτοντες τοῖς ποσὶν αὐτοῦ. καὶ εἶπεν ὁ Ἰησοῦς πρὸς αὐτούς· ἐπειδὴ ἐπλανήσατε ἡμᾶς εἰπόντες ὅτι ἐκ μήκοθε(ν) χώρας ἥκομεν, ὑμεῖς δὲ πλησίον ἡμῶν ὑπήρχετε. νῦν οὖν κατὰ τὸν ὅρκον ἡμῶν οὐ μὴ βλάψω ὑμᾶς, ἀλλ' ἔσ(ε)τε τῇ παρεμβολῇ τῶν υἱῶν Ἰσραὴλ ὑδροφόροι καὶ ξυλοφόροι· καὶ οὕτως ποιήσας αὐτοὺς κατεδούλωσεν. Καὶ περὶ τούτου γράφει σοφός τις· ἀνάστηθι καὶ καταπολέμησον ὡς Ἰησοῦς ὁ τοῦ Ναυὶ τῆς σαρκὸς τὰ πάθη καὶ τοὺς Γαβαωνίτας, τοὺς ἀπατηλοὺς λογισμοὺς ἀεὶ νικῶσα. τουτέστιν τοὺς ἀπατῶντας ἡμᾶς πονηροὺς λογισμούς· ὥσπερ οἱ Γαβαωνῖται ἠπάτησαν τὸν Ἰησοῦν τοῦ Ναυὶ καὶ τοὺς ἀρχηγοὺς τῶν Ἰουδαίων, οὕτως καὶ ἡμᾶς (ἀπατᾷ) ὁ πονηρὸς λογισμὸς ὅτι καλῶς τὸ κακὸν πράττομεν καὶ οὐκ αἰσθανόμεθα· διὰ τοῦτο καὶ ὁ σοφὸς τοὺς ἀπατηλοὺς λογισμοὺς νι(κᾶν εὔχεται).]

Περὶ τοῦ Ἀεδώρ [1]. Ἐκράτησεν δὲ [ὁ] Ἰησοῦς ὁ τοῦ Ναυὶ ἔτη κα' καὶ μετὰ τοῦτον ἤρχοντο [2] οἱ πρεσβύτεροι. ἐλθόντες δὲ οἱ τῶν Περσῶν βασιλεῖς [3] καὶ πολεμήσαντες κατεκυρίευσαν αὐτῶν καὶ ἦσαν [οἱ] Ἰουδαῖοι ὑπόφοροι [4] τῶν Χαλδαίων. Ἀνέστη δὲ ἐν τοῖς Ἰουδαίοις ἄνθρωπος ὀνόματι (Ἀ)ενδώρ [5]. οὗτος εἰς ζῆλον ἦλθεν ὅπως οἱ πατέρες [6] αὐτοῦ κατεδούλοντο [7] Χαλδαίοις καὶ ἤρξαντο [8] ποιῆσαι ἐλευθερίαν τῆς πατρίδος καὶ λέγει τοῖς Ἰουδαίοις· τί μοι ποιήσετε κἀγὼ ἐλευθερώσω τὴν πατρίδα ἐκ γῆς [9] Χαλδαίων; Εἶπον οὖν αὐτῷ οἱ Ἰουδαῖοι ὅτι καταστήσο-

---

[1]) Titul. deest in V. [2]) ηὔχοντο V. (τοῦτο O). [3]) στρατηγοί. [4]) ὑπτόφοροι V. [5]) ἀνὴρ ὀν. Ἀεδώρ. [6]) ἡ πατρίς. [7]) κατεδουλοῦτο. [8]) ἤρξατο. [9]) χειρός.

μέ(ν) σε ἄρχοντα [1]) ἡμῶν· καὶ λέγει πρὸς αὐτούς· δότε με [2]) δῶρα ἵνα ἀπέλθω πρὸς [3]) Γὼτ [4]) [τὸν] βασιλέα Περσῶν· Οὗτος γὰρ ὁ Γὼτ ἐβασίλευσεν τῷ τότε καιρῷ Περσῶν, Χαλδαίων, Μήδων, Γαζαρηνῶν καὶ δυνάστης ὧν ἐκράτησεν δὲ τῶν Ἰουδαίων γένος [5]). Λαβὼν δὲ [ὁ] Ἀεδὼρ [τὰ δῶρα] ἀπῆλθεν πρὸς Γὼτ βασιλέα Περσῶν [6]) καὶ προσκυνήσας δέδωκεν τὰ δῶρα εἰπών [7])· ἐστάλησάν σοι, δέσποτα, παρὰ τῶν παίδων σου τῶν Ἰουδαίων ταῦτα [8]). ὁ δὲ Γὼτ τυφλωθεὶς τοῖς δώροις ἀσμένως αὐτὸν ὑπεδέξατο. ἐλθὼν δὲ Ἀεδὼρ ἀνεπαύθη ἐν τῷ στρατοπέδῳ αὐτοῦ. ἦν γὰρ ἐπαγόμενος μετ' αὐτοῦ τρισχιλίους ἄνδρας πολεμιστὰς μαχίμους. ἐλάμβανον δὲ τὰς χρείας αὐτῶν ἐκ τῶν παλατίων [9]) Γώτ. ἠβουλήθη δὲ ὑποστρέψαι [10]) [Ἀεδὼρ] οἴκαδε καὶ λέγει τῷ βασιλεῖ· λόγος μοι πρός (σ)ε, βασιλεῦ τοῦ λαοῦ, ἐν μυστηρίῳ [11]). καὶ εἶπεν Γώτ· ἄς ἔλθωμεν [12]) εἰς τὸ ἐνδότερον τοῦ [13]) παλατίου [καὶ ὑπαγγέλλεις μοι ταῦτα]. εἰσελθόντων δὲ αὐτῶν μόνων ἔχων Ἀεδὼρ μάχαιραν κρυφίως ἐνέπηξεν αὐτὴν ἐν τῇ κοιλίᾳ τοῦ βασιλέως [14]) καὶ σχίσας αὐτὸν ἔῤῥιψεν [15]) χαμαὶ νεκρὸν ἄφωνον, ἐξελθὼν δὲ [16]) ἀπέκλεισε τὴν θύρα(ν) κατ' αὐτοῦ εἰπὼν τοῖς παρεστῶσιν ὅτι ὑπνεῖ ὁ βασιλεὺς καὶ παρήγγειλέ μοι κλεῖσαι κατ' αὐτοῦ τὴν θύραν ἵνα μὴ περικοπὴ [αὐτῷ] γενήσεται [17]). Ταῦτα εἰπὼν Ἀεδὼρ τοῖς παρεστῶσιν ἐξῆλθεν [18]) πρὸς τοὺς Ἰουδαίους καὶ λέγει αὐτοῖς· ἑτοιμάσθητε καὶ σκυλεύσαντες τοὺς Πέρσας ἀποδράσωμεν ἐκεῖθεν. ἑτοιμασθέντες δὲ ἤρξαντο σκυλεύειν τοὺς Πέρσας, οἱ δὲ ἄρχοντες Γὼτ ἰδόντες τὸ γινόμενον [19]) διάραντες τὰς θύρας τοῦ παλατίου [εἰσῆλθον καὶ] εὗρον τὸν Γὼτ [20]) κείμενον νεκρόν. Ὁ δὲ Ἀεδὼρ λαβὼν τὰ σκύλα πλεῖστα ἀπῆλθεν πρὸς τοὺς Ἰουδαίους ἐν Ἱερουσαλήμ. τούτου μεμνημένος ὁ Δαυὶδ λέγει καταρώμενος τοὺς ἐχθροὺς αὐτοῦ· ἐξολοθρεύθησαν ἐν Ἀεδώρ.

Θῦσον [ψυχὴ] θυσίαν τῷ θεῷ, θυσίαν ἐπαινουμένην πρᾶξιν

---

[1]) εἰς ἀρχήν. [2]) μοί. [3]) εἰς. [4]) Γώγ ubique praebet V. [5]) ἐκράτησε καὶ τὸ τῶν Ἰ. ἔθνος. [6]) καὶ ἐλθὼν πρὸς τὸν βασιλέα. [7]) προσεκύνησεν αὐτῷ καὶ εἶπεν αὐτῷ. [8]) ταῦτα τὰ δῶρά σοι ἐστάλησαν παρά κτλ. [9]) ἀπὸ τοῦ παλατίου. [10]) ἀποστρέψαι. [11]) λόγον ἔχω λαλῆσαι πρός σε, βασιλεῦ, ὡς ἐν μυστηρίῳ. [12]) εἰσέλθωμεν om. ἄς. [13]) μοῦ V. [14]) τοῦ Γώτ. [15]) ἔκρυψαν V. [16]) καὶ ἐξελθών. [17]) γένοιτο. [18]) τ. εἶπεν Ἀ. τ. π. καὶ ἐξελθών. [19]) τὸ γενόμενον. [20]) εὗρον τὸν βασιλέα.

ὡς θυγατέρα προσάγαγε [τῆς Ἰεφθάε καθαρωτέραν καὶ σφάξον ὥσπερ θῦμα τὰ πάθη τῆς σαρκὸς τῷ Κυρίῳ σου].

Περὶ τοῦ Ἰεφθάε. Οὗτος Ἰεφθάε ἦν ἐκ τῆς φυλῆς [1]) τοῦ Δὰν καὶ ἐξεδιώχθη [ἐκ] τῆς φυλῆς αὐτοῦ διὰ τὸ εἶναι αὐτὸν νοθογέν(ν)ητον· ἡ γὰρ μήτηρ αὐτοῦ πορνεύσασα εἰς τὸν αὐτῆς δοῦλον [2]) ἔτεκεν αὐτόν. αἱ γὰρ δώδεκα φυλαὶ τοῦ Ἰσραὴλ οὐ συνεμίγνυντο ἀλ(λ)ήλαις [3]), ἀ(λ)λ' ἑκάστη φυλὴ τὴν ἰδίαν κληρουχίαν περιέσχηκεν [4]). διὰ τοῦτο καὶ ὁ ψαλμῳδός φησιν· σχοίνισμα κληρονομίας, καὶ ἀλ(λ)αχοῦ· ἐν σχοινίᾳ κληροδοσίας. Διωχθεὶς δὲ Ἰεφθάε ἀπὸ [5]) τῆς φυλῆς αὐτοῦ ἀνῆλθεν [6]) εἰς [τὸ] ὄρος καὶ ἐκάθισεν ἐκεῖ μόνος, οἱ δὲ υἱοὶ Ἰσραὴλ ἐκυριεύθησαν ὑπὸ τῶν ἐθνῶν καὶ οὐκ ἦν αὐτοῖς ἀνάψυξις. ἀγανακτήσαντες δὲ υἱοὶ Ἰσραὴλ [7]) μὴ ἔχοντες ἄρχοντα [8]) [ἦσαν ἐν πολλῇ θλίψει], οὐ γὰρ ἦν αὐτοῖς [9]) ἄρχων, προσῆλθον τῷ Ἰεφθάε παρακαλῶντες [10]) αὐτὸν [ἐλθεῖν] εἰς (σ)υμ(μ)αχίαν αὐτῶν, ὁ δὲ ἀπείπατο εἰπὼν [11]) τοῖς Ἰουδαίοις· ὅτι ἐγὼ ἐκδιωκόμενός εἰμι ἀπὸ τῆς φυλῆς μου καὶ οὐ δύναμαι συμ(μ)αχεῖν [12]) ὑμῖν ἐν τῷ πολέμῳ. οἱ δὲ συνέθεντο [αὐτῷ] μεθ' ὅρκου ἄρχοντα αὐτὸν καταστῆσαι [13]) παντὸς τοῦ ἔθνους τῶν Ἰουδαίων, ἐὰν συμ(μ)αχήσας νικήσῃ [14]) ἐν τῷ πολέμῳ. Ἀκούσας δὲ Ἰεφθάε τοῦ λαοῦ τὰ ῥήματα [15]) καὶ τῶν ἀρχόντων ἐξῆλθεν εἰς [τὸν] πόλεμον. ἐξερχομένου δὲ αὐτοῦ ὅρκον ἔθεντο [16]) τοῦ μὴ λαβεῖν τὰ τῶν πολεμίων [17]) λάφυρα· ὁμοίως ἐρχομένου μου ἀπὸ [18]) τῆς νίκης εἴ τίς μοι γένηται συναντῶ(ν) [19]) ποιήσω αὐτὸν Κυρίῳ τῷ θεῷ μου θυσίαν. Ἀπελθὼν δὲ ἐν τῷ πολέμῳ καὶ νικήσας ὑπέστρεψεν. [ἐρχομένου δὲ αὐτοῦ] ἤκουσεν ἡ θυγάτηρ αὐτοῦ ὅτι ὁ πατὴρ αὐτῆς μετὰ νίκης παρέστη [20]) ἐκ τοῦ πολέμου καὶ ἐξῆλθεν [21]) εἰς συνάντησιν αὐτοῦ. ὁ δὲ Ἰεφθάε ἰδὼν τὴν αὐτοῦ θυγατέραν ἤρξατο θρηνεῖν, ἡ δὲ θυγάτηρ αὐτοῦ ἐπερώτησεν αὐτῷ τὴν αἰτίαν τοῦ θρήνου. ὁ δὲ [Ἰεφθάε] εἶπεν αὐτῇ· θυσίαν σε ἐταξάμην [22]) [ὦ τέκνον] θυσιάσαι Κυρίῳ τῷ θεῷ. Εἶπεν δὲ

---

[1]) Ἰεφθ. ἐκ τῆς φυλῆς ὤν. [2]) μετὰ τὸν δοῦλον αὐτῆς. [3]) ἀλλήλοις V. [4]) ἔσχεν. [5]) δ. οὖν ὁ Δὰν ἐκ. [6]) ἀνήχθη. [7]) δὲ οἱ Ἰσραηλῖται. [8]) ἄρχοντες. [9]) τοῖς υἱοῖς Ἰσραήλ. [10]) πρ.· πρὸς Ἰ. παρακαλοῦντες. [11]) εἰπεῖν. [12]) συμμαχῆσαι. [13]) καταστήσομεν V. [14]) νικήσας V. [15]) τὰ τοῦ λαοῦ ῥήματα. [16]) ἔθετο. [17]) πολέμων. [18]) ἐξερχομένου μου ἐκ. [19]) συνάντημα. [20]) ἥκει μετὰ ν. [21]) καὶ ἦλθεν· [22]) θ. σε προσετάγην.

αὐτῷ ἡ θυγάτηρ αὐτοῦ· κύριε, ἔασόν με τριμηναῖον [1]) καιρὸν χαρῆναι μετὰ τῶν ὁμηλίκων κορασίων [2]) καὶ εἶτα [3]) ποίησον εἰς ἐμὲ εἴ τι [4]) κελεύεις. καὶ ἐποίησεν ὁ πατὴρ αὐτῆς κατὰ τὸ θέλημα αὐτῆς. καὶ αὕτη ἦν διερχομένη τὸν τριμηναῖον καιρὸν ἀπὸ τόπον εἰς τόπον καὶ συνάγουσα ἄνθη τῶν ὀρέων μετὰ τῶν ὁμηλίκων [5]) αὐτῆς καὶ ἀπολαβοῦσα [6]) τοῦ κόσμου τούτου τὴν τερπνότητα. μετὰ δὲ τὸ μετελθεῖν [7]) τὸν τριμηναῖον καιρὸν ἦλθε πρὸς τὸν πατέρα αὐτῆς καὶ ἔθυσεν αὐτὴν Κυρίῳ τῷ θεῷ θυσίαν καθαρὰν [καὶ οὐκ ἐλογίσθη αὐτῷ εἰς ἁμαρτίαν]. Διὰ τοῦτο καὶ ὁ σοφὸς ἐμνήσθη τῆς ἱστορίας ταύτης· θῦσον, ἔλεγεν, ψυχή μου, θυσίαν ἐπαινουμένην [8]).

Περὶ τοῦ Μανωέ [9]). Τὸν Μανωὲ ἀκούεις πάλαι, ψυχή μου, θεὸν [10]) ἐν φαντασίᾳ γενόμενον καὶ τὸν ἐκ στείρας τότε λαβόντα καρπὸν ἐπαγγελίας αὐτοῦ τὸ εὐσεβὲς μιμησώμεθα [11]). Οὗτος ὁ Μανωὲ ὑπῆρχεν ἐκ φυλῆς Ἀσήρ, ὑπῆρχεν δὲ ἄτεκνος· καὶ ἦν Μανωὲ ἐν θλίψει διὰ τὴν παιδοποιΐαν καὶ ηὔχετο γενέσθαι αὐτῷ τέκνον. μιᾷ δὲ τῶν ἡμερῶν τοῦ Μανωὲ ἀροτριοῦντος ἐν τῷ ἀγρῷ ἦλθεν εἰς τὸν οἶκον αὐτοῦ ἄγγελος Κυρίου λέγων τῇ γυναικὶ αὐτοῦ [12])· γύναι, φύλαξον ἀπὸ ταύτης τῆς ἡμέρας ὅσα ἐγώ σοι ἐντέλλομαι· κρέας μὴ εἰσέλθῃ διὰ στόματός (σ)ου μήτε πᾶν ἀκάθαρτον καὶ οἶνον καὶ σίκερα μὴ πιῇς, ἀλλὰ ἀπὸ ταύτης τῆς ἡμέρας (φύλαξον πάντα) ὅσα ἐγώ σοι ἐντέλλομαι, διότι ἐν γαστρὶ ἕξεις καὶ γεν(ν)ήσεις υἱὸν ὅτι ναζωραῖον [13]) θεοῦ ἐστι τὸ παιδίον. καὶ ἀπῆλθεν ἀπ' αὐτῆς ὁ ἄγγελος. Ἐλθὼν δὲ ὁ ἀνὴρ αὐτῆς τῇ ἑσπέρᾳ ἐπήγγειλεν αὐτῷ ταῦτα. εἶπεν δὲ αὐτῆς (=αὐτῇ) ὁ Μανωὲ ὁ ἀνὴρ αὐτῆς· διὰ τί οὐκ ἐφώνησάς μοι ἵνα ἴδω κἀγὼ τὸν ἄνθρωπον; ἀλλὰ δείπνησον ἄρτι μετ' ἐμοῦ καὶ ὅταν γένηται ἐλθεῖν πάλιν φώνησόν μοι ἵνα ἴδω κἀγὼ αὐτόν. Καὶ ἐποίησεν ἡ γυνὴ καθὼς προ(σ)ετάχθη παρὰ τοῦ ἀνδρὸς αὐτῆς· ἦσαν γὰρ φιλόθεοι ὅ τε Μανωὲ

---

[1]) τριμηνιαῖον. [2]) τῶν συν(ομ)ηλικιωτῶν μου. [3]) καὶ μετὰ ταῦτα, V καὶ εἴ τις quod correxi. [4]) ἐμὲ ὡς. [5]) συνομηλικιωτῶν. [6]) κατααπολαβοῦσα V. [7]) διελθεῖν. [8]) σοφός τις μέμνηται λέγων· ὅτι ὡς ὁ Ἰεφθάε καθαρὰν θυσίαν προσήνεγκε τῷ θεῷ, οὕτως καὶ σύ, ψυχή, τὴν πρᾶξιν καθάρασα πρόσαξον τῷ θεῷ θυσίαν ἀληθῶς καθαράν. [9]) Περὶ τοῦ Σαμψών. [10]) θεοῦ. [11]) εὐγενές μιμ. Quae ab inde sequuntur de Manoe et Sampsone historiolae praetermissae sunt in O. [12]) Cod. λέγων αὐτῇ. [13]) Ναζιραῖος· ὁ θεῷ κεχαρισμένος καὶ ἀφιερωμένος Suidae lexic.

καὶ ἡ γυνὴ αὐτοῦ. τῇ δὲ ἐπιούσῃ ἐλθὼν ὁ ἄγγελος πρὸς τὴν γυνὴν (=γυναῖκα) εἶπεν αὐτῇ· οὐκ εἶπόν σοι, γύναι, τοῦ φυλάσ(σ)ειν σε ἀπὸ παντὸς ἀκαθάρτου, οἶνον καὶ σίκερα οὐ μὴ πιεῖν σε [1]), ξηρὸς ἐπὶ τὴν κεφαλὴν αὐτοῦ οὐκ ἀναβήσεται διότι ναζωραῖον θεοῦ ἐστι τὸ παιδίον; καὶ εἶπεν ἡ γυνὴ πρὸς τὸν ἄγγελον· κύριε, εἰ ἀληθῆ εἰσιν τὰ ῥήματά σου, καθέστηθι ἕως [2]) ὅτου φωνήσω τὸν ἄνδρα μου. καὶ λέγει πρὸς αὐτὴν ὁ ἄγγελος· πορεύου. ἀπελθοῦσα δὲ ἡ γυνὴ ἐσπούδασε τὸν ἄνδρα αὐτῆς [3]). εὗρεν τὸν ἄγγελον καθεζόμενον καὶ λέγει αὐτῷ· σὺ εἶ ὁ ἄνθρωπος τοῦ θεοῦ ὁ ἐλθὼν χθὲς ἐν τῷ οἴκῳ μου καὶ εἰπὼν τῇ γυνῇ μου τάδε; ὁ δὲ ἄγγελός φησιν· ἐγώ εἰμι, καὶ ἰδοὺ λέγω σοι [4]). ἐγκύμων ἔσται [5]) γὰρ ἡ γυνή σου καὶ τέξεται παῖδαν ἄῤ(ῥ)ενα, οἶνον καὶ σίκερα οὐ μὴ πίῃ, ξηρὸς ἐπὶ τὴν κεφαλὴν αὐτοῦ οὐκ ἀναβήσεται ὅτι ναζωραῖον θεοῦ ἐστι τὸ παιδίον. Ἀκούσας δὲ Μανωὲ εἶπεν πρὸς τὸν ἄγγελον τοῦ θεοῦ· κύριε, εἰ ἀληθῆ εἰσιν τὰ ῥήματά σου, ἔκδεξαι [6]) καὶ πορεύσομαι καὶ ἀγάγω ἔριφον αἰγῶν καὶ θύσας φάγεσαι. λέγει πρὸς αὐτὸν ὁ ἄγγελος· πορεύου. Καὶ δραμὼν Μανωὲ εἰς τὸ ποίμνιον ἤγαγεν ἔριφον αἰγῶν καὶ ἔθυσεν αὐτόν. λέγει πρὸς αὐτὸν ὁ ἄγγελος· θὲς αὐτὸ ἐπὶ τῆς πέτρας ὅτι ἐὰν ὀπτήσῃς αὐτό, οὐ φάγωμεν, ἐὰν δὲ θύσῃς αὐτὸ θυσίαν Κυρίῳ τῷ θεῷ σου, ἔσται σοι εἰς ἐξίλασμαν. Καὶ ἔθυσεν Μανωὲ τὸ θῦμα ἐπὶ τῆς πέτρας καὶ ἁπλώσας ὁ ἄγγελος τὸ ἄκρον τῆς ῥάβδου τῆς φερομένης ἐν τῇ χειρὶ αὐτοῦ ἐξῆλθεν ἐξ αὐτῆς φλόγα πυρὸς καὶ κατέκαυσεν τὸ ὁλοκαύτωμα· γενόμενος δὲ ὁ ἄγγελος φλὸξ πυρὸς ἀφανὴς ἐγένετο. Ὁ δὲ Μανωὲ ἰδὼν τὸ παράδοξον θαῦμα ἔπεσεν χαμαὶ καὶ λέγει τῇ γυνῇ αὐτοῦ· ἀπωλόλαμεν, ὦ γύναι, θεὸν ἑωράκαμεν· ἐν θεῷ γὰρ φαντασία ἐγένετο ὁ Μανωὲ καὶ ἐφοβήθη ἵνα μὴ ἀποθάνῃ.

Καὶ τούτου γενομένου συνέλαβεν ἡ γυνὴ Μανωὲ καὶ ἔτεκεν υἱὸν καὶ ἐπωνόμασεν αὐτὸν Σαμψών. καὶ ἐγένετο ἀνὴρ δυνατὸς ἕως ὅτου εἶχεν σύνοικον τὴν ἐγκράτειαν. Ἀνδριθέντος δὲ τοῦ παιδίου καὶ νίκας πολλὰς τῷ Ἰσραὴλ ἐργασαμένου [7]) τυχὼν αὐτῷ οὕτως· εὗρον [8]) αὐτὸ(ν) οἱ πολέμιοι ἐν τῷ πεδίῳ ὡς νήπιον ἐν τῷ ἀγρῷ,

[1]) **Post σέ plura exciderunt.** [2]) **Cod. καθέστητι ὡς.** [3]) **Post αὐτῆς exciderunt quaedam.** [4]) **Iterum exciderunt.** [5]) **Cod. ἦσοι.** [6]) **Ante et post ἔκδεξαι quaedam sunt praetermissa.** [7]) **Cod. ἐργασάμενος.** [8]) **Cod. εὑρεῖν.**

οἱ πολέμιοι χιλιάδες ιβʹ· καὶ μὴ ἔχων ἐπὶ χεῖρας ἅρμα ἢ ξίφος (ἤ τι ἄλλο?) εἶδος πολεμικοῦ ὀργάνου πρὸς συμ(μ)αχίαν εὑρὼν ἐν τὸ πεδίον σιαγῶναν ξηρὰν ὄνου ταύτην λαβὼν ἐπὶ χεῖρας ἐτροπώσατο τὰς δώδεκα χιλιάδας, καὶ ἐκ τοῦ πολέμου διψήσας ηὔξατο τῷ θεῷ καὶ τὴν σιαγῶναν ξηρὰν οὖσαν ἀποπιάσας ἀπερ(ρ)ύη ὕδωρ ἐξ αὐτῆς καὶ ἔπιεν εἰς χόρτασμαν καὶ ἔστη ἡ δίψα αὐτοῦ. καὶ ἦν ἀνὴρ δυνατὸς (καὶ) εὐάρεστος, τηρῶν τὰς ἐντολὰς τοῦ θεοῦ. διὸ καὶ ὁ σοφὸς μέμνηται ἐγκωμιάζων οὕτως· ὁ πρὶν ἐν σιαγῶνι ὄνου νικήσας τοῖς ἀλ(λ)οφύλοις νῦν παρανάλωμα τῆς ἐμπαθοῦς λαχνίας εὑρέθη.

Περὶ τοῦ Σαμψών. Οὗτος ὁ Σαμψὼν πολλὰ τῷ Ἰσραὴλ κατώρθωσεν πράγματα καὶ νίκας πολλὰς πεποίηκεν· τρόπαια γὰρ ἀνεστήσατο πάμπολλα. οἱ δὲ ἀλλόφυλοι μὴ φέροντες αὐτοῦ τοὺς ἀνδρείους ἀγῶνας (ἤρξαντο) διὰ μηχανῆς ἐπιβαίνειν αὐτῷ ὅπως αὐτὸν ἀπολέσωσιν καὶ ἤρξαντο ποιεῖν πότους μετ' αὐτοῦ. καὶ ἤρξατο [1]) (ὁ Σαμψὼν) μεθύσκεσθαι μετ' αὐτῶν καὶ οὐκ ἐπείσθη ταῖς βουλαῖς τῆς μητρὸς αὐτοῦ λαβεῖν γυναῖκα ἐκ τῆς φυλῆς αὐτοῦ, ἀλλ' ἦν συνεσθίων τοῖς ἀλλοφύλοις. Μιᾷ δὲ τῶν ἡμερῶν μεθυσθέντος αὐτοῦ ἀπὸ τοῦ οἴνου [2]) ἐπέδησαν αὐτὸν σιδήροις οἱ ἀλ(λ)όφυλοι κλοιοὺς περιθέντες ἑπτά. οὐ γὰρ ἐτρομοῦσαν προσψαῦσαι αὐτὸν νηστείᾳ [3]) καὶ σιδερώσαντες ἔθηκαν ἵνα ὅταν ἐκνήψῃ τοῦ οἴνου ποιήσῃ μετ' αὐτῶν συνθήκας τοῦ μὴ μάχεσθαι [4]) μετ' αὐτῶν μή(τε) πόλεμον κινεῖ(ν). ὁ δὲ Σαμψὼν μέσης νυκτὸς ἐξυπνήσας καὶ τοῦ οἴνου ἀφεθεὶς ἔγνω ὅτι δέσμιος ἦν καὶ διαναστὰς συνέτριψεν τὰ δεσμὰ καὶ τὰς ἑπτὰ ἁλύσεις ἄρδην συνθλάσας ἀνέστη ἐλθὼν εὗρε τὴν πύλην τῆς πόλεως [5]) κεκλεισμένην καὶ ὑποθεὶς τοῖς ὤμοις αὐτοῦ ἀνέσπασεν τὰς πύλας τῆς πόλεως σὺν τῷ πύργῳ ἐκ θεμελίων καὶ βαστάσας ἀνέβη καὶ ἔθηκεν ἐπάνω τοῦ ὄρους [6]). Ἀμυνόμενος δὲ κατ' αὐτοῖς ὁ Σαμψὼν εὗρεν πλήθη αἰλούρων [7]) ἀλῶντας καὶ ἔδησεν τὰς οὐρὰς αὐτῶν κηρίοις ἅπτοντας ἐν καιρῷ θερισμοῦ καὶ ἀπέλυσεν αὐτὰς εἰς τὰς χώρας καὶ κατέκαυσαν τὰς χώρας αὐτῶν. Οἱ δὲ ἀλ(λ)όφυλοι διανοήσαντες τοῦ δοῦναι αὐτὸν γυναῖκα ἐκ τῆς φυλῆς

---

[1]) Cod. ἤρξαντο. [2]) Cod. ὕπνου. [3]) Cod. νηστείῃ. [4]) Cod. μάχεσται. [5]) Cod. πολέου. [6]) Post ὄρους plura praetermissa videntur. [7]) Cod. αἰλουρῶν.

αὐτῶν ὃ δὴ καὶ πεποίηκαν. καὶ γενομένου τοῦ δεσμοῦ ἤρχετο θεάσασθαι τὴν μεμνηστευμένην [1]) αὐτοῦ καὶ ἰδοὺ [2]) κατὰ τὴν ὁδὸν εὑρὼν λέοντα ἐπάταξεν αὐτὸν καὶ μεθ' ἡμέρας τινὰς διερχόμενος τῷ τόπῳ εὗρεν σμῆνος μελισσῶν φωλεύσας ἐν τῷ κρανίῳ τοῦ [3]) λέοντος, καὶ ἔφαγεν ἐκ τοῦ μέλιτος. Ἐλθόντες δὲ οἱ νεώτεροι τῶν ἀλλοφύλων ἐσυνεδείπνουν [4]) αὐτῷ ὡσεὶ τριακόσιοι καὶ μεθύσαντες εἶπεν Σαμψὼν πρὸς αὐτούς· ἐρωτήσω ὑμᾶς αἴνιγμα ὅπερ ἐὰν εὑρήσητε δίδω ὑμῖν στολὰς τριακοσίας, εἰ δὲ μή γε, ἀναλαμβάνομαι τὰς στολὰς ὑμῶν. οἱ δὲ ἔφησαν· εἰπὲ ὃ βούλῃ. Καὶ εἶπεν Σαμψών· τί ἐστιν [5]) ἐκ τοῦ μὴ βρώσκοντος βρῶσις καὶ ἐκ τοῦ πικροῦ γλυκύν; Ἀκούσαντες δὲ υἱοὶ τῶν ἀλλοφύλων οὐδὲν ἐπέγνωσαν καὶ ἐζήτουν διορίαν ἡμέρας ιε', καὶ δέδωκεν αὐτοῖς διορίαν ὡς ἤθελον. οἱ δὲ εἰσελθόντες εἶπον τῇ Δαλιδὰ ἥτις ἦν ἡ γυνὴ τοῦ Σαμψὼν λέγοντες· πάντως [6]) τοῦ ἡμετέρου γένους τυ(γ)χάνεσαι [7]) καὶ διὰ τοῦτό σοι δεδώκαμεν τὸν ἀνδρικώτατον ἄνδρα τὸν Σαμψών. νῦν ἐρώτησον σὺ αὐτὸν καὶ ἐρεῖ σοι τὸ αἴνιγμα καὶ ἀναγγελεῖς ἡμῖν αὐτό. καὶ συμβουλευσάμενοι μετ' αὐτῆς ἀπῆλθον. Ἡ (δὲ) Δαλιδὰ λέγει τῷ Σαμψών· διὰ τί οὐ διδάσκεις κἀμὲ ἀπὸ τῶν αἰνιγμάτων σου ἵνα μετὰ τῶν ὁμηλίκων [8]) μου γυναικῶν συλλαβοῦσα προστήγματα (sic) λαμβάνω; λέγει αὐτῆς (=αὐτῇ) ὁ Σαμψών· καὶ τί θέλεις ἀναγγείλω σοι; ἡ δὲ ἔφη· τὸ ὅπερ εἶπες τοῖς τῶν ἀλλοφύλων υἱοῖς. Καὶ λέγει αὐτῇ· κατὰ τὸν δεῖνα καιρὸν ἐρχομένου μου ἐνταῦθα ἀπέκτεινα λέοντα καὶ μετὰ ἡμερῶν εὑρὼν ἐν τῷ κρανίῳ αὐτοῦ μέλι ἔφαγον καὶ ἤνεγκα καί σοι. Ταῦτα ἡ μιαρὰ ἐξ αὐτὸν διδαχθεῖσα ἀνήγγειλεν αὐτὰ τοῖς υἱοῖς τῶν ἀλλοφύλων. ἐλθούσης δὲ τῆς προθεσμίας ἐπεζήτει ὁ Σαμψὼν τὰς αὐτῶν στολὰς ὡς μὴ εἰδόντες τὸ αἴνιγμα. καὶ λέγουσιν αὐτόν· λέοντα ἀπέκτεινες καὶ ἐφώλευσαν σμῆνος μελισσῶν ἐν τῷ γυμνῷ αὐτοῦ κρανίῳ καὶ ἔφαγες ἐκ τοῦ μέλιτος. Καὶ εἶπεν Σαμψών· εἰ μὴ τὴν Δαλιδά μου ἐδαμάσατε, οὐκ ἂν τὸ αἴνιγμά μου ἐγνώκητε ἄν. Τοῦτον τὸν θαυμαστότατον Σαμψὼν ἐπιβουλευσάμενοι [9]) οἱ ἀλλόφυλοι τρόπῳ τοιῷδε· προβάλλονται οἱ ἀλλόφυλοι τῇ Δαλιδὰ μαθεῖν

[1]) Cod. μεμνησθ—[2]) Cod. καὶ δή. [3]) Cod. αὐτοῦ. [4]) Cod. ἠσυν.—[5]) Addenda videntur ὅτι ἐξέρχεται· [6]) Cod. παντός. [7]) Cod. τυ(γ)χάνεται. [8]) Cod. ὁμηλικῶν. [9]) Quaedam praetermissa videntur.

ἅπαντα τὰ τῆς ἀνδρείας αὐτοῦ καὶ τῆς γεννήσεως [1]). τὰ πρῶτα μὲν οὐχ ὡμολόγει, ὕστερον δὲ πολλὰ βιασθεὶς ὑπ' αὐτῆς ἐξεῖπεν αὐτῇ πάντα· καὶ ὅτι ἄγγελος Κυρίου εἶπεν μητρί μου ὅτι ξηρὸς ἐπὶ τὴν κεφαλήν μου οὐκ ἀναβήσεται καὶ τοῦτό ἐστιν τὸ εἶδος τῆς δυνάμεώς μου οἱ ἑπτὰ βότρυχοι τῆς κεφαλῆς μου. Ταῦτα ἡ Δαλιδὰ ἀκούσασ(α) ἀπήγγειλεν ταῦτα τοῖς ἀλλοφύλοις [2]). καὶ μεθυσθέντος αὐτοῦ ἀπὸ τοῦ οἴνου καὶ νηψαμένου εὑρέθη ἀσθενέστερος παρὰ πάντων ἀνθρώπων. Τότε προσελθόντες οἱ ἀλ(λ)όφυλοι ἐξώρυξαν αὐτοῦ τοὺς ὀφθαλμούς, καὶ ἦν ἰδεῖν θαῦμα φοβερόν· ὅτι [3]) τὸν ἔτρεμον χιλιάδες καὶ μυριάδες παίγνιον γυναικὸς προκείμεν(ος). Τοῦτον θρηνῶν ὁ σοφὸς γράφει οὕτως· τὴν τοῦ Σαμψὼν ζηλώσασα ῥαθυμίαν [4]).

Περὶ τῆς τελευτῆς Σαμψών. Ἀλλὰ μὴ παραδράμωμεν τοῦ θανάτου αὐτοῦ· εἶχεν γὰρ τὸν δουλεύοντα αὐτὸν μετὰ τὴν τοῦ φωτὸς ὑστέρησιν καὶ κομίζων αὐτῷ ὕδωρ ἐπότιζεν τοὺς βοτρύχους τῆς κεφαλῆς αὐτοῦ καὶ ηὔξησαν καὶ ἦλθεν [5]) πάλιν εἰς τὴν αὐτοῦ δύναμιν. καὶ εὑρὼν καιρὸν εὔθετον ὅτε ἡ Δαλιδὰ μετὰ τῶν μοιχῶν αὐτῆς ἤσθιεν καὶ ἔπινεν ἐν τῷ οἴκῳ ὃ(ν) ἔκτισεν Σαμψών, βασταζόμενον [6]) ὑπὸ ἑνὸς κίονος, λέγει τὸν ὁδηγοῦντα αὐτὸν νεανίσκον· ἄγε μοι πλησίον τοῦ κίονος τοῦ βαστάζοντος τὸν οἶκόν μου. καὶ ἤγαγεν αὐτόν, καὶ ἔφη αὐτῷ Σαμψών· ἄπιθι μακρόθεν τοῦ οἴκου. Καὶ ἔφυγε ὁ παῖς καὶ ἔστη μακρόθεν, ὁ δὲ Σαμψὼν ὑποθεὶς τοῖς ὤμοις αὐτοῦ τῷ κίονι ἔρ(ρ)ιψεν χαμαὶ καὶ εἶπεν οὕτως· ὕπαγε καὶ σύ, ψυχή, μετὰ τῶν ἀλλοφύλων. καὶ τούτου γενομένου ἀπέθανον ὅσοι ἐπάνω τοῦ οἴκου ἦσαν καὶ αὐτὸς ὁ Σαμψὼν συναπέθανεν αὐτοῖς.

Περὶ τῆς προφήτιδος Ἄννης [7]). Ἐκ φυλῆς Ἀσὴρ ἦν [τις] γυνὴ ὀνόματι Ἄννα καὶ αὕτη [8]) ἦν στεῖρα καὶ οὐκ ἔτικτεν· ἀπῆλθεν δὲ ἐν τῷ ναῷ Κυρίου καὶ ηὔχετο σιγώντων τῶν χειλέων αὐτῆς, φωνὴ δὲ αὐτῆς οὐκ ἠκούετο. Εἰσελθὼν δὲ ὁ τοῦ ἱερέως Ἡλὶ υἱὸς εἶπεν [9]) αὐτῇ· διὰ τί εἰσῆλθες μαντεύσασθαι ἐν τῷ ναῷ Κυρίου; ἡ δὲ τὸν ὀνειδισμὸν μὴ φέρουσα ἐστέναξεν καὶ στενάξας ἐδάκρυσεν καὶ εἶπεν [ἐν ἑαυτῇ]· ζῇ Κύριος ὁ θεὸς [Σαβαὼθ] ὅτι

[1]) Exciderunt quaedam. [2]) Iterum exciderunt. [3]) Exciderunt. [4]) Nonnulla sunt omissa. [5]) Cod. ἦλθον. [6]) Cod. βασταζόμενος. [7]) Hic recipit narrationem cod. O, qui titulum habet Περὶ τοῦ Σαμουήλ. [8]) αὐτή. [9]) κατεῖπεν (=καὶ εἶπεν?).

ἐὰν γε(ν)νήσω [1]) [τέκνον] δῶρον προσάξω αὐτὸν [2]) [Κυρίῳ τῷ θεῷ ἐν] τῷ ναῷ Κυρίου καὶ ἔσται λειτουργῶν πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ. Εἰσηκούσθη [3]) δὲ [ἡ δέησις] αὐτῆς καὶ ἐγέννησεν υἱὸν [4]) καὶ [δοξάσας Κύριον τὸν θεὸν] ηὔξατο τὴν ᾠδὴν ταύτην· ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ, ὑψώθη κέρας [μου] ἐν σωτῆρί [5]) μου [ἐπλατύνθη ἐπ' ἐχθρούς μου τὸ στόμα μου. καὶ πᾶσαν τὴν ᾠδὴν ταύτην ἐξέθετο. Ταύτην μέμνηται καὶ ὁ Κρήτης γράφων·] ἡ φιλοσώφρων Ἄννα προσευχομένη [τὰ χείλη μὲν ἐκίνει πρὸς δέησιν, φωνὴ δὲ ταύτης οὐκ ἐξηχεῖτο, ἀλλ' ὅλη στείρα οὖσα υἱὸν τῆς προσευχῆς τίκτει ἄξιον]. Γενομένου δὲ τοῦ Σαμουὴλ τριετοῦς ἐδόθη παρὰ τῆς μητρὸς αὐτοῦ ἐν τῷ ναῷ Κυρίου. [καὶ ἦν ἡ γυνὴ Ἀρμαθὲμ λεγομένη ἡ ἀναθρέψασ(α) τὸν Σαμουήλ. Ἀνδριθέντος δὲ αὐτοῦ γέγονεν ἱερεὺς τοῦ θεοῦ καὶ κριτὴς τοῦ λαοῦ. οὗτος ἦν ὁ χρίσας τὸν Σαοὺλ βασιλέα ὁμοίως καὶ τὸν Δαυὶδ καὶ ἤλε(γ)ξε τὸν Σαοὺλ ἐν ταῖς παρανομίαις αὐτοῦ. Περὶ τούτου λέγει ὁ Κρήτης· ἐν τοῖς [6]) κριταῖς ὁ Ἄννης ἐκλήθη γόνος, ὁ μέγας Σαμουήλ, ὃν ἐθρέψατο ἡ Ἀρμαθὲμ ἐν οἴκῳ Κυρίου, καὶ τὰ ἑξῆς.

Οὗτος ὑπῆρχεν ἱερεὺς τοῦ ὑψίστου. οὗτος οὖν ὁ Ἡλὶ ἔσχεν δὲ πέντε υἱοὺς καὶ διδάξας αὐτοὺς τὰ τοῦ νόμου οὐκ ἐπαίδευεν αὐτοὺς τὰ τοῦ νόμου φυλάττειν, ἀλλὰ τὰ προσφερόμενα θύματα πρὸ τοῦ αὐτὰ τὸν ἱερέαν εὐλογηθῆναι μετελάμβανον αὐτοὶ ἐξ αὐτῶν. καὶ ἐλυπήθη ὁ λαὸς σφόδρα. Καὶ ἦν Σαμουὴλ ἀνατρεφόμενος ἐν τῷ ναῷ Κυρίου] καὶ ἦλθεν ἄγγελος Κυρίου καὶ λέγει τῷ Σαμουὴλ ὡς ἐν ἐκστάσει· Σαμουήλ, Σαμουήλ. ὁ δὲ Σαμουὴλ προσδοκῶν [7]) ὅτι ὁ διδάσκαλος αὐτοῦ ἐστιν ἀπῆλθεν πρὸς αὐτὸν εἰπών· τί κέκληκάς με, κύριε; ὁ δέ φησιν· οὐ κέκληκά σε, τέκνον. καὶ πάλιν ἐλάλησεν αὐτῷ ὁ ἄγγελος καὶ πάλιν ἀπῆλθεν καὶ λέγει τῷ διδασκάλῳ αὐτοῦ· τί κέκληκάς με, κύριε; ὁ δέ φησιν· οὐ κέκληκά σε, τέκνον, ἐγώ, ἀλλ' ἐὰν ἅπαξ λαλήσῃ ὁ λαλῶν σοι [8]) ἀποκρίθητι αὐτόν [9])· ἰδοὺ ἐγὼ [κύριε] καὶ τί προστάσ(σ)εις τῷ σῷ οἰκέτῃ; Καὶ πάλιν ἐλθόντος τοῦ ἀγγέλου εἶπεν Σαμουήλ· τί κέκληκάς με, κύριε; ἰδοὺ ἐγώ. εἶπεν δὲ [10]) πρὸς αὐτὸν ὁ ἄγγελος· ἀναστὰς εἰπὲ τῷ Ἡλί· διὰ τί τοὺς υἱούς σου μὴ παιδεύσῃς [11]), ἀλλὰ πα-

---

[1]) ἐὰν ποιήσω. [2]) αὐτό. [3]) εἰσηκούστη V. [4]) ἔτεκεν παιδίον ἄῤ(ῥ)εν. [5]) ἐν θεῷ. [6]) Cod. ταῖς. [7]) λογιζόμενος. [8]) ἐὰν πάλιν καλέσῃ σε ὁ κεκληκώς σε. [9]) αὐτῷ. [10]) καὶ εἶπε. [11]) μὴ τοὺς υἱούς σου οὐκ ἐπαίδευσας.

ράνομα [1]) πράττουσιν ἐπὶ ταῖς θυσίαις τοῦ ναοῦ [2])· ἐσθίουν [3]) τοὺς ἄρτους καὶ τὰ κρέη καὶ τὸν οἶνον πρὸ τοῦ εὐλογῆσαι ταῦτα ὁ ἱερεύς; οὐκ ἀναγινώσκεις ἐν τῷ νόμῳ Κυρίου ἃ γέγραπται [4])· [ὅτι πάντα τὰ προσφερόμενα ἐν τῷ ναῷ ὑπὸ τοῦ λαοῦ μὴ καθάψηται αὐτῶν οὐδεὶς ἕως τοῦ εὐλογῆσαι αὐτὰ ὁ ἱερεύς,] τὴν [γὰρ] ἀπαρχὴν [αὐτῶν] δώσεις [5]) Κυρίῳ τῷ θεῷ σου καὶ οὕτως ἐξιλάσεται [τῷ Κυρίῳ] ὁ ἱερεὺς καὶ μετὰ τὸν ἐξιλασμὸν εὐλογήσει ταῦτα [6]) καὶ οὕτως ἐξ αὐτῶν ἔδεσθε; Ἀναστὰς δὲ [τῷ πρωῒ] ὁ Σαμουὴλ ἀπήγγειλε [7]) ταῦτα Ἡλὶ τῷ ἱερεῖ, ἀλλὰ Ἡλὶ οὐδὲ τοῦτο συνῆκεν [8]), ἀλλ' ἀδέως υἱοὶ αὐτοῦ τοῖς ὁμοίοις κέχρηνται [9]). [Καὶ πάλιν ὁ Σαμουὴλ ἐπεφωνεῖτο, αὐτὸς δὲ ὁ Ἡλὶ οὐκ ἐνουθέτησε τοὺς υἱοὺς αὐτοῦ καταλιπεῖν τὸ πονηρὸν ἔργον ὅπερ ἔπραττον, ἀλλὰ φειδόμενος αὐτῶν οὐκ ἐπαίδευσεν αὐτοὺς] διὸ καὶ ὁ θεὸς ὠργίσθη κατ' αὐτοῦ καὶ τῶν τέκνων αὐτοῦ καὶ ἐπήνεγκεν ἔθνος τῇ χώρᾳ καὶ κατεδαπάνησεν πάντα [τὰ] ὄρεια τῆς Ἱερουσαλὴμ καὶ τοὺς υἱοὺς [τοῦ] Ἡλὶ ἀπέκτεινεν ἐν στόματι ῥομφαίας [10]). [μαθὼν δὲ Ἡλὶ ὁ ἱερεὺς τὴν τῶν παίδων αὐτοῦ τελείωσιν ὡς ὅτι] ἤγαγον γὰρ αὐτῷ [11]) τὰς κεφαλὰς αὐτῶν [ὃς] καὶ ἰδὼν αὐτὰς ἐκαθήμενος [12]) ἐπὶ δίφρου ἐξέψυξεν [καὶ ἦν ἰδεῖν θρῆνον πολὺν ἐν τῷ Ἰσραήλ]. συναπέθανον [13]) δὲ καὶ πολὺς λαὸς μετ' αὐτῶν [14]). διὰ τοῦτο καὶ ὁ σοφὸς γράφει ταῦτα [15])· Ἡλὶ τοῦ ἱερέως τὴν καταδίκην [ψυχή μου, ἐπισπάσω δι' ἔνδειαν φρενῶν ἀνασχομένη τὰ πάθη ἔν σοι ὥσπερ ἐκεῖνος τὰ τέκνα ἐνεργῶν τὰ παράνομα. διὸ] καὶ ἐὰν ἐπαίδευεν ὁ Ἡλὶ τοὺς υἱοὺς αὐτοῦ, οὐ μὴ συναπώλετο [16]) καὶ λαὸς πολὺς μετ' αὐτῶν.

[Περὶ τῆς Ἰαήλ. Τὴν Ἰαὴλ ἀνδρείαν ἔγνως, ψυχή μου, τὴν τὸ(ν) Σισάρα πρὶν σκολοπήσασα(ν)].

Περὶ τοῦ Σισάρα [17]). Οὗτος ὁ Σισάρας βασιλεὺς ἦν τῆς Τύρου καὶ πολ(λ)άκις τὴν χώραν τῆς Παλαιστίνης κατεσκύλευσεν.

---

[1]) παρανόμως. [2]) λαοῦ. [3]) ἐστίουν V. [4]) εἴς τε τοὺς ἄρτους καὶ τὰ κρέη καὶ τὸν οἶνον πρὸ τοῦ εὐλογῆσαι αὐτὰ ὁ ἱερεὺς αὐτοὶ ἐσθίουν ἐξ αὐτῶν καὶ οὐκ ἀναγινώσκει τί γέγρ. ἐν νόμῳ Κυρίου. [5]) δώσει. [6]) αὐτά. [7]) ἀνήγγειλεν. [8]) ὁ δὲ Ἡλὶ τοῦτο οὐ συν. [9]) τοῦτο πάλιν οἱ υἱοὶ αὐτοῦ ἐποίουν. [10]) μαχαίρας. [11]) αὐτούς V. (γάρ om. O). [12]) καθήμενος. [13]) συναπέθανε. [14]) σὺν αὐτοῖς. [15]) καὶ διὰ τοῦτο γράφει ὁ Κρήτης οὕτως. [16]) τοὺς ἑαυτοῦ παῖδας, οὐκ ἂν ἀπώλοντο (reliquis omissis). [17]) Titulus deest.

μιᾷ δὲ [τῶν ἡμερῶν] ἀναστὰς μετὰ πλήθους ἀναριθμήτου [1]) πᾶσαν τὴν χώραν αὐτῆς [2]) πόλεως Ἱερουσαλὴμ κατεξολόθρευσεν. Ὑπῆρχε δὲ τῷ τότε καιρῷ κρίνων ὁ Βαραὰκ τὸν Ἰσραὴλ [3]) καὶ οὐκ ἠδύνατο ἀντιστῆναι τῷ [4]) Σισάρα καὶ ἀπῆλθεν καὶ ἐθυσίασεν ἐν τῷ ναῷ Κυρίου καὶ ηὔξατο καὶ ἐξελθὼν εἰς πόλεμον τοῦ Σισάρα, εἶπεν αὐτῷ Κύριος διὰ τοῦ προφήτου· πορεύου, ἐν γυναικὶ ἔσται [5]) τὸ νίκος (σ)ου· Καὶ ἀναστὰς Βαραὰκ [6]) πολεμῆσαι μετὰ τοῦ Σισάρα, Σισάρας δὲ ὁ βασιλεὺς τῶν ἐθνῶν ἐξῆλθεν [7]) μόνος καταλιπὼν τὸν στρατὸν αὐτοῦ καὶ διὰ τῶν ὀρέων μόνος περιεπάτει. γυνὴ δέ τις ὀνόματι Ἰαὴλ ἐξελθοῦσα τῆς σκηνῆς αὐτῆς εἶδε τὸν βασιλέα Σισάρα ἐν καιρῷ τοῦ καύματος μόνον περιπατοῦντα. ὃς [8]) γὰρ εἶδεν τὸν πόλεμον διαλειφθεὶς [9]) μόνος περιεπάτει ἀγωνιῶν διὰ τοῦ καύσωνος [10]). λέγει πρὸς αὐτὸν Ἰαήλ· κύριε, ἡμεῖς ἰδού σοι [11]) οἰκέται, κατάβηθι τοῦ ἵππου σου, εἴσελθε εἰς τὴν σκηνήν, ἀναπαύθητι τοῦ καύματος καὶ φάγε βούτυρον καὶ γάλα [καὶ δέδωκεν αὐτῷ Ἰαὴλ βούτυρον καὶ γάλα] καὶ ἔφαγεν καὶ ἔδωκεν [αὐτῷ] καὶ οἶνον καὶ ἔπιεν καὶ ἀνεπαύσατο ἐν τῇ γῇ διὰ τὴν δρόσον ὅτι καῦμα ἦν [12]). [καὶ] λαβοῦσα δὲ Ἰαὴλ τὸν πάσαλον ἔκρουσεν κατὰ τοῦ τραχήλου Σισάρα καὶ ἀπέκτεινεν αὐτόν· καὶ γέγονεν τῷ Ἰσραὴλ σωτηρία τῇ ἡμέρᾳ ἐκείνῃ. δι' οὗ καὶ ὁ σοφὸς ἀδύτως γράφων [13])· τὴν [14]) Ἰαὴλ ἀνδρείαν ἔγνως, ψυχή μου, τὴν τὸν Σισάρα πρὶν σκολοπήσασα(ν) [καὶ σωτηρίαν ἐργασαμένην, τὸν πάσαλον ἀκούεις δι' οὗ σοι ὁ σταυρὸς εἰκονίζεται]. τουτέστιν ὥσπερ ὁ πάσαλος ξύλον ὢν [15]) ἔκτεινεν τὸν Σισάρα, οὕτω καὶ ὁ σταυρὸς ξύλον ὢν ἐπήχθη εἰς τὴν καρδίαν τοῦ ἀντικειμένου Βελίαρ [καὶ] ἔκτεινεν αὐτόν.

Περὶ τῶν κριτῶν Λευί [16]). Οὗτος ὁ ἐκ τῶν κριτῶν τυ(γ)χάνων Λευίτης ἔλαβεν γυναῖκα [ἐκ] τῆς φυλῆς [τοῦ] Ρουβίμ, καὶ γὰρ αἱ φυλαὶ Ρουβὶμ διαμερισμέναι ὑπῆρχον τῶν δώδεκα υἱῶν τοῦ Ἰακώβ [17]). οὗτοι γὰρ ἦσαν [18]) οἱ δώδεκα πατριάρχαι [καὶ αὐτῶν τὰ σκῆπτρα ἐτύγχανον τὰ ιβ' σκῆπτρα τοῦ Ἰσραὴλ καὶ] αὐτοὶ ἐλέγοντο καὶ τὸ δωδεκάφυλον καὶ εἶχον καταμία φυλὴ [19]) τὴν

---

[1]) πλῆθος λαοῦ ἀναριθμήτου. [2]) τῆς. [3]) κρίνων τὸν λαὸν Ἰσραὴλ ὁ Βαράκ. [4]) αὐτῷ. [5]) ἐστί. [6]) καὶ ἀνέστη Βαράκ. [7]) ὁ δὲ Σ. ἐξῆλθε. [8]) καὶ [9]) διαλειφείς. [10]) διὰ τὸν καύσωνα. [11]) ἴδε ἡμεῖς σοι. [12]) ἀνεπαύσατο ἐπὶ τὴν σκηνήν. [13]) καὶ διὰ τοῦτο λέγει ὁ Κρήτης. [14]) ἣν V. [15]) ἣν καί. [16]) Λευίτου. [17]) τῶν ιβ' φυλῶν τοῦ Ἰσραὴλ ἤγουν τοῦ Ἰακώβ. [18]) εἰσίν. [19]) εἶχεν κατὰ φυλὴν μίαν.

ἰδίαν τάξιν [ἀλλὰ] καὶ ἐν τῇ ὁδῷ ὅτε ἐπεριπατοῦσαν [1]) διερχόμενοι ἐπ' Αἰγύπτου ἑκάστη φυλὴ τὴν ἰδίαν ὁδὸν ἐπεριεπάτει [2]), ἀλλὰ καὶ ἡ Ἐρυθρὰ θάλασσα ὅτε ἐτμήθη [τοσοῦτον πλάτος ἐτμήθη] ὅσον ἠδύναντο [3]) ἀστενοχωρήτως περᾶσαι. [οὕτως γὰρ εἶχον τάγμα τοῦ περιπατεῖν οἱ μὲν ὄπισθεν, οἱ δὲ ἔμπροσθεν, ἕτερος ἐκ δεξιῶν καὶ ἄλλος ἐξ ἀριστερῶν. διὰ τοῦτο καὶ ἡ τμηθεῖσα θάλασσα εὐρύχωρος ἐτμήθη ἵνα] ἑκάστη φυλὴ τὴν ἰδίαν [ἔχῃ] ὁδόν [4]). [ὁμοίως] ἐλθόντες πάλιν εἰς τὴν γῆν τῆς ἐπαγγελίας [οὕτως ἐκληρωδότησαν] ἑκάστη φυλὴ τὴν ἰδίαν κληρουχίαν· [μεμερισμένην γὰρ αὐτὴν παρέλαβον αἱ φύσεις] μετὰ σχοινίου μερίσαντες. Διὰ τοῦτο μέμνηται ἡ γραφὴ πανταχοῦ [5])· καὶ ἐκληρωδότησεν [6]) αὐτοὺς ἐν σχοινίῳ κληρωδοσίας. καὶ ἀλλαχοῦ· σχοίνισμα κληρονομίας ὑμῶν [ἑκάστη γὰρ φυλὴ τὴν ἰδίαν κληρουχίαν ἔχουσα].

Οὗτος οὖν ὁ Λευίτης ὁ ἐκ τῶν κριτῶν τυ(γ)χάνων ἔλαβε γυναῖκα ἐξ ἑτέρας φυλῆς καὶ ἦν αὐτῷ μέσον τῆς ὁδοῦ αὐτοῦ [ἡ] φυλὴ Βενιαμήν. ἡ δὲ [φυλὴ] Βενιαμὴν ὑπῆρχεν ἄσωτοι [7]), ἀρσενοκοῖται, παιδεράσται, παιδοφθόροι, μοιχοί, αἱμομίκται [8]), φονίσκοι· πᾶν [γὰρ] κακὸν ἔπρατ(τ)ον ὧν μισεῖ ὁ θεός. Λαβὼν οὖν ὁ Λευίτης τὴν ἑαυτοῦ γυναῖκα ἀπῆλθε θεάσασθαι τοὺς αὐτοῦ [9]) πενθερούς. ἐν δὲ τῷ μέλ(λ)ειν αὐτὸν ὑποστρέφειν οἴκαδε ἠμέλησεν πρωῒ τοῦ ἐξελθεῖν τὴν ὁδὸν αὐτοῦ βαδίσαι [καὶ ἐξῆλθεν ἀργήσας, οὐ γὰρ ἐφρόντισαν ταχύναι τὴν ὁδὸν αὐτῶν] ὡς ἂν διέλθῃ τὰς πόλεις Βενιαμὴν τοῦ μὴ μεῖναι ἐν αὐταῖς [10]) [ὃς] καὶ ἀργήσας ἔλαβε τὴν ἑαυτοῦ γυναῖκα [σὺν τῇ ὄνῳ αὐτοῦ] καὶ ἐπορεύετο. ὡς δὲ [ἡ] ἡμέρα κέκλικεν, κατέλασεν αὐτὸν [11]) ἡ ἑσπέρα εἰς τὴν πόλιν Βενιαμὴν καὶ κατέλυσεν [12]) εἰς οἰκίαν ἀνδρός. Ὡς δὲ ἑσπέρα ἐγεγόνει [13]) ἦλθον οἱ ἐ(γ)χώριοι [οἱ] ἐκ τοῦ σπέρματος Βενιαμὴν ζητοῦντες τὸν ξένον λέγοντες· δὸς ἡμῖν τὸν ξένον τὸν καταντήσαντα ἐνθάδε. ὁ δὲ κύριος τῆς οἰκίας ἀνθίστατο [ἐκεῖνοι δὲ ὡς θῆρες ἄγριοι ἐπέβαινον τῇ οἰκίᾳ, ὁ δὲ κύριος τῆς οἰκίας παρεκάλει τούτους μὴ πρᾶξαι τι εἰς τὸν ἄνδρα]

---

[1]) ὅταν ἐπεριεπάτουν. [2]) περιεπάτει. [3]) ἠδύνατο. [4]) V add. κληρουχίαν quod omisi. [5]) μ. καὶ πολλαχοῦ ἡ γραφή. [6]) ἐκληρωδότησαν. [7]) ἄσωτος. [8]) αἱμομύται. [9]) ἑαυτοῦ. [10]) ἐν αὐτοῖς. [11]) κατέλαβεν αὐτούς. [12]) κατέκλεισεν V. [13]) ἑσπέρας δὲ γενομένης.

λέγων· ἡμέτερος γάρ ἐστι [1]), ἐκεῖνοι δὲ οὐκ ἐπείθοντο· καὶ ἐδίδου αὐτοῖς τὸ θυγάτριον [αὐτοῦ], αὐτοὶ [2]) [δὲ κατεβόουν] ζητοῦντες τὴν γυναῖκαν τοῦ ξένου. ὡς δὲ εἶδεν ὁ Λευίτης τὴν πονηρὰν αὐτῶν ἔνστασιν [3]) δέδωκεν αὐτοῖς τὸ ἑαυτοῦ θυγάτριον καὶ τὴν γυναῖκαν τοῦ Ὀδήτη [4]). καὶ ἐταπείνωσαν ἑαυτὴν ὅλην τὴν νύκταν. καὶ οὐκ ἠ(μ)πόρεσεν βαστάξαι τὴν παράνομον λύπην καὶ τὸ πουρνὸν εὑρέθη νεκρά. Καὶ ἰδὼν αὐτὴν Ὀσδήτης (sic) τὴν γυναῖκαν αὐτοῦ νεκρὰν ἔθεσεν αὐτὴν ἐπάνω [5]) τοῦ ὄνου καὶ ἀπήγαγεν αὐτὴν εἰς τοὺς γονεῖς αὐτῆς. καὶ ἰδὼν οἱ γονεῖς τὸ γεγονὸς ἀνόμιμα δέδωκεν ἑαυτοὺς (=ἑαυτοῖς) τὴν ἑαυτοῦ γυναῖκα εἰς μέρη ἕνδεκα (διατεμὼν) καὶ ἀπέστειλεν εἰς τὰς ἕνδεκα φυλαὶς λέγων [6]) [οὕτως]· ἴδετε μῖσος τὸ γινόμενον ἐν τοῖς ἀδελφοῖς ἡμῶν; οὐχὶ καὶ Βενιαμὴν τοῦ Ἰακὼβ ὑπῆρχε σπέρμα [7]); οὐχὶ πάντες ἀδελφοί ἐσμεν καὶ ἰδοὺ δι' αὐτοὺς [8]) μέλλομεν ἔσεσθαι κατάγελος [τοῖς] Χαναναίοις καὶ πᾶσι τοῖς ἔθνεσι [9]); νῦν οὖν δεῦτε ἐξολοθρεύσωμεν αὐτοὺς ἀφ' ἡμῶν [μή ποτε δι' αὐτοὺς ὀργισθῇ ἡμᾶς ὁ Κύριος] καὶ παραδώσῃ ἡμᾶς εἰς χεῖρας ἐθνῶν [10]). [Ταῦτα γεγονότα παρὰ τοῦ Λευίτου ἐκινήθησαν πάντες εἰς ζῆλον] καὶ συναθροισθέντες ἡ (=αἱ) ἕνδεκα φυλαὶ συνέκρουσαν [11]) πόλεμον τῇ φυλῇ Βενιαμὴν βουλόμενοι ἐκτρίψαι τὸ γενόμενον μῖσος. ὁ δὲ πανπόνηρος [12]) διάβολος συνέργησεν μᾶλλον τοὺς τὸ πονηρὸν πράττοντας· καὶ συνέτριψαν [13]) τὰ μέρη τῶν ἕνδεκα φυλῶν [χιλιάδας η'. καὶ πάλιν τῇ ἐπιούσῃ ἡμέρᾳ συγκροτήσαντες πόλεμον ἐκόπησαν τῶν ια' φυλῶν] χιλιάδας ιβ'. καὶ τῇ τρίτῃ ἡμέρᾳ εἰς ἑαυτοὺς μελετήσαντες εἶπον· ὅτι τοῦτο ἐκ τοῦ πονηροῦ ἐστιν ὅτι μία φυλὴ οὖσα πονηρὰ νικᾷ τὰς ἕνδεκα φυλάς [14]), ἀλλὰ πορευθῶμεν ἐν τῷ ναῷ Κυρίου καὶ εὐξώμεθα καὶ τὴν δόξαν (sic) θεοῦ γενήσεται ἡμᾶς. καὶ ἁγιασθέντες ἐξῆλθον καὶ συνέμιξαν τὸν πόλεμον καὶ συνεργοῦντος [15]) τοῦ παντοδυνάμου θεοῦ ἡττήθη τὸ σπέρμα Βενιαμὴν [16]) καὶ κατεξολόθρευσαν αὐτοὺς ἡ

[1]) ἡμ. γάρ ἐστι, φησίν (λέγων om.). [2]) ἐκεῖνοι. [3]) γνώμην. [4]) δ. αὐτοῖς τὴν αὐτοῦ γυναῖκα. [5]) ἐπάνου V. (in O excidit). [6]) ἀπέστειλεν δὲ ὁ Λευίτης εἰς τὸ δωδεκάφυλον τοῦ Ἰσραήλ. [7]) τοῦ Ἰ. σπέρμα ἐστίν. [8]) δι'αὐτοῖς V. [9]) V add. ἡμῶν quod omisi. [10]) ἐχθρῶν. [11]) συνεκρότησαν. [12]) ὁ δὲ πονηρός. [13]) συνέκοψαν. [14]) ἐνίκησεν ια' φυλάς. [15]) ἐν τῷ ναῷ Κυρίου. καὶ ἐλθόντες ἐν τῷ ναῷ εὐχόμενοι καὶ μετὰ τὴν προσευχὴν ἦλθον καὶ παρετάξαντο τοῖς υἱοῖς Βενιαμὴν καὶ συνεργείᾳ. [16]) τὸ πονηρὸν σπέρμα.

ἔνδεκα γενεαὶς (=αἱ ἕνδ. γενεαὶ) καὶ τὰς οἰκίας αὐτῶν ἄρδην ἀπώλεσαν καὶ αὐτοὺς πάντας κατέκοψαν [1]) ἐν στόματι ῥομφαίας [2]) [καὶ] οὐ διέσωσαν ἐξ αὐτῶν οὔτε ἄνθρωπον οὔτε ζῶον οὔτε πόλιν ἣν οὐκ ἀπόδειραν ἐκ θεμελίου [3]). τοῦ γὰρ Βενιαμὴν τοῦ ὑστέρου [4]) υἱοῦ τοῦ Ἰακὼβ ὑπῆρχον οὗτοι ἔκγονοι. Καὶ διὰ τοῦτο λέγει ὁ σοφός· ἐν τοῖς [5]) κριταῖς Λευὶ τοῦ διὰ μελίαν [6]). Εἰσάγεται δὲ καὶ ἕτερος λόγος τοῦ Ἱερεμίου· Ραχιὴλ κλαίουσα τὰ τέκνα αὐτῆς [7]). Ἐν ταύτῃ γὰρ τῇ ἱστορίᾳ κεῖνται αἱ φωναὶ αὗται τοῦ τε τοῦ κυρίου Ἀνδρέου καὶ τοῦ προφήτου Ἱερεμίου.

Περὶ τῆς Δεβόῤ(ῥ)ας. Αὕτη ἡ Δεβόῤ(ῥ)α ἦν τῆς πόλεως Ἱερουσαλὴμ πρώτη τῶν εὐγενίδων. Ἐγένετο δὲ ἐλθεῖν Ἀρτασύριν τὸν βασιλέα Περσῶν καὶ κυκλῶσαι πᾶσαν τὴν πόλιν Ἱερουσαλὴμ καὶ τὴν χώραν καὶ αὐτῇ ἐπιθῆναι καὶ ἐζήτει εἰσελθεῖν ἐν αὐτῇ. ἀνθίσταντο δὲ οἱ τῆς πόλεως ἕως ὅτου εἶχον δύναμιν. ὅτε δὲ ἠδυνάτησαν καὶ οὐκ ἠδύναντο τὴς δυνάμεις τῶν Περσῶν ἀντιπαρατάξασθαι συνέθεντο δοῦναι αὐτῷ ταύτην τὴν πόλιν. Ἀνάστὰς δὲ ἡ Δεβόῤ(ῥ)α εἶπεν τοῖς ἄρχουσιν Ἱεροσολύμων· ἵνα τί ἐβουλεύσασθε δοῦναι τὴν ἁγίαν πόλιν εἰς χεῖρας ἐθνῶν; ἄφετε ἕως τὴν αὔριον. Ἀκούσαντες οὖν αὐτοὶ ἠσύχασαν [8]) πάντες τῇ ἡμέρᾳ ἐκείνῃ. ἀναστάσα δὲ ἡ Δεβόῤ(ῥ)α καὶ κοσμήσασα ἑαυτήν, λαβοῦσα δὲ καὶ μεθ᾽ ἑαυτῆς δύο παιδίσκας βασταζούσας παντοίας ὀπώρας καὶ ἑτέρας δύο βαστάζοντας οἶνον παλαιὸν ἔκκριτον καὶ συλίγνια καὶ ἀφρακεράμιδα. καὶ ἐξελθούσης τῆς πόλεως αὐτῆς ἀπίῃ πρὸς τὸν Ἀρτασύριν εἰς τὸ φουσάτον ἑσπέρας ἤδη οὔσης [9]). καὶ θεασάμενος αὐτὴν ὁ Ἀρτασύρις ἐξεπλάγη· ἦν γὰρ ὡραία τῷ εἴδει. ἡ δὲ εἰσελθοῦσα (εἶπεν) αὐτῷ· καλῶς (σ)ε εὗρον, βασιλεῦ δυνατὲ ὑπερένδοξε. ὁ δὲ προσδεξάμενος αὐτὴν λέγει αὐτῇ· καλῶς ἦλθες, ῥόδον ἀγροῦ κυπρίζον, διαβὸς καθέσθητι. Καὶ καθεσθείσης δὲ τῆς Δεβόῤ(ῥ)ας εἶπεν αὐτὴν Ἀρτασύρις ὁ βασιλεύς· πόθεν πρὸς ἡμᾶς παραγέγονας, ἡλιοακτινόμορφε; ἡ δὲ ἀποκριθεῖσα ἔφη· ἐγώ εἰμι θρέμ(μ)α τῆς πόλεως ταύτης καὶ κυρία τὴν σήμερον. νῦν οὖν ἤκουσα [10]) περὶ τῆς ἀνδρεία(ς) σου

---

[1]) ἀπέκτειναν. [2]) μαχαίρας. [3]) οὐ διεσώθη ἐξ αὐτῶν οὐδὲ εἷς, οὐ ζῶον οὐκτήνος οὐδὲ οἰκίαν ἔασαν, ἀλλ᾽ ἐκ θεμελίων κατέστρεψαν. Quae subinde sequuntur praetermissa sunt in O usque ad Hosiae historiam. [4]) Cod. ὑστ. αὐτοῦ τοῦ; [5]) Cod. ταῖς. [6]) Exciderunt nonnulla, [7]) Plura exciderunt. [8]) Cod. ἡσύχησαν. [9]) Cod. ἰδειρῆσοις. [10]) Cod. οἰκοῦσα.

καὶ ἦλθον συναυλισθῆναί σοι καὶ προδοῦναί σοι καὶ τὴν πόλιν ταύτην εἰς χεῖράς (σ)ου. Ἀκούσας δὲ ὁ Ἀρτασύρις ὁ βασιλεὺς κατέπαυσεν τὸν στρατὸν αὐτοῦ μὴ μάχεσθαι τὴν πόλιν· καὶ ἔλαβον ἄνεσιν οἱ ἐν τῇ πόλει ὄντες. Ἑσπέρας δὲ ἤδη γενομένης ἐκάθισεν εἰς δεῖπνον Ἀρτασύρις καὶ ἡ Δεβόῤ(ῥ)α ῥήμασιν αὐτὸν καθέλξασα, ἔπειτα ταῖς διαφοραῖς τῶν ποικίλων βρωμάτων [1]) ἔ(υ)φραινεν αὐτὸν καὶ ποτίσασα οἶνον εἰς κόρον ἐμέθυσεν αὐτὸν τοιάδε αὐτὸν προσλαλοῦσα· ἐ(υ)φρανθήσω μετὰ τοῦ κυρίου Ἀρτασύρι, κεράσω αὐτὸν οἰκείαις χερσί μου, τὸν προνοητὴν τῆς ἐμῆς [2]) πόλεως. ἐ(υ)φρανθήσομαι ὡς βασίλισσα μετ' αὐτοῦ, κύριέ μου, οὐ γὰρ οἶδα ἄνδρα ὅμοιόν σου. νῦν ἔχω ἔθος προσκυνεῖν τῷ θεῷ μου ἑπτάκις τῆς νυκτὸς ἀπερικόπως· προσταξάτω [3]) οὖν ἡ βασιλεία σου [4]), ἵνα μηδεὶς προσεγγίσῃ αὐτῷ [5]) τῇ νυκτὶ ταύτῃ εἰ μὴ Δεβόῤ(ῥ)α δουλεύσῃ αὐτῷ καὶ μηδεὶς αὐτὴν ἐμποδίσῃ τί.. [6]) καὶ διαπράξεται. Τούτου οὖν τοῦ προστάγματος γενομένου τοῦ [7]) Ἀρτασύρι ἠρεμήσας κατέλιπεν αὐτὸς μόνος μετὰ τῆς Δεβόῤ(ῥ)ας καὶ τῶν οἰκιακῶν ἀνθρώπων αὐτῆς. ἡ δὲ σοφὴ Δεβόῤ(ῥ)α οἴνῳ πολλῷ τὸν Ἀρτασύριν μεθύσασα ἀφύπνωσεν καὶ εὑροῦσα ἄδειαν [8]) λαβοῦσα ξίφος ἔτεμεν αὐτοῦ τὴν κεφαλὴν καὶ λαβοῦσα ταύτην ἐξῆλθεν νυκτὸς τοῦ φοσάτου καὶ ἦλθεν ἐν τῇ πόλει κρούσας τὰς πύλας τῆς πόλεως „ἀνοίξατε“ προετρέπετο. ἀνοίξαντες δὲ αὐτῆς (=αὐτῇ) εἰσήγαγον αὐτὴν ἔσωθεν, καὶ ἔδωκεν αὐτοῖς τὴν κεφαλὴν Ἀρτασύρι. καὶ ἐχάρησαν χαρὰν μεγάλην σφόδρα. καὶ λαβόντες αὐτὴν ἐκρέμασαν ἐπὶ τοῦ τείχους. Καὶ ἔσωσεν Δεβόῤ(ῥ)α τότε τὸν Ἰσραὴλ ἐκ χειρὸς ἐθνῶν [9]). καὶ ἐγένετο τότε ἡ Δεβόῤ(ῥ)α ἀῤ(ῥ)ενόφρων. οὕτως γὰρ ἦν ἡ θεία χάρις τότε ἐνήργει [10]) ποτὲ μὲν δι' ἀνδρῶν, ποτὲ δὲ διὰ γυναικῶν.

Περὶ τοῦ Σαούλ. Οὗτος ὁ Σαοὺλ πένης ὢν πατέρα ἔσχεν λεγόμενον Κὶς καὶ ἦν ζῶν μετὰ τοῦ πατρὸς αὐτοῦ ἐν χειρομαχίαις. ἦσαν δὲ τοὺς Ἰσραηλίτας κρίνοντες [11]) ἱερεῖς καὶ πρεσβύτεροι. ὁ δὲ λαὸς ἀναγκασθεὶς τὸς πολλὰς [12]) ἐφόδους τῶν πολεμίων ᾐτήσα(ν)το τὸν θεὸν γενέσθαι αὐτοῖς βασιλέα. ἦν γὰρ τῷ

---

[1]) Quoddam nomen subst. excidisse videtur. [2]) Cod. ἡμῆς. [3]) Cod. προστάξατο. [4]) Post σοῦ nonnulla exciderunt. [5]) Cod. αὐτῇ. [6]) Legi non potest particula quaedam uti videtur. [7]) Post τοῦ exciderunt quaedam. [8]) Cod. ἀδίαν. [9]) Post ἐθνῶν plura excidisse videntur. [10]) Ordinem inverti: cod. ἐνήργει τότε. [11]) Cod. κρίνοντας. [12]) Cod. πόλις.

τότε καιρῷ κρίνων Σαμουὴλ ὁ ἐκ πάλαι προφανῶς ἐκ στείρας καὶ γηραλέας τεχθείς· οὗτος ἦν τῷ τότε καιρῷ κρίνων τὸν Ἰσραήλ. ὁ δὲ λαὸς ἀγνωμονήσας οὐκ ἠρέσθησαν ποιμαίνεσθαι ὑπὸ τοῦ δικαίου Σαμουήλ, ἀλλὰ ἀναγκάζοντο αἰτούμενοι τὸν θεὸν διὰ βασιλέα. Αἰτήσας δὲ Σαμουὴλ εἶπεν περὶ τῆς βουλῆς τοῦ λαοῦ, καὶ εἶπεν αὐτῷ Κύριος· ἐπειδὴ γὰρ οὐκ ἀρκοῦνται ποιμαίνεσθαι ὑπό σου, ἀλλὰ βούλονται ὁμοιωθῆναι τοῖς ἔθνεσιν, ἐγὼ γὰρ δώσω αὐτοῖς βασιλέα κατὰ τὰς καρδίας αὐτῶν. Καὶ εἶπεν Κύριος πρὸς αὐτόν· ἄπελθε, κλεῖσον τὰς πύλας τῆς πόλεως καὶ ταχύον πρωὶ ὃς εὑρεθῇ τῇ πύλῃ [1]) οὗτός ἐστιν βασιλεὺς ὑμῶν. καὶ ἔκλεισεν Σαμουὴλ τὰς πύλας τῆς πόλεως. Ἦν δὲ Σαοὺλ βόσκων τὰς [2]) ὄνους τοῦ πατρὸς αὐτοῦ καὶ ἀπώλεσεν αὐτὰς καὶ πολλὰ γυρεύσας οὐκ ἴσχυσεν εὑρεῖν αὐτάς. ἑσπέρας δὲ βαθείας ἐλθὼν ἐν τῇ πόλει εὗρεν τὰς πύλας κεκλεισμένας καὶ ὕπνωσεν ἔμπροσθεν τῆς πόλεως τὴν πύλην καὶ ἅμα τῷ ἀνοῖξαι τὰς πύλας εἰσῆλθεν ἔσω καὶ πορευθεὶς κρατήσας αὐτὸν ὁ Σαμουὴλ εἶπεν τῷ λαῷ· ἰδοὺ ὁ βασιλεὺς ὑμῶν. καὶ ἐνέγκας Σαμουὴλ τὸ κέρας τοῦ ἐλαίου ἔχρισεν αὐτὸν καὶ προσεκύνησεν αὐτὸν πᾶς ὁ λαός. ἦν δὲ ὁ Σαοὺλ μονόφθαλμος, οὐδὲ (=ὅτε δὲ?) ἐκράτησεν τῆς ἀρχῆς ἤρξατο ταπεινεῖ(ν) τὸν λαὸν πάντα [3]) καὶ τοὺς μὲν τὸν βίον ἀφείλατο [4]), τοὺς δὲ ὀφθαλμοὺς αὐτῶν ἐξώρυττεν, τοὺς δὲ ἄλλους ὑποβάλλων παντοίαις [5]) κολάσεσιν οὐκ ἔλειπεν πειράζων τὸν λαὸν Κυρίου. Ὠργίσθη δὲ Κύριος ἐπ' αὐτὸν καὶ ἔδωκεν αὐτὸν πνεῦμα πονηρόν. τοῦτον ὁ σοφὸς μεμνημένος ἔλεγεν· Σαοὺλ ποτε ὡς ἀπώλεσεν τοῦ πατρὸς αὐτοῦ, ψυχή, ὄνους πάρεργον τὸ βασίλειον εὗρεν. Ἔχοντος δὲ Σαοὺλ τὸ πονηρὸν πνεῦμα ἐπεζήτησεν πρὸς ἰατρείαν ὁδὸν τοῦ ῥυσθῆναι ἐξ αὐτοῦ καὶ οὐχ εὕρισκεν. ἐλθόντες δὲ μάγοι Ναζωρηνοὶ οἱ ἔχοντες πεῖραν διώκειν τὰ πνεύμα(τα) τῆς πονηρίας εἶπον [6]) αὐτῷ· ὅτι ἐὰν εὕρῃς παιδάριον κινοῦν [7]) κινύραν καὶ ᾄδοντα ᾆσμα, φεύξεται ἀπό σου τὸ πνεῦμα. Καὶ ἐπεζήτει ὁ Σαοὺλ παιδάριον καὶ οὐκ ἦν εὑρεῖν αὐτόν· κατεμηνύθη δὲ αὐτῷ ὅτι ἔστιν παιδάριον τοῦ Ἰεσσαὶ κροῦον κινύραν καὶ ᾄδοντα ᾆσμα, καὶ εἶπεν αὐτῷ ὁ βασιλεὺς Σαοὺλ ἀγαγεῖν αὐτόν. ἀπῆλθον δὲ πρὸς τὸν Ἰεσσαὶ ζη-

[1]) **Ante πύλῃ exciderunt nonnulla.** [2]) **Cod. τούς.** [3]) **Cod. πάντας.** [4]) **Cod. ἀφείλαντο.** [5]) **Cod. παντοίας.** [6]) **Cod. εἴποντες.** [7]) **Cod. κηνηθν (paulo inferius κροθον).**

τοῦντες καὶ λέγοντες· εἰ ἔχεις παιδάριον χροῦον τὴν κινύραν καὶ ᾄδοντα ᾆσμα; καὶ εἶπον [1]) αὐτῷ· ὁ βασιλεὺς Σαοὺλ χρήζει αὐτό. εἶπεν δὲ Ἰεσσαί· αὔριον ἐλεύσεται ἀπὸ τοῦ ποιμνίου καὶ φέρω αὐτὸ ἐκεῖ. καὶ ἀπῆλθον οἱ ἀπεσταλμένοι. Τῇ δὲ ἐπαύριον λαβὼν ὁ Ἰεσσαὶ λαγώους, ἄρνια, πτῶκας καὶ ὄρνεις καὶ πτηνῶν πολυειδῆ γένη καὶ τὸν Δαυὶδ ἀπῆλθεν πρὸς τὸν βασιλέα (καὶ εἶπεν)· καλῶς σε εὗρον, βασιλεῦ. ὁ δέ φησιν· οὗτός ἐστιν ὁ υἱός του ὁ κρούων κινύραν καὶ ᾄδων τὰ ᾄσμα(τα); καί φησιν Ἰεσσαί· οὗτός ἐστιν. καὶ εἶπεν Σαούλ· χρείαν αὐτό(ν) ἔχω, ἵνα ἔνι μεθ' ἡμῶν. καὶ εἶπεν Ἰεσσαί· ἔσται δοῦλός σου, κύριέ μου [2]) βασιλεῦ· ἔχω γὰρ ἐγὼ υἱοὺς ἑτέρους ἕξ, αὐτοὶ δουλεύσουσι τὸν οἶκόν μου. Καὶ ἦν Δαυὶδ ἐν τῷ παλατίῳ. ὅτε δὲ εἶχεν τὸ πνεῦμα ταράξαι τὸν Σαοὺλ ἤρχετο Δαυὶδ καὶ ἔκρουεν τὴν κινύραν καὶ ἔπαυεν τὸ πονηρὸν πνεῦμα καὶ οὕτως εἶχεν ἀνάπαυσιν Σαοὺλ τοῦ πονηροῦ πνεύματος καὶ ἠρέμα Σαοὺλ ἀπὸ τῆς δοθείσης αὐτὸν παρὰ τοῦ θεοῦ ὀργῆς. Καὶ τούτου γενομένου ἦν Δαυὶδ ἐν τῷ παλατίῳ Σαοὺλ καὶ εἶπεν Ἰωαθὰμ ὁ υἱὸς Σαοὺλ τὸν πατέρα αὐτοῦ· πάτερ, δώσωμεν τὸν Δαυὶδ τὴν ἀδελφήν μου Μελχὼ εἰς γυναῖκα καὶ γα(μ)βρεύσωμεν αὐτό(ν) καὶ ἔστω μεθ' ἡμῶν. Καὶ ἐποίησαν οὕτως καὶ δέδωκεν αὐτῷ Σαοὺλ τὴν θυγατέρα αὐτοῦ [3]) εἰς γυναῖκα καὶ ἦν Δαυὶδ γα(μ)βρεύων ἐν τῷ Σαούλ.

Ἐν δὲ τῷ καιρῷ ἐκείνῳ γενομένου πολέμου ἦλθεν Σαοὺλ πρὸς τὸν Σαμουὴλ ἐρωτῶν αὐτὸν διὰ Κυρίου ὅπως ἀπέλθῃ ἐν τῷ πολέμῳ· καὶ εἶπεν Σαμουήλ· πορεύου, λέγει σοι ὁ θεὸς νικήσεις τὸν πόλεμον, ἀλλὰ μὴ λάβῃς ἐξ αὐτῶν ἄχρι τριχὸς [4]) αἰγός. Καὶ ἀπῆλθεν Σαοὺλ ἐν τῷ πολέμῳ καὶ ἐνίκησεν καὶ οὐκ ἐφύλαξεν τὴν ἐντολὴν Κυρίου, ἀ(λ)λ' ἔλαβε ζῶα καί τινα εἴδη. καὶ Σαμουὴλ ἦλθεν εἰς συνάντησιν Σαοὺλ καὶ λέγει αὐτῷ· καλῶς ἦλθας νικήσας, ἀλλὰ φωνὴν ζώων ἀκούω τοῖς ὠτίοις μου. καὶ εἶπεν Σαοὺλ [5])· ἀνέλαβον τὰ ζῶα εἰς τροφὴν αὐτῶν. καὶ ὠργίσθη Σαμουὴλ καὶ εἶπεν αὐτῷ· ὅτι παρέβης τὸν νόμον Κυρίου καὶ ἠθέτηκας τὴν ἐντολὴν Κυρίου λέγει σοι ὁ θεός· οὐ μὴ μείνει τὸ

---

[1]) Cod. εἶπεν. [2]) Cod. κύριε ἐμοῦ. [3]) Cod. add. Δαυὶδ quod omisi. [4]) Cod. τρίχος. [5]) Post Σαούλ exciderunt quaedam.

πνεῦμά μου ἔν σοι, ἀλλὰ ἀρθήσεται ἡ βασιλεία ἀπό σου καὶ δώσω αὐτὴν τῷ ποιοῦντι τὰ θελήματά μου καὶ οὐκέτι οὐ μὴ ἴδῃς τὸ πρόσωπόν μου ἕως τοῦ ζῆν σε. Καὶ ἀπέστρεψεν Σαμουὴλ τὸ πρόσωπον αὐτοῦ ἀπὸ τοῦ Σαοὺλ καὶ ἔφυγεν ἐξ αὐτόν. καὶ Σαοὺλ ἀπερ(ρ)ίφη τῆς βασιλείας, τὸ δὲ πνεῦμα ἀκοῦον τὴν κινύραν ἔφυγεν ἐξ αὐτοῦ. καὶ Δαυὶδ ἀπῆλθεν τῷ οἴκῳ τοῦ πατρὸς αὐτοῦ καὶ ἦν ποιμαίνων τὰ πρόβατα.

Περὶ τῆς βασιλείας Δαυίδ. Καὶ εἶπεν Κύριος πρὸς Σαμουήλ· ἄπελθε εἰς τὸν οἶκον Ἰεσσαὶ καὶ χρῖσον τὸν Δαυὶδ τὸν υἱὸν αὐτοῦ τὸν μικρότερον εἰς βασιλέα ὅτι αὐτὸν εὕρηκα κατὰ τὴν καρδίαν μου καὶ αὐτὸς ποιήσει τὰ θελήμα(τά) μου. Καὶ ἦλθεν Σαμουὴλ εἰς τὸν οἶκον Ἰεσσαὶ καὶ λέγει αὐτόν· δός μοι τὸν υἱόν σου ἵνα ποιήσω αὐτὸν βασιλέα ὅτι Σαοὺλ ἐπίκρανεν Κύριον τὸν θεὸν καὶ ἀπέρ(ρ)ιψεν αὐτὸν τῆς βασιλείας. Καὶ ἤνεγκεν Ἰεσσαὶ τὸν πρῶτον υἱὸν αὐτοῦ, καὶ εἶπεν αὐτῷ Σαμουήλ· οὐκ ηὐδόκησεν ἐν αὐτῷ Κύριος. καὶ ἤγαγεν τὸν δεύτερον καὶ οὐδ' αὐτὸν καὶ τὸν τρίτον ὁμοίως, ὡσαύτως καὶ πάντας τοὺς υἱοὺς Ἰεσσαὶ καὶ οὐδενὶ αὐτῶν εὐδόκησεν ὁ θεός. ἐλθὼν δὲ ἀπὸ τοῦ ποιμνίου ὁ Δαυὶδ ἀνερχόμενος ἐν τῷ οἴκῳ τοῦ πατρὸς αὐτοῦ εὗρεν τὸ κέρας τοῦ ἐλαίου καὶ ἐχρίσθη ἐξ αὐτόν. Καὶ ὡς εἶδεν (αὐτὸν) Σαμουὴλ ἀνέστη καὶ προσεκύνησεν αὐτὸν (εἰπών)· ἰδοὺ ὁ βασιλεὺς Ἰσραήλ, οὗτος ποιήσει πάντα ἀρέσκοντα τῷ Κυρίῳ τῷ θεῷ. καὶ ἀπῆλθεν Σαμουὴλ εἰς τὸν οἶκον αὐτοῦ εἰς Ἀρμαθέμ. Καὶ Σαοὺλ ἦν ἐν λύπῃ πολ(λ)ῇ περὶ τῆς βασιλείας καὶ ἀπελθὼν εἰς (τὴν) μαστροπὸν φορῶν τὰ παγγένικα αὐτοῦ ἱμάτια ἵνα μὴ γνωρισθῇ ἠρώτα ἵνα σκέψηται περὶ αὐτοῦ. Λέγει αὐτῷ (ἡ μαστροπός)· σὺ εἶ ὁ βασιλεὺς καὶ πῶς ἦλθες πλανῆσαί με; Ὁ δὲ Σαοὺλ [1]). λέγει αὐτῷ· ὁρῶ ἄνδρα φοροῦν διπλόην καὶ καταρώμενόν σε. καὶ εἶπεν Σαούλ· οἶδα κἀγὼ αὐτόν. καὶ ὑποδείξασα ἡ μαστροπὸς ἤγουν μάντισσα εἶδεν τὸν Σαμουὴλ ἀπὸ τοῦ ἐσόπτρου λέγων οὕτως· Κύριος ὁ θεὸς ἀπέρ(ρ)ιψέν σε τῆς βασιλείας ὅτι παρεπίκρανας αὐτόν. καὶ τὸν Σαοὺλ ἔλαβεν φρίκη καὶ τρομάξας ἔπεσεν τῆς κλίνης ἕως δείλης. καὶ εἶπεν αὐτῷ ἡ γυνὴ ἡ μαστροπός· κύριε βασιλεῦ, ἀνάσθητι καὶ φαγὼν ἐνίσχυ-

[1]) **Praetermissa sunt nonnulla.**

σον σεαυτὸν καὶ ἄπελθε εἰς τὸν οἶκόν σου, τὴν γὰρ βασιλείαν σου αὐτὸς ὁ φανήσας σοι [1]) ἑτέρῳ δέδωκεν. καὶ φαγὼν Σαοὺλ ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ μετὰ λύπης.

Ὁ δὲ πρᾳότατος Δαυὶδ οὐκ ἐπήρθη τῇ διανοίᾳ οὔτε ὡς γα(μ)βρὸς βασιλέως οὔτε ὡς εὐγενής, ταπείνωσιν γὰρ κέκτητο εἰς ἄκρον καὶ οὐδέποτε ἀπολι(μ)πάνετο τῶν προβάτων τοῦ πατρὸς αὐτοῦ, ἀ(λ)λ' ἦν ἐν αὐτοῖς ἀέναος [2]). ἀπήρχετο δὲ καὶ εἰς τὸν οἶκον Σαοὺλ καὶ ὅτε ἐτάρασ(σ)εν τὸ πνεῦμα Σαοὺλ ἔρχετο Δαυὶδ κρούων τὴν κινύραν καὶ ἔπαυεν τὸ πνεῦμα. Ἠγάπα δὲ Σαοὺλ ὁ υἱὸς Ἰωαθὰμ τὸν Δαυίδ, ὁ δὲ Σαοὺλ ἐμίσει αὐτὸν διὰ τὸ τῆς βασιλείας ἐπιτήδευμα καὶ πάντοτε ἐδίωκεν τὸν Δαυὶδ ὅτε ὑγίαινεν, ὅτε δὲ τὸ πνεῦμα αὐτὸν ἐτάρασ(σ)εν, τότε προσεκαλεῖτο αὐτὸν καὶ ἐδίωκε τὸ πνεῦμα κρούων τὴν κινύραν. Ἐγένετο δὲ ἐν τῷ τότε καιρῷ ἐλθεῖν ἔθνος κατασκυλεῦον [3]) τὴν χώραν τῆς Παλαιστίνης καὶ ἦσαν πάντες ἐν ἀθυμίᾳ πολλῇ. εἶχον δὲ καὶ μονόμαχον ἄνδρα δυνατὸν ὀνόματι Γολιὰθ ὅστε ἐπὶ τὴν ἀνδρείαν αὐτοῦ θαῤ(ῥ)ηκὼς ὠνείδισε θεὸν ζῶντα. Καὶ κατεκυρίευσαν πᾶσαν τὴν χώραν, καὶ ἔφριζεν πᾶς ἀνὴρ ἀπὸ προσώπου αὐτοῦ [4]) καὶ ἐναβρύνετο Γολιὰθ εἰς τὴν ἀνδρείαν αὐτοῦ. Ἦλθεν δὲ Δαυὶδ πρὸς Σαοὺλ τὸν πενθερὸν αὐτοῦ λέγων αὐτῷ· ἵνα τί ὁ κύριός μου βασιλεὺς λυπεῖται καὶ συνέπεσεν τὸ πρόσωπον αὐτοῦ; καὶ εἶπεν Σαούλ· ἐν λύπῃ εἰμὶ [5]) διὰ τὸ ἔθνος τὸ ἐπισυμβὰν ἡμῶν καὶ ἰδοὺ ἡ βασιλεία ἐδόθη σοί, σὺ [6]) δὲ μειράκιον καὶ τί ποιήσεις οὐκ οἶδα. Καὶ λέγει αὐτῷ Δαυίδ· ἐγὼ ἐξέλθω μονομαχῆσαι αὐτόν. καὶ εἶπεν Σαούλ· λάβε ἅρματα καὶ ἵπ(π)ον ἐκλεκτόν. καὶ ἀπεκρίθη Δαυίδ· οὐ χρείαν ἔχω ἁρμάτων, ἀ(λ)λ' ὅτε ἐποίμαινον τὰ πρόβατα τοῦ πατρός μου καὶ ἤρχετο λέων ἢ ἄρκος ἐπάτα(σ)σον αὐτόν, ἔστω καὶ οὗτος ὡς (ἓν) τῶ(ν) θηρίων ἐκείνων. Καὶ ἦλθεν Δαυὶδ ἐν τῷ πολέμῳ καὶ εἰσελθὼν εἰς τὴν παράταξιν λέγει τῷ Γολιάθ· τίς εἶ σὺ ὅτι εἰσῆλθες ὀνειδίζων θεὸν ζῶντα καὶ τὸν λαὸν Κυρίου κατασκυλεύων καὶ βούλῃ καταπιεῖν πάντας ἄρδην; ἄπελθε ἐντεῦθεν εἰ μὴ βούλῃ τὰς σάρκας (σ)ου τοῖς θηρίοις τῆς γῆς καὶ τοῖς πετεινοῖς τοῦ οὐρανοῦ παραδώσω εἰς βρῶ-

---

[1]) Cod. ὁ φανήσοι. [2]) Cod. ἀενάος. [3]) Cod. κατασκυλεῦσον. [4]) Cod. add. λέγων quod omisi. [5]) Cod. εἰμήν. [6]) Cod. οὐ.

σιν (μᾶλλον δὲ καὶ οἱ) κύνες λίξουσιν τὸ αἷμά σου ὅτι Κύριος ὁ θεὸς Ἰσραὴλ μεθ' ἡμῶν ἐστιν. Καὶ ἀποκριθεὶς Γολιὰθ εἶπεν αὐτῷ· ὦ μειράκιον, τί ἐπλάνησέ σοι λαλῶν μετ' ἐμοῦ τοιαῦτα; οὐ γὰρ ἐπί σε (ἐ)κτείνω δόρυον ἢ ῥομφαίαν, ἀλλὰ τῇ χειρί μου σε πατάξω καὶ τῶν ὀρνέων βρῶμά σε προσθήσω καὶ τὴν πόλιν ταύτην εἰς γῆν ἐκδαφιῶ καὶ πάντας ἄρδην ἀπολέσω καὶ ὁ θεὸς ὃν σὺ πέποιθες οὐκ ὠφελήσει σε οὐδέν, οἱ γὰρ θεοί μου παντὸς θεοῦ δυνατώτεροί εἰσιν. ἄπιθι, μειράκιον, ἐντεῦθεν, μὴ τὴν ζωήν σου ἀπολέσῃς, τοὺς (σ)οὺς γονεῖς προξενήσῃς θρῆνον. Ταῦτα ἀκούσας ὁ Δαυὶδ ἐπικαλεσάμενος τὸ ὄνομα Κυρίου τοῦ θεοῦ καὶ βαλὼν τρεῖς λίθους ἐν τῇ σφενδόνῃ ἔρριψεν εἰς τὸ πρόσωπον Γολιὰθ εἰπὼν αὐτῷ· ὅρα τὴν δύναμιν τοῦ θεοῦ μου. καὶ παρευθὺς σφενδονήσας ἔδωκεν τὸν Γολιὰθ κατὰ πρόσωπον αὐτοῦ καὶ ἀπέκτεινεν αὐτόν, καὶ ἐγένετο σωτηρία τῷ Ἰσραὴλ τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ λαβὼν τὸ ξίφος Δαυὶδ ἔτεμεν αὐτοῦ τὴν κεφαλὴν καὶ ἤνεγκεν αὐτὴ(ν) τῷ βασιλεῖ Σαούλ. Καὶ Δαυὶδ ἀνηγορεύθη βασιλεύς, ὁ δὲ Σαοὺλ ἐδίωκεν αὐτὸν βουλόμενος αὐτὸν ἀποκτεῖναι. καὶ ἐλθόντος (τοῦ Δαυὶδ) ἐν Χευρὼν ἐποίησαν αὐτὸν [1]) βασιλέα ἑαυτῶν [2]) καὶ ἐβασίλευσεν ἐπ' αὐτοὺς χρόνους ἑπτὰ ἕως θανάτου Σαοὺλ τοῦ πενθεροῦ αὐτοῦ. ὁ δὲ Σαοὺλ ἐδίωκεν αὐτὸν ἀπὸ πόλιν εἰς πόλιν. Μιᾷ δὲ τῶν ἡμερῶν ἔμαθε Σαοὺλ ὅτι Δαυὶδ εἰς Μεθὴλ ἐστι καὶ ἐλθὼν παρεκάθητο τὴν Μεθὴλ ζητῶν αὐτὴν τὸ(ν) Δαυίδ. τῇ [3]) δὲ νυκτὶ ἐκείνῃ ἀνοίξας Δαυὶδ τὰς πύλας τῆς πόλεως ἐξήγαγεν τὸν λαὸν αὐτοῦ, αὐτὸς δὲ ἦλθεν εἰς τὴν παρεμβολὴν Σαοὺλ καὶ ἔλαβεν ἐξ αὐτοῦ τὴν ῥάβδον αὐτοῦ καὶ τὸ προσκέφαλον αὐτοῦ καὶ μὴ εὑρὼν αὐτὰ (Σαοὺλ) ἔφησεν ὅτι Δαυὶδ αὐτὰ συνελήψατο. ὁ δὲ Δαυὶδ ἐλθὼν μέσον τῆς ὁδοῦ ἔστη ἐπάνω τῆς πέτρας καὶ ἐν τῷ (παρέρχεσθαι?) Σαοὺλ ἐβόησεν ὀπίσω αὐτοῦ· ἵνα τί διώκει ὁ κύριός μου ὀπίσω κυνὸς ὀδωδότος; καὶ ὑμεῖς οἱ φυλάσσοντες τὸν κύριόν μου τὸν βασιλέα οὐδαμῶς φυλάσ(σ)ετε ἀκριβῶς διότι ὁ ἀφελόμενος τὴν ῥάβδον αὐτοῦ καὶ τὸ προσκεφάλαιον οὐκ ἠδύνατο τὴν κεφαλὴν αὐτοῦ ἐκτεμεῖν; ἀλλὰ μὴ γένοιτο τοῦτο (ἵνα) ἐπὶ τὸν χριστὸν Κυρίου ἐπιβάλω τὴν χεῖρά

---

[1]) Cod. εὐχερῶν ἐποίησεν ἑαυτόν. [2]) Cod. ἑαυτοῦ. [3]) Cod. τήν.

μου. καὶ δέδωκεν (τῷ Σαοὺλ) τὴν ῥάβδον καὶ τὸ προσκεφάλαιον αὐτοῦ. Καὶ ἀπῆλθεν Δαυὶδ φεύγων εἰς ἔρημον τόπον μετὰ τριακοσίους καὶ οὐχ εὕρισκον τί φάγων. καὶ ἦλθεν Δαυὶδ εἰς τὸν οἶκον τοῦ θεοῦ νύκτα καὶ εἶπεν ἱερεῖ τῷ Ἀβιάθαρ· ἔστιν ἄρτος εἰς βρῶσιν τῶν παιδαρίων; (ἀπεκρίθη δὲ ὁ Ἀβιάθαρ·) οὐκ εἴσιν μοι ἄρτοι εἰ μὴ τῆς προθέσεως, καὶ εἰ καθαρά εἰσιν τὰ παιδία ἵνα φάγωσιν; καὶ εἶπεν Δαυίδ· τρεῖς ἡμέρας ἔχουσιν μὴ προςψαύσαντες γυναικί. καὶ εἶπεν ὁ (Ἀ)βιάθαρ ὁ ἀρχιερεύς· φαγέτωσαν. καὶ ἔφαγον πάντες καὶ ἔπιον. Καὶ ἀνέστη ἀνὴρ ὁ Σύρος ὀνόματι Δοικὶ καὶ ἀπελθὼν λέγει τῷ Σαούλ· κύριε βασιλεῦ, ἱερεῖς Κυρίου τὸν Δαυὶδ ἀγαπῶσι καὶ χρησμοὺς ἀπὸ Κυρίου δίδωσιν αὐτῷ. Ταῦτα ἀκούσας Σαοὺλ ἀπέστειλεν καὶ ἐθανάτωσεν τριακοσίους ἱερεῖς Κυρίου τοῦ θεοῦ, ὁ δὲ Ἀβιάθαρ ὁ ἀρχιερεὺς ἀπῆλθεν μετὰ τοῦ Δαυίδ. Καὶ ἕτερα πολλὰ ἐποίησεν Σαοὺλ τῷ Δαυὶδ καὶ τῷ λαῷ πειρασμοὺς ἕως ἡμέρας τοῦ θανάτου αὐτοῦ· καὶ Σαοὺλ ἀπώλεσεν τὴν ζωὴν αὐτοῦ ἐν πολέμῳ.

Περὶ τῆς τοῦ Οὐρίου γυναικὸς καὶ τοῦ φόνου. Ἐκράτησεν δὲ Δαυὶδ τῆς βασιλείας καὶ ἦν ἐν τῷ παλατίῳ. Μιᾷ δὲ τῶν ἡμερῶν περιπατῶν ἐν τρικλίνῳ εἶδεν γυναῖκαν λουομένην καὶ μαθὼν τίς ἐστιν ἀπέστειλεν καὶ ἀγαγὼν ἔμεινεν μετ' αὐτῆς. Οὐρίας δὲ ὁ ἀνὴρ τῆς γυναικὸς ὑπῆρχεν ἐν τῷ πολέμῳ, ἐστάλη δὲ ὑπὸ [1]) Ἰωὰβ τοῦ ἀρχιστρατήγου αὐτοῦ μετὰ γραμμάτων. καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς· ἄπελθε, Οὐρία, εἰς τὸν οἶκόν σου καὶ τῇ αὔριον ἀπελεύσῃ. Ὁ δὲ Οὐρίας ἀπελθὼν εἰς τὸν οἶκον αὐτοῦ καὶ συνθήκας μετὰ τῶν ἑταίρων ἔχων μὴ προσψαῦσαι τὴν κλίνην αὐτοῦ οὐκ ἐκοιμήθη μετὰ τῆς γυναικὸς αὐτοῦ λέγων· ὅτι οἱ ἐμοὶ ἑταῖροι ἄρτι φυλακὰς ἔχωσιν ἐν τῷ πολέμῳ κἀγὼ ἀναπαύσομαι ἐπὶ τῆς κλίνης μου; ἀρκετὸν καὶ ἡ θεωρία τοῦ οἴκου μου. (καὶ) ἐκοιμήθη ἐπὶ ψιαθίου. Ἡ δὲ γυνὴ αὐτοῦ ἔγκυος οὖσα ἀπὸ τοῦ Δαυὶδ ἐδήλωσεν τῷ βασιλεῖ ταῦτα εἰποῦσα· ἵνα γινώσκῃ ὁ κύριός μου ὁ βασιλεὺς ὅτι ὁ ἀνήρ μου οὐκ ἐκοιμήθη μετ' ἐμοῦ κἀγώ εἰμι ἔγκυος ἀπό σου, καὶ ἐὰν ἐπιστρέψῃ ἀπὸ τοῦ πολέμου πάντως [2]) αἴρει τὴν κεφαλήν μου. Ταῦτα ἀκούσας Δαυὶδ ἔγραψεν Ἰωὰβ τὸν ἀρχιστράτηγον αὐτοῦ ὅτι συ(γ)κρουσθέντος τοῦ

---

[1]) Cod. μετά. [2]) Cod. παντός.

πολέμου στῆσον τὸν Οὐρίαν εἰς τὸ ἕτερον μέρος τοῦ πολέμου ὥστε ἀποκτανθῆναι καὶ δέδωκεν τὸν Οὐρίαν τὴν ἐπιστολὴν τοῦ θανάτου αὐτοῦ καὶ ἀπήνεγκεν αὐτὴν πρὸς Ἰωάβ. καὶ ἀναγνωσθείσης [1]) τῆς ἐπιστολῆς προσετάχθη Οὐρίας πολεμεῖσθαι καὶ ἐσφάγη ἐν τῷ πολέμῳ. καὶ ποιήσας Δαυὶδ ὁ βασιλεὺς μοιχείαν καὶ φόνον. Εἶπεν δὲ Κύριος πρὸς Νάθαν τὸν προφήτην· ἄπελθε ἔλε(γ)ξον τὸν βασιλέα Δαυὶδ ὅτι ἐμοίχευσεν. εἶπεν δὲ ὁ προφήτης τὸν ἄγγελον· φοβοῦμαι μή πως ὡς βασιλεὺς τοὺς ἐλεγμοὺς μὴ φέρων θανατώσῃ με. καὶ εἶπεν αὐτῷ ὁ ἄγγελος Κυρίου· πορεύου, ὄψῃ γάρ με ἔμπροσθέν σου. καὶ ἀπῆλθεν ὁ προφήτης πρὸς Δαυὶδ τὸν βασιλέα καὶ ἐν τῷ εἰσέρχεσθαι αὐτὸν ὁρᾷ τὸν ἄγγελον ἐσπασμένην ἔχοντα ἐν τῇ χειρὶ τὴν ῥομφαίαν καὶ ἱστάμενον [2]) ἔμπροσθεν τοῦ βασιλέως, ὡς ὅτι ἐὰν βουληθῇ ἀποκρούσασθαι τὸν ἐλεγμὸν ἀποκτενεῖ(ν) αὐτόν. Λέγει οὖν ὁ προφήτης· δίκην ἔχω εἰπεῖν σοι, ὦ βασιλεῦ. ἔφη ὁ βασιλεύς· εἰπὲ τὴν δίκην σου. ἀπεκρίθη ὁ προφήτης εἰπὼν οὕτως· Ἄνθρωπός τις εἶχεν ἐνενήκοντα καὶ ἐννέα ἀμνάδας ὅστις μετ' αὐτῶν ἐκαθῆτο καὶ συνε(υ)φραίνετο, πτωχὸς δέ τις ἔμενεν πλησίον αὐτοῦ ὅστις εἶχεν ἀμνάδαν μίαν ἥτις ἐκ τῆς τραπέζης αὐτοῦ ἤσθιεν καὶ ἐκ τοῦ ποτηρίου αὐτοῦ ἔπινεν καὶ ἐπὶ τῶν γονάτων αὐτοῦ ἐκάθευδεν. καταλιπὼν δὲ ὁ πλούσιος ἐκεῖνος τὰς ἐνενήκοντα ἐννέα ἀμνάδας ἃς εἶχεν καὶ ἐ(υ)φραίνετο ἀνελάβετο τοῦ πτωχοῦ τὴν μίαν ἀμνάδα. ταύτην τὴν δίκην ἐγκαλῶ σοι, ὦ βασιλεῦ. Ἀποκριθεὶς δὲ ὁ βασιλεὺς εἶπεν· ἐὰν εὑρέθῃ ὁ τοῦτο ἐπὶ τῆς βασιλείας μου πράξας αἱρῶ τὴν κεφαλήν του. ἀποκριθεὶς δὲ ὁ προφήτης λέγει· σὺ εἶ, βασιλεῦ, ὁ τοῦτο πράξας. Εὐθὺς οὖν ὁ πρᾳότατος βασιλεὺς ἀναστὰς τοῦ θρόνου αὐτοῦ προσεκύνησεν εἰπών· ἡμάρτηκα τῷ Κυρίῳ μου, ἡμάρτηκα. τότε ὁ προφήτης ἰδὼν τὸν ἄγγελον ἀποστρέψαντα τὴν ῥομφαίαν αὐτοῦ εἶπεν τῷ βασιλεῖ· καὶ Κύριος ἀφεῖλεν τὰ ἁμαρτήματά σου. Καὶ τότε συνεγράψατο καὶ τὸν πεντηκοστὸν ψαλμόν. ὁ δὲ ἄγγελος ἐχρησμοδώτησεν εἰπών· οὐκ ἐκλείψει ἐκ τοῦ οἴκου σου ῥομφαία.

Περὶ τοῦ Ἀχιτώφελ. Ἐγέν(ν)ησεν Δαυὶδ υἱοὺς ἑπτά· δύο μετὰ τῆς τοῦ Οὐρίου, τρεῖς μετὰ Μελχὼ θυγατρὸς [3]) Σαοὺλ καὶ

---

[1]) Cod. ἀναγνωστείσης. [2]) Cod. ἱστάμενος. [3]) Cod. θυγατέρα.

δύο μετὰ Μηγαίας τῆς τοῦ Ναύα. πρωτότοκος δὲ ἦν αὐτῷ Ἀβεσ(σ)αλώμ. Ὑπῆρχεν δὲ αὐτῷ τῷ τότε καιρῷ ἀνὴρ συγκλητικὸς ὀνόματι Ἀχιτώφελ. οὗτος ἔνειχεν πάντοτε τὸν Δαυὶδ καὶ ἐζήτει εὐκαιρίαν τοῦ θανατῶσαι αὐτὸν καὶ οὐχ εὕρισκεν. ἀνδριθέντος δὲ τοῦ Ἀβεσ(σ)αλὼμ εὑρὼν [1]) ὥραν ὁ Ἀχιτώφελ λέγει αὐτῷ· ἵνα τί σὺ ἀμελεῖς τῆς πατρικῆς σου βασιλείας; καὶ μέλ(λ)ει ταύτην Σολομὼν ὁ νόθος [2]) κληρώσασθαι, σοῦ γάρ ἐστιν ἡ βασιλεία καὶ σοὶ ἁρμόζει. σπούδασον οὖν, ἔπαρον ταύτην· τὸν γὰρ πατέρα σου ἀπώσατο τῆς βασιλείας ὁ θεὸς καὶ σοὶ ἔδωκεν ταύτην. Ἀκούσας δὲ ταῦτα Ἀβεσ(σ)αλὼμ ἐπήρθη τῇ διανοίᾳ καὶ συνεβούλευσεν Ἀχιτώφελ περὶ τῆς βασιλείας καὶ συνέθετο Ἀβεσ(σ)αλὼμ ὑπεραρθῆναι τοῦ πατρὸς αὐτοῦ. ὁ δὲ Ἀχιτώφελ φόβῳ ληφθεὶς μή ποτε ἀγάπης γενομένης μετὰ τοῦ πατρὸς αὐτοῦ Ἀβεσ(σ)αλὼμ αὐτὸς ὡς ἀνδραποδίσας κριθήσεται εἶπεν πρὸς Ἀβεσ(σ)αλώμ· οὐκ ἄν σοι καταπιστεύσω ὅτι ὑπεραρθήσεσαι [3]) τοῦ πατρός σου εἰ μὴ ποιήσεις ὃ ἐγώ σοι ἐντέλλομαι. Καί φησιν (Ἀβεσσαλώμ)· καὶ τί ἐστιν ἐκεῖνο καὶ ποιήσω αὐτό; ὁ δέ φησιν· θέλω ἵνα μίαν τῶν παλ(λ)ακῶν τοῦ πατρός σου συγγένῃ μετ' αὐτῆς καὶ οὕτως πιστεύσω σοι. Τοῦτο δὲ ἐποίησεν Ἀχιτώφελ μάχην παρεισάγων ἀδιάλογον μεταξὺ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ. Ταῖς δὲ κακίσταις συμβουλαῖς τοῦ Ἀχιτώφελ ὑπαχθεὶς ὁ Ἀβεσ(σ)αλὼμ λαβὼν μίαν τῶν παλ(λ)ακῶν τοῦ πατρὸς αὐτοῦ συνεγένετο αὐτῇ. καὶ οὕτως γινομένης τῆς μάχης λαβὼν ὁ Ἀβεσ(σ)αλὼμ ὅσους ἠβουλήθη ἑλκύσαι τῇ βουλῇ αὐτῶν ἅμα Ἀχιτώφελ ἐξήλθωσαν εἰς τὰ μέρη τῆς Χευρὼν καταλιπόντες τὸν Δαυὶδ μόνον. Καὶ ἦν Δαυὶδ θρηνῶν καὶ ὀδυρόμενος τὸ πλεῖστον διὰ τὴν ἁμαρτίαν ἣν Ἀβεσ(σ)αλὼμ ἐποίησεν. καὶ ἐθρήνει Δαυὶδ καταλειφθεὶς μόνος.

Καὶ ἦν ἀνὴρ συνετὸς ὀνόματι Χουσή. οὗτος συνὼν τῷ Δαυὶδ συνελυπεῖτο μετ' αὐτόν. ὁρῶν δὲ αὐτὸν τὴν λύπην καταβαπτιζόμενον εἶπεν πρὸς αὐτόν· ἵνα τί οὕτως ἀθυμεῖς καὶ πιέζεις ὑπὸ τῆς λύπης; φησὶν ὁ βασιλεύς· βλέπεις, ὦ φίλε, τὴν συμφορὰν ἐκεῖθέν μου οὖσαν καὶ λέγεις μοι· τί λυπεῖσαι; ὁρᾷς ὅτι μόνος μετά σου κατελείφθην μὴ ἔχων χεῖρα βοηθείας· τὸ γὰρ στρατόπεδόν μου ὑπάρχει πέραν τοῦ Ἰορδάνου ἐν τῇ φάραγγι τῶν ἀλῶν

[1]) Cod. εὕρων. [2]) Cod. νόθων. [3]) Cod. ὑπεραρθήσεται.

καὶ οὐκ οἶδα τί συμβήσεται αὐτῷ μετὰ Ἰωὰβ τοῦ ἀρχιστρατήγου μου· ἐὰν γὰρ ἐκεῖνοι παρῆσαν ἐνταῦθα, ἐγὼ τῆς πολ(λ)ῆς ἀθυμίας ἠλευθερούμη(ν). Καὶ λέγει πρὸς αὐτὸν Χουσή· καὶ ἕως πότε δυνηθῇ ὁ παῖς (σ)ου ὑποστρέψαι ἀπὸ τῆς φάραγγος τῶν ἁλῶν; καὶ εἶπεν Δαυίδ· ἄχρι ἡμερῶν δέκα. καὶ εἶπεν Χουσή· ἐγὼ ἀπέρχομαι πρὸς τὸν υἱόν σου Ἀβεσ(σ)αλὼμ καὶ ποιῶ αὐτοὺς τοῦ μὴ ἐλθεῖν ἐπάνω σου ἕως ἡμερῶν δέκα, μόνον σὺ μὴ ὀργισθῇς μοι ὅτι πολλὰ ἔχω κατά σου εἰπεῖν. Λέγει αὐτὸν Δαυίδ· πορεύου, μόνον ποίησον αὐτοὺς ἐμποδισθῆναι ἄχρι ἡμέρας δέκα κἀγὼ δηλώσω διὰ γραμμάτων Ἰωὰβ τοῦ ἀρχιστρατήγου μου καὶ ἐλεύσεται καὶ πολεμήσει μετ' αὐτῶν. Ὁ δὲ Χουσὴ ἀναστὰς καὶ λαβὼν τὸν λαὸν αὐτοῦ ἅμα ἵπποις καὶ ἡμιόνοις πορευθεὶς ἀπῆλθεν εἰς Χευρὼν πρὸς τὸν Ἀβεσ(σ)αλὼμ καὶ Ἀχιτώφελ. οἱ δὲ ἐξανέστησαν καὶ εἶπον αὐτῷ· πῶς ἡμᾶς παραγέγονας καὶ τί τὸ αἴτιον τῆς ἀφήξεώς (σ)ου; ὁ δέ φησιν· σοὶ ἐδόθη ἡ βασιλεία καὶ σὲ ἠρετήσατο ὁ Κύριος, τὸν δὲ πατέρα σου ἀπώσατο καὶ ἰδοὺ μετά σου πάντες ἐλεύσονται, κύριέ μου Ἀβεσ(σ)αλώμ, σὺ γὰρ πληρώσεις τὰ ἐντάλματα Κυρίου. Ἀκούσας δὲ Ἀβεσ(σ)αλὼμ τοὺς λόγους Χουσὴ καὶ υἱοῦ Ἐμενῆ ἠγαθύνθη τῇ καρδίᾳ καὶ ἀποδεξάμενος τὸ(ν) Χουσὴ ἀνεπαύσατο. Γενομένης δὲ τῆς παρεμβολῆς εἰς πλῆθος, ἦσαν γὰρ συναχθέντες ἐκ πάσης πόλεως καὶ χώρας καὶ κώμης, καὶ λέγει (αὐ)τῷ Ἀχιτώφελ· ἀπελθόντες παραλάβωμεν τὰς πόλεις καὶ τὴν βασιλείαν ἡμῶν, κύριε [1]) ἡμῶν Ἀβεσ(σ)αλώμ. καὶ λέγει Ἀβεσ(σ)αλώμ· ἐρωτήσωμεν καὶ Χουσὴ ὅτι ἀνὴρ καλὸς σύμβουλός ἐστιν. καὶ εἶπον τῷ Χουσή· τί σοι δοκεῖ; ἀπέλθωμεν εἰς Ἱερουσαλὴμ ἢ οὔ; καὶ εἶπεν Χουσή· καὶ ἵνα τί ἀναγκάζεται ὁ κύριός μου Ἀβεσ(σ)αλώμ [2]); πορευθεὶς δὲ ὀπίσω κώνωπος. καθεσθεὶς ὁ κύριός μου οὖν διαναπαύθητι ἡμέρας δέκα καὶ ἐλεύσεται ἡ γερουσία τῶν δώδεκα φυλῶν εἰς προσκύνησίν σου, σὺ γὰρ πόλεμον μετά τινος οὐκ ἔχεις. Καὶ εἶπεν Ἀβεσ(σ)αλώμ· καλὴ βουλὴ Χουσὴ ὑπὲρ Ἀχιτώφελ, καὶ ἔταξεν Ἀβεσ(σ)αλὼμ ἀναπαυθῆναι ἡμέρας δέκα. Ὁ δὲ Ἰωὰβ ἐλθὼν σὺν τῷ στρατῷ εὗρεν τὸν Δαυὶδ σάκκον φοροῦντα καὶ θρηνοῦντα τὴν ἑαυτοῦ ἐρημίαν. καὶ λέγει αὐτῷ Ἰωάβ· οὐκ ἀρκοῦσιν ἐμοὶ οἱ πόλεμοι τῶν ἐθνῶν, ἀλλὰ καὶ μετὰ τῶν (ν)οθογεννήτων σου μέλ-

---

1) Cod. κυρίῳ. 2) **Quaedam sunt praetermissa.**

λομεν πιέζεσθαι τοῖς κακοῖς συνεχόμενοι; ὁ δὲ Δαυὶδ στενάζων ἔκλαιεν καὶ λέγων πρὸς αὐτόν [1]· καὶ ὁ υἱός μου ἐπανέστη μοι. Ὁ δὲ Ἰωὰβ παραλαβὼν τὸ φουσάτον αὐτοῦ μετὰ πάσης πανοπλίας ἀπῆλθεν πρὸς τὸν Ἀβεσ(σ)αλὼμ καὶ ἐπικαλεσάμενος τὸ ὄνομα Κυρίου τοῦ θεοῦ ἡμῶν συνῆψεν τὸν πόλεμον καὶ ἅπαντας κατεστρέψατο τῇ δυνάμει τοῦ θεοῦ Ἰσραήλ. ὁ δὲ Ἀβεσ(σ)αλὼμ μόνος λειφθεὶς εἰς φυγὴν ἐτράπη, ὡς δὲ ἦν φεύγων ἐφ' ἵππου οἱ πλοκαμοὶ τῆς κεφαλῆς αὐτοῦ δραξαμένοι τοῦ δένδρου ἀπεκρεμάσθη καὶ ὁ μὲν ἵππος διῆλθεν τρέχων. εἷς δὲ τῶν στρατιωτῶν ἰδὼν αὐτὸν κρεμάμενον ἐξέτεινεν κατατοξεύσας αὐτὸν καὶ ἔτι αὐτοῦ ἐμπνέοντος ἀπέτεμεν αὐτοῦ τὴν κεφαλὴν καὶ ἤνεγκεν αὐτὴν Δαυὶδ τῷ πατρὶ αὐτοῦ. ὁ δὲ πατὴρ αὐτοῦ κρατῶν ταύτην ἐθρήνει διὰ τὴν ἁμαρτίαν ἣν ἐποίησεν. Περὶ ταύτης τῆς ἁμαρτίας ὁ σοφὸς λέγει· ἀκήκοας τὸν Ἀβεσ(σ)αλὼμ (,ὦ ψυχή), πῶς [2]. τῆς ἁμαρτίας Δαυὶδ καὶ τοῦ φόνου ὡς ἀνωτέρω εἰρήκαμεν, λέγει οὕτως· συνῆψε μὲν ὁ Δαυίδ ποτε ἀνομίματι (sic) τὴν ἀνομίαν [3].

Περὶ τῆς καταγραφῆς. Εὐκαιρέσαντος οὖν ποτε τοῦ Δαυὶδ καὶ ἠρεμίαν τῶν πολέμων λαβόντος εἰς λογισμὸν ἦλθε τοιοῦτον ἵνα ἀναγράψεται [4]) τὸν ἑαυτοῦ λαόν· οὐ γὰρ ἦν ἀναγραφὴ τοῖς τότε καιροῖς. εἶπεν δὲ Ἰωὰβ τὸν ἀρχιστράτηγον αὐτοῦ· θέλω ἵνα ἀναγράψεσαι τὸν λαὸν τοῦ Ἰσραὴλ ἵν' ἴδωμεν πόσους ἔχομεν στρατιώτας καὶ πόσους γεωργοὺς καὶ πόσοι ἐν τῷ καθενὶ συστήματι. Ἀποκριθεὶς δὲ Ἰωὰβ εἶπεν τῷ Δαυίδ· οὐ δύναμαι τοῦτο ποιῆσαι διότι γέγραπται ἐν (ν)όμῳ Κυρίου· οὐκ ἀριθμήσῃς λαὸν Κυρίου. Καὶ εἶπεν δὲ (Δαυὶδ) πρὸς ἕτερον ἄνθρωπον ὀνόματι Ἀχρίαν (ἀναγράψαι τὸν λαὸν τοῦ Κυρίου), ὅστις ἐξελθὼν ἀπήρξατο τῆς ἀναγραφῆς. καὶ ἐν μησὶν ἐν(ν)έα καὶ ἡμέραις εἴκοσι ἀριθμούντων [5]) καὶ ἀριθμοῦντες καὶ εὗρον τὰς [6]) ὀκτακοσίας χιλιάδας ἀνδρῶν δυναμένων ῥομφαίαν βαστάζειν, τῆς δὲ Ἰουδαίας φυλῆς μόνης χιλιάδας πεντακοσίας μαχητῶν ἀνδρῶν. Ὠργίσθη δὲ Κύριος ἐπὶ Δαυὶδ καὶ εἶπεν· ἰδοὺ ἔλθῃ σοι τρία ἔτη λιμὸς ἐν τῇ γῇ σου ἢ τρεῖς μῆνας φυγεῖν ἐχθρῶν ἢ γενέσθαι τρεῖς ἡμέρας θανατικὸν ἐν τῇ

---

[1]) Post αὐτόν nonnulla sunt praetermissa. [2]) Post πῶς plura sunt omissa. [3]) Forse ἁμαρτήματι τὴν ἀνομίαν? [4]) Cod. ἀναστράψεται. [5]) Aliquid excidit. [6]) Cod. ἀριθμοῦντος καὶ εὑρόντας.

γῇ σου καὶ ἐν τῷ λαῷ σου. Ταῦτα ἀκούσας Δαυὶδ ἵστατο ἐνεὸς μὴ δυνάμενος φθέ(γ)ξασθαι. λέγει πρὸς αὐτὸν ὁ ἄγγελος Κυρίου· λέγε ἐν συντόμῳ [1]) ὅτι κατεπείγει με ἡ ὀργή. Καὶ ἀποκριθεὶς Δαυὶδ εἶπεν πρὸς τὸν ἄγγελον Κυρίου· οὐκ ἔστιν δυνατὸν ἐκφυφεῖν τὰς χεῖρας Κυρίου τοῦ θεοῦ μου· ἔστω τὸ θανατικόν. Καὶ ἅμα τῷ λόγῳ τοῦ βασιλέως ἐξελθὼν ὁ ἄγγελος Κυρίου ἤρξατο κόπτειν αὐτούς· καὶ ἦν θρῆνος ἐν πάσῃ τῇ Ἰουδαίᾳ πολύς. ὁ δὲ Δαυὶδ ἐνεδύσατο σάκκον καὶ ἦν θρηνῶν καὶ ὀδυρόμενος καὶ λέγων· ἐμὲ ἀπόκτεινον διότι ἐγὼ ἥμαρτον καὶ οὐχὶ ὁ λαός, ἵλεως γενοῦ, Κύριε, τῷ λαῷ σου καὶ μὴ ὀργισθῇς, Κύριε, ὁ ἀναμάρτητος. Ταῦτα τοῦ Δαυὶδ ὀδυρομένου ἰδὼν Κύριος ὁ θεὸς τὸν κλα(υ)θμὸν αὐτοῦ ἐσπλα(γ)χνίσθη τὸν λαὸν αὐτοῦ καὶ κατεπαύθη ἡ ὀργὴ Κυρίου ἀπὸ τοῦ λαοῦ. καὶ Δαυὶδ ἀριθμήσας εὗρεν ὅτι ἐν τρισὶν ὥραις ἀπέθανον ἐκ τοῦ λαοῦ ἑβδομήκοντα χιλιάδες ἀνδρῶν. Τούτων μεμνημένος σοφὸς γράφει· Δαυὶδ προφήτᾳ τῷ σῷ ὡς ἔπαυσας τὸν λαὸν πατάσ(σ)ων ῥομφαίαν σου ἄγγελον.

Ταῦτα τοῦ Δαυὶδ καὶ ἕτερα πλείονα· ἐν παραδρομῇ δὲ ταῦτα παρωσάμενοι δόξαν Χριστῷ ἀναπέμψωμεν.

Περὶ τοῦ Ὀζίου βασιλέως. Σὺ [2]) τὸν Ὀζίαν, ψυχή, μιμήσασα [3]) τὴν τούτου λέπραν ἐν σοὶ εἶχες ἐν διπλῷ. Βασιλεύοντος τῆς Ἰουδαίας Ὀζίου εἰσῆλθεν εἰς τὸν ναὸν Κυρίου τοῦ θεοῦ, καὶ εἰσελθόντος [4]) τοῦ ἱερέως τοῦ θυμιᾶσαι εἶπεν Ὀζίας ὁ βασιλεύς· δός μοι τοῦ θυμιᾶσαι. ἀπεκρίθη ὁ ἱερεύς· οὐκ ἔστιν [5]) σοι θυμιᾶσαι. Καὶ εἶπεν Ὀζίας [6])· [διὰ τί οὐκ ἔξεστί μοι θυμιᾶσαι;] οὐχὶ ἱερεύς εἰμι [καὶ ἁλουργίδα περιβέβλημαι]; καὶ ἀπεκρίθη ὁ ἱερεύς· ἀληθῶς βασιλεὺς εἶ σύ, ἀλλ' οὐκ ἔξεστί σοι θυμιᾶσαι. καὶ ἀπήγαγε τὸν θυμιατήριον εἰς τὸν τόπον αὐτοῦ. ὁ δὲ βασιλεὺς ἁπλώσας ἔλαβε τὸ θυμιατήριον μετὰ χειρὸς καὶ ἐθυμίασεν [7]). Καὶ ὠργίσθη αὐτῷ Κύριος καὶ ἔδωκεν αὐτῷ λέπραν ἐπὶ τοῦ μετώπου [8]). καὶ ἦν ἔθος τοῖς Ἰουδαίοις πάντα εἰς ὅντινα ἐξ αὐτῶν συμβῇ λέπρα ἐξαγαγεῖν [9]) ἔξω τῆς πόλεως, αὐτὸν δὲ ἐντραπέντες οὐκ ἐξήγαγον ἔξω τῆς πόλεως. Καὶ ὠργίσθη Κύριος ἐπ' αὐτοὺς καὶ οὐκ

---

[1]) Cod. ἐν συντόμως. [2]) Hic recipit narrationem cod. O. [3]) ζηλώσασα. [4]) ἐλθόντος. [5]) ἔξεστιν. [6]) ὁ δὲ βασιλεὺς εἶπεν. [7]) μὲ τὰς χεῖρας τοῦ θυμιᾶσαι. [8]) ὀργισθεὶς δὲ Κ. κατ'αὐτοῦ δέδωκεν αὐ. λ. ἐπὶ τὸ μέτωπον. [9]) πάντα λωβὸν ἐξαγ.

ἔδωκεν λόγον τὸν προφήτην Ἡσαΐαν ἕως θανάτου Ὀζίου, μετὰ δὲ τὸ τελευτῆσαι τὸν Ὀζίαν ὤφθη αὐτῷ Κύριος. διὰ τοῦτο γράφει ἐκ περιχαρείας· τοῦ ἔτους οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεὺς ἰδὼν τὸν Κύριον [1]) καθήμενον.

Περὶ τοῦ Βίτ. [2]) Οὗτος γὰρ ὁ Βὶτ αἰχμαλωτίσθη εἰς τὴν Ἑβραίων αἰχμαλωσίαν εἰς Νινευί. εὐσεβὴς γὰρ ὢν καὶ δίκαιος πάνυ κατὰ τὸν νόμον τῶν θνησκόντων ὁμοφύλων ἐν τῇ αἰχμαλωσίᾳ ἔθαπτεν βλέπων τὰ σώματα περιφρονούμενα καὶ μὴ θαπτόμενα. Ἐν μιᾷ οὖν ὑποστρέψαντος αὐτοῦ [3]) ἐκ τούτης [4]) ἐκ τοῦ θεαρέστου ἔργου καὶ ἀποθεμένου τὸν πτύον καὶ τὸ ὀρύγιον ἐκοιμήθη ἔξω τοῦ δωματίου αὐτοῦ διὰ τὸ μὴ χρανθῆναι αὐτὸ(ν) κατὰ τότε τὸν νόμον· ὅτι ὁ ἀψάμενος νεκροῦ ἀκάθαρτος ἔσται ἕως πρωΐ. τῇ δὲ τῇ νυκτὶ ἐκείνῃ ἀφοδίασεν εἰς τοὺς ὀφθαλμοὺς αὐτοῦ ἄνωθεν στρουθίον ἕρπον· παραυτίκα γοῦν ἐτυφλώθη μὴ βλασφημήσας δὲ τὸ καθ' ὅλου, ἀ(λ)λ' εὐχαριστήσας διαπαντὸς τὸν συ(γ)χωρήσαντα Κύριον. προσκαλεσάμενος δὲ Τοβίαν τὸν υἱὸν αὐτοῦ εἶπεν· ἰδοὺ ἐγὼ ὡς ὁρᾷς, τέκνον, καὶ τυφλὸς καὶ γέρων καὶ πένης ἐγενόμην διὰ τὰς ἁμαρτίας μου. δεῦρο οὖν ἀποστελῶ σε εἰς τὸν δυνατὸν συγγενῆ μου πρὸς τὴν Ἰουδαίαν, παρεθέμην γὰρ αὐτῷ πρὸ τῆς αἰχμαλωσίας [5]) χρυσίου τάλαντον [6]) εἰς παρακαταθήκην κακεῖσε ὕπαγε καὶ ἄγαγε αὐτὰ εἰς ἀποτροφὴν τῶν σωμάτων ἡμῶν καὶ τὴν τῶν συμφορῶν παρηγορίαν. ἀλλὰ τὴν ὁδόν, τέκνον, ὅλως οὐκ ἐπίστασαι, πολλὴ γάρ ἐστιν. εὕρωμεν οὖν ἄνθρωπον τὸν τὴν ὁδὸν ἐπιστάμενον καὶ τὸν θεὸν φοβούμενον καὶ στηχίσωμεν μετ' αὐτοῦ τὸν ἄξιον μισθὸν καὶ συνοδεύσῃ σοι μετὰ θεοῦ καὶ πάλιν ἀγάγῃ σε εἰς τοὺς ἐσκοτισμένους μου ὀφθαλμοὺς κεχαρμένον καὶ ἀδιαλώβητον. Καὶ δὴ τοιοῦτον ἄνθρωπον παρ' αὐτῶν ἀναζητούμενον ἐπέστη αὐτοῖς ὁ θεῖος ἀρχάγγελος Ῥαφαὴλ ἀνθρωποειδῶς ὡς δῆθεν ἐμπροσποιήσεται μισθίον καὶ λέγει αὐτοῖς· στηχίσατέ μοι πρὸς εἰκότος καὶ ἐγὼ διασώσω αὐτὸν μετὰ θεόν, εἰς ἅπαντα γὰρ ἐπίσταμαι ἀληθῶς καὶ τὸν τόπον καὶ τὸν συγγενῆ σου τὸν δεῖνα. καὶ ποιήσας αὐτὸν ὁ ἄγγελος ἐν εἴδει μισθίου μετὰ πλείστης

---

[1]) εἶδον τὸν θεόν. [2]) Iterum desunt iu O historiae de Bit, de Daniele et Abbakum prophetis. [3]) Cod. αὐτόν. [4]) An quid praetermissum? [5]) Cod. πρὸς τὴν αἰχμαλωσίαν. [6]) Cod. χρυσίον ταλάντων.

εὐχῆς ἐκ τῶν χειρῶν τοῦ γέροντος ὥδευσαν ἀπροσκόπτως ἡμέρας ἱκανάς, συνέπετο δὲ αὐτοῖς καὶ κυνάριον ἐκ τοῦ οἴκου. Ἐλθόντων δὲ αὐτῶν ἐν τῷ Τίγρι ποταμῷ ἐκαθέσθη τὸ παιδάριον Τοβίας τοῦ νίψασθαι τοὺς ἑαυτοῦ πόδας καὶ ἐθεάσατο ἰχθὺν ἀνασκιρτήσαντα καὶ ἐπ' αὐτὸν ὁρμήσαντα τοῦ καταπιεῖν αὐτόν· καὶ ἐξεβόησεν ὁ παῖς. καὶ λέγει αὐτῷ ὁ ἄγγελος ὁ συνοδοίπορος αὐτοῦ· μὴ φοβοῦ, ἀλλὰ κράτησον αὐτοῦ θαρσαλέως. καὶ τούτου γινομένου εἶπεν αὐτῷ πάλιν· ἀνάτεμε αὐτὸ(ν) ἐν τῇ καρδίᾳ αὐτοῦ καὶ τὸ ἧπαρ αὐτοῦ φύλαξον ἀσφαλῶς ἐν ἀγγείῳ, ἔχει γὰρ ὁ γέρων εἰς ὃν ἀπερχόμεθα θυγατέρα ἔχουσα(ν) πνεῦμα ἀκάθαρτον Ἀσμόδεον καλούμενον ἥτις διὰ τὸν ἔρωτα αὐτῆς ἀπέπνιξεν ἄνδρας ἑπτὰ ἡρμοσαμένους αὐτῆς. λαλήσω δὲ ἐγὼ καὶ περὶ συναλ(λ)άγματος τῷ γέροντι καὶ ποιήσω αὐτὸν μετὰ τὸ παρασχεῖν ἡμῖν τὰ φυλαττόμενα χρήματα τοῦ χρυσίου τοῦ λαβεῖν σε τὴν θυγατέραν αὐτοῦ γυναῖκα καὶ ποίησον αὐτὸ ἐκ τοῦ ἥπατος καὶ τῆς καρδίας καὶ φεύξεται ὁ Ἀσμόδεος τὸ ἀνδροκτόνον δαιμόνιον εἰ(ς) τὰ τῆς Αἰγύπτου ἀνώτατα δεσμευθεὶς ἐκεῖθεν ἀλύτοις δεσμοῖς καὶ ἐξαίφνης [1]) οὐ μὴ ἀποθάνῃ καὶ ὑποστρέψει μεθ' ἡμῶν καὶ αὐτὴ μετὰ περιουσίας πολλῆς εἰς τὸν οἶκόν σου. ὃ καὶ γέγονεν ὡς ἐν συλ(λ)ήβδῃ εἰπεῖν. καὶ ἐφύλαξεν ὁ παῖς τὴν καρδίαν, τὴν χολὴν καὶ τὸ ἧπαρ, τὸν δὲ ἰχθὺν ἔφαγον. Καὶ ἀπελθόντες περιχαρῶς δὲ ἀποδεχθέντες παρὰ τοῦ γηραιοῦ καὶ τὴν παρακαταθήκην ἀπολαβόντες καὶ κινήσαντες λόγους περὶ συναλ(λ)αγῆς οὐκ ἠβούλετο ὁ γέρων μάλιστα δεδιὼς διὰ τὸ ἀγχιστεύειν αὐτὴν καὶ ὑποδείκνυεν αὐτοὺς τάφους τῶν ἑπτά, τέλος δὲ πεισθεὶς καὶ τοὺς γάμους τελέσας καὶ ζῶντα αὐτὸν θεασάμενος καθὼς ὑπέθετο αὐτῷ ἐπ' ὁδῷ ὁ συνοδίτης εὐχαρίστησεν τῷ θεῷ σφόδρα καὶ ἔδωκεν αὐτὴν γυναῖκα ὁ γηραιὸς Τοβίᾳ καὶ τὸ ἥμισυ τῆς περιουσίας αὐτοῦ καὶ ἀπέστειλεν αὐτοὺς μετὰ χαρᾶς μεγάλης. Ὑποστρεψάντων δὲ αὐτῶν ἅμα αὐτῇ μετὰ παιδίσκην καὶ παίδων καὶ χρημάτων ἀπείρων ὡς ἔφθασαν ἐγγὺς τοῦ οἴκου τοῦ [2]) Βὶτ γνωρίσας ὁ κύων τὸν οἶκον προδραμὼν εἰσῆλθεν εἰς τὸν οἶκον καὶ περιέλιξεν τοὺς πόδας τῷ Βίτ, ὁ δὲ ἐξ αὐτοῦ γνοὺς τὴν ἀνάλυσιν τοῦ τέκνου αὐτοῦ ἐξεγέρθη σπουδαίως ἐπὶ

---

[1]) Nonnulla praetermissa videntur. [2]) Cod. τῷ.

συναπάντησιν αὐτοῦ καὶ μὴ βλέπων ὁ γέρων προσέκοπτεν ὧδε κἀκεῖσε πρὸς τὸν τεῖχον. ὁ δὲ συνοδίτης λέγει· λάβε τὴν χολὴν τοῦ ἰχθύος καὶ ἀπαντήσας πρὸς τὴν θύραν τοῦ πατρός σου πρὸ τοῦ ἀσπάσασθαι αὐτὸν χρῖσον τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ παραχρῆμα ἀναβλέψει. Καὶ τούτου γινομένου καὶ παρευθὺς τοῦ γέροντος ἀναβλέψαντος ἔστησαν ἐπὶ πολὺ ἐκπληττόμενοι καὶ δοξάζοντες τὸν θεὸν ἐπὶ πᾶσι τοῖς ἀγαθοῖς οἷς περιῆλθεν αὐτοῖς. Βουλομένων δὲ αὐτῶν μεγάλως ἀποδέξεσθαι τὸν συνοδοίπορον τὸν λογιζόμενον μίσθιον καὶ δοῦναι αὐτῷ προθύμως τὸ [1]) ἥμισυ ὧν ἤνεγκαν χρημάτων ἀνεκάλυψεν αὐτοὺς ὁ ἀρχάγγελος Κυρίου καὶ εἶπεν· ἐγώ εἰμι Ραφαὴλ ὁ εἷς τῶν ἑπτὰ ἀρχαγγέλων τῶν ἀναφερόντων τῷ θεῷ προσευχὰς δικαίων καὶ οὔτε βέβρωκα οὔτε πέπωκα κἂν ὑμεῖς ἐνομίζετε, εὐχαριστήσατε οὖν διαπαντὸς τὸν Κύριον καὶ ἀεὶ ἐξομολογεῖσθε. καὶ ταῦτα εἰπὼν ἤρθη ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν.

Περὶ Δανιὴλ τοῦ προφήτου. Ἐν τῷ θεράποντι τοῦ θεοῦ Δανιὴλ ἐμβληθέντι ἐν τῷ λάκ(κ)ῳ τῶν λεόντων [2]). μετὰ γὰρ τὸ βασιλεῦσαι βασιλεῖς ἑτέρους ἀπὸ Ναβουχοδονόσωρ ἠγαπᾶτο παρὰ πάντων ὁ Δανιὴλ ὁ ἐκ θεοῦ συγκρίνων τὰ ἐνύπνια αὐτῶν. οἱ δὲ Βαβυλώνιοι φθόνῳ φερόμενοι τοῦ κατ' ἐκείνου καιροῦ ὡς καὶ πρότερον κατὰ Δαρείου βασιλεύοντος αὐτοῖς Κύρου λέγουσιν αὐτῷ· δὸς ἡμῖν θανατῶσαι τὸν Δανιὴλ ὅτι τὸν Βὴλ τὸν θεὸν ἡμῶν συνέτριψεν καὶ σεπτὸν δράκοντα ἀπέκτεινεν καὶ τοὺς ἱερεῖς καὶ ἐπαοιδοὺς ἡμῶν κατέσφαξεν, εἰ δὲ μή γε, ἀποκτείνωμέν σε καὶ τὸν σὸν οἶκον ὡς Ἰούδα ἤσαντες. Καὶ ἰδὼν αὐτοὺς ὁ βασιλεὺς ὅτι κατεπείγουσιν αὐτὸν σφόδρα καὶ ἀναγκασθεὶς παρέδωκεν αὐτοῖς τὸν Δανιήλ, οἱ δὲ ἔβαλον αὐτὸν εἰς τὸν λάκκον τῶν λεόντων καὶ ἦν ἐκεῖ ἡμέρας ἕξ· ἦσαν δὲ ἐκεῖ λέοντες ἐν τῷ λάκ(κ)ῳ ἐπάνω καὶ ἀπέκλεισεν τὰ στόματα αὐτῶν ὁ ἀρχάγγελος Κυρίου καὶ οὐκ ἠπαρηνόχλησαν τὸν Δανιήλ. Τοῦ βασιλέως ἐλθόντος τοῦ πενθῆσαι τὸν Δανιὴλ τῇ ἡμέρᾳ ἐκείνῃ τῇ ἑβδόμῃ ἐν τῷ λάκκῳ εὗρεν δὲ σώας τὰς σφραγίδας ἃς ἔπηξεν καὶ ἀνοίξας ὁρᾷ τὸν Δανιὴλ ἑστῶτα ὀρθὸν καὶ τὰς χεῖρας ἐκτεταμένας καὶ λέγων εὐλογητὸς ὁ θεὸς ὁ ἀποστείλας τὸν ἄγγελόν σου καὶ ἐνέφραξε

[1]) Cod. τά. [2]) Omissa sunt quaedam.

τὰ στόματα τῶν λεόντων καὶ οὐκ ἐλυμήναντό με. τότε ὁ βασιλεὺς δοξάζων τὸν θεὸν ἀνήνεγκεν τὸν Δανιὴλ ἐκ τοῦ λάκ(κ)ου ἀδιάφθορον καὶ τὸ θαῦμα καταπλαγεὶς προσεκύνησεν αὐτόν, τοὺς δὲ ἄνδρας τοὺς διαβάλλοντας τὸν Δανιὴλ ἐνέβαλεν εἰς τὸν λάκκον τῶν λεόντων. καὶ οὐκ ἔφθασαν εἰς τὸ ἔδαφος τοῦ λάκκου καὶ κατεκυρίευσαν αὐτοὺς οἱ λέοντες τὸ αἷμα αὐτῶν λωφίξαντες καὶ τὰ ὀστᾶ αὐτῶν ὡς λίχνον ἐκλεπτύναντες. Καὶ οὗτος τοίνυν ὁ ἐπιθυμιῶν ἀνὴρ Δανιὴλ [1]) καὶ τὸ πανάγιον ὄνομα τοῦ ἀρχαγγέλου ἐνέφανεν ἡμῶν ὅτι Μιχαὴλ προσηγορεύθη καὶ στρατιώτης ἀπὸ θεοῦ.

Περὶ τοῦ Ἀβ(β)ακοὺμ τοῦ προφήτου. Ἀββακοὺμ δὲ ὁ προφήτης ὢν ἐν τῇ Ἰουδαίᾳ καὶ αὐτὸς ἔβλισεν ἔβλιμα καὶ ἐνέθρεψεν ἄρτους εἰς τροφὴν καὶ ἐπορεύετο ἀγαγεῖν τοῖς θερισταῖς αὐτοῦ καὶ ἐπελάβετο ἄγγελος Κυρίου τῆς κορυφῆς τοῦ Ἀβ(β)ακοὺμ καὶ ἐβάσταζεν αὐτὸν ἐν τῷ ζήλῳ τοῦ πνεύματος καὶ ἤνεγκεν αὐτὸν ἀπὸ τῆς Ἰουδαίας εἰς Βαβυλῶνα καὶ μετὰ τῆς φακόδου τροφῆς εἰσήνεγκεν αὐτὸν ὁ ἄγγελος εἰς τὸν λάκ(κ)ον τῶν λεόντων λυθέντων τῶν ἐκεῖθεν σφραγίδων· καὶ ἔφαγεν Δανιὴλ ὁ θεράπων Κυρίου. Καὶ πάλιν Μιχαὴλ ὁ αὐτὸς ἄγγελος ἀπεκατέστησεν τὸν Ἀβ(β)ακοὺμ εἰς τὸν τόπον αὐτοῦ παραδιδοὺς εἰς τὴν ὥραν ἐπέφθασεν καὶ θρέψας ὁμοίως καὶ τοὺς θεριστὰς αὐτοῦ τροφῆς δαψιλέστερον.

Ἐκ [2]) τῆς νομοθεσίας. [Εἶπε Κύριος τῷ Μωϋσεῖ·] οὐ ποιήσετε πᾶν εἴδωλον οὔτε πᾶν ὁμοίωμα προσκυνήσετε [ὅσα] ἐν τῷ οὐρανῷ ἄνω καὶ ὅσα ἐπὶ τῆς γῆς κάτω. Καὶ σύ, [ὦ] ἰουδαῖε, πῶς προσκυνεῖς [3]) τὸ εἴδωλον τοῦ Βὴλ ἐν τῷ τόπῳ τοῦ Φεγώρ; ἔξεστί σοι φαγεῖν τὸ ἀγρόν σου καὶ τὸν ἀμπελῶνά σου καὶ τὰ προσφερόμενά σοι [ἐκ] πάντων τῶν ἔργων σου. ἓξ ἔτη [4]) τὸ ἔβδομον [5]) ἄφεσις ἔσται σοι καὶ φάγωνται πένητες τὰ ἔργα τῶν χειρῶν σου καὶ πᾶν προσφερόμενον ἐν οἴκῳ σου διαμερίσθητι πένητι καὶ πτωχῷ ὀρφανῶν καὶ χηράδων [6]) ὅτι ἐν ταῖς [ἓξ] ἡμέραις συ(ν)εστήσατο τὰ πάντα [7]) ἔργα καὶ ἡ ἑβδόμη ἄφεσις. καὶ

---

[1]) Excidisse videntur nonnulla. [2]) Cod. O, qui et ipse habet hoc ultimum caput, exhibet περί. [3]) ἐπροσεκύνησας. [4]) ἔξεστι V. [5]) τῷ ἑβδόμῳ. [6]) φάγωνται πένητες καὶ πτωχοί, ὀρφανοὶ καὶ χῆρες. [7]) συνεστήσαντο πάντα τά.

διὰ τοῦτο εὐλογήσης [1]) τὸν ἑβδοματικὸν χρόνον ἥτις λέγεται ἀφέσιμος καὶ πᾶσα ψυχὴ ἥτις οὐ φυλάξει ταῦτα ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ, ὁ δὲ φυλάσσων ταῦτα δώσω αὐτῷ εὐλογίαν καὶ πληθυνῶ [2]) τοὺς καρποὺς αὐτοῦ [3]) καὶ τὰς εἰσόδους αὐτοῦ πάσας ἵνα ἐμπλησθῇ τὸν ἀφέσιμον χρόνον [4]). Πόθεν ἔχεις, ὦ ἰουδαῖε, ἐλπίδα ἀφέσεως ἁμαρτιῶν; ποῦ γὰρ ἔχεις τράγον ἀποπομπὴν τανεῖν (sic) γράφει οὕτως· ἐὰν ἐμπέσῃ τις εἰς ἁμαρτίαν τήνδε, ἄρετε αὐτὸν δύο τράγους καὶ τὸν μὲν ἕναν θύσῃς, τὸν δὲ ἕτερον ἀποπέμψῃς ἐν τῇ ἐρήμῳ ὅτι λέγεται ἀποπομπῆς.·.

14. Завѣтъ (и смерть) Авраама.

Ἡ διαθήκη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ δικαίου Ἀβραάμ, διαλύων δὲ καὶ τὴν τοῦ θανάτου πόραν, τὸ πῶς δὴ ἕκαστος τελευτᾷ ἄνθρωπος. Δέσποτα εὐλόγησον.

Ἔζησεν Ἀβραὰμ τὸ μέτρον τῆς ζωῆς αὐτοῦ ἔτη ἑκατὸν ἑβδομήκοντα πέντε, πάντα δὲ τὰ ἔτη τῆς ζωῆς αὐτοῦ ζήσας ἐν ἡσυχίᾳ καὶ πρᾳότητι καὶ δικαιοσύνῃ. Πάνυ δὲ ὑπῆρχεν ὁ δίκαιος φιλόξενος· πήξας δὲ τὴν σκηνὴν αὐτοῦ ἐν τετραόδῳ τῆς δρυὸς τῆς Μα(μ)βρὶ [5]) τοὺς πάντας ὑπεδέχετο· πλουσίους καὶ πένητας, βασιλεῖς καὶ ἄρχοντας, ἀναπήρους καὶ ἀδυνάτους, φίλους τε καὶ ξένους, γείτονας καὶ παροδίτας ἴσον ὑπεδέχετο ὁ ἅγιος καὶ ὅσιος καὶ πανίερος καὶ δίκαιος καὶ φιλόξενος Ἀβραάμ. Ἔφθασε δὲ καὶ ἐπὶ τοῦτον τὸ κοινὸν καὶ ἀπαραίτητον τὸ τοῦ θανάτου ποτήριον καὶ τὸ ἄδηλον τοῦ βίου πέρας. προσκαλεσάμενος τοίνυν ὁ Δεσπότης θεὸς τὸν ἀρχάγγελον αὐτοῦ Μιχαὴλ εἶπεν πρὸς αὐτόν· κάτελθε, Μιχαὴλ ἀρχιστράτηγε, πρὸς Ἀβραὰμ καὶ εἰπὲ αὐτὸν περὶ τοῦ θανάτου ἵνα διατάξεται περὶ τῶν πραγμάτων αὐτοῦ, ὅτι εὐλόγησα αὐτὸν ὡς τοὺς ἀστέρας τοῦ οὐρανοῦ καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης, καὶ ἔστιν ἐν ἐμπορίᾳ πολλῇ καὶ βίου πολλοῦ καὶ πραγμάτων πολλῶν καὶ ὑπάρχει πλούσιος πάνυ, παρὰ πάντων δὲ

[1]) τιμήσης. [2]) δώσει αὐτὸν τοῖς ἔστιν (sic) εὐλογίαν καὶ πληθυνεῖ. [3]) αὐτῷ V.
[4]) In his exit O. [5]) Cod. τῆς δρυῆς τῆς Μαυρίος.

δίκαιος ἐν μπάσῃ ἀγαθοσύνῃ, φιλόστοργος καὶ φιλόξενος ἕως[1]) τέλους· σὺ δέ μοι [2]) ἄπελθε πρὸς τὸν Ἀβραάμ τὸν ἠγαπημένον μου φίλον καὶ ἀνάγγειλον αὐτὸν περὶ τοῦ θανάτου καὶ πληροφόρησον αὐτόν· ὅτι μέλλεις ἐν τῷ καιρῷ τούτῳ ἐξέρχεσθαι ἐκ τοῦ κόσμου καὶ τοῦ ματαίου βίου τούτου καὶ μέλλεις ἐκδημεῖν ἐκ τοῦ σώματός σου καὶ πρὸς ἴδιον Δεσπότην ἐλεύσῃ ἐν ἀγαθοῖς. Ἐξελθὼν δὲ ὁ ἀρχιστράτηγος ἐκ προσώπου τοῦ θεοῦ κατῆλθε πρὸς τὸν Ἀβραὰμ ἐπὶ τὴν δρὺν τὴν Μα(μ)βρὶ καὶ εὗρε τὸν δίκαιον Ἀβραὰμ ἐπὶ τὴν χώραν ἔγγιστα ζεύγη βοῶν ἀροτριασμοῦ παρεδρεύοντα [3]) μετὰ τοὺς υἱοὺς Μασὲκ καὶ ἑτέρους παῖδας [4]) τὸν ἀριθμὸν δώδεκα, καὶ ἰδοὺ ὁ ἀρχιστράτηγος ἔρχεται πρὸς αὐτόν. Ἰδὼν δὲ ὁ Ἀβραὰμ τὸν ἀρχιστράτηγον Μιχαὴλ ἀπὸ μακρόθεν ἐρχόμενον δίκην στρατιώτου εὐπρεπεστάτου ἀναστὰς οὖν ὁ ἱερὸς Ἀβραὰμ ὑπαντήθη αὐτῷ καθότι καὶ ἔθος εἶχεν τοῖς ἐπὶ ξένης παισὶν προϋπαντᾶν καὶ ὑποδεχόμενος. Ὁ δὲ ἀρχιστράτηγος προχαιρετίσας αὐτὸν εἶπεν· χαίροις, τιμιώτατε πάτερ, δικαία ψυχή, ἐκλεκτὲ τοῦ θεοῦ, φίλε γνήσιε θεοῦ τοῦ ἐπουρανίου. Εἶπε δὲ καὶ Ἀβραὰμ πρὸς τὸν ἀρχιστράτηγον· χαίροις, τιμιώτατε στρατιῶτα, ὑπὲρ πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων καλῶς ἔηκες [5]), τούτου χάριν αἰτοῦμαι τῆς σῆς παρουσίας· πόθεν ἔηκεν τὸ νέον τῆς ἡλικίας σου; δίδαξόν με τῷ σῷ οἰκέτῃ, πόθεν ἔηκεν; ἐκ ποίας στρατιᾶς καὶ ἐκ ποίας ὁδοῦ παραγέγονας τὸ σὸν κάλλος; δίδαξόν με. Ὁ δὲ ἀρχιστράτηγος ἔφη· ἐγώ, δίκαιε ἄνθρωπε, ἐκ τῆς μεγάλης πόλεως ἔρχομαι παρὰ τοῦ μεγάλου βασιλέως ἀπεστάλην, διαδοχὴν φίλου αὐτοῦ γνησίου ἐπικομίζομαι· ὅτι καὶ αὐτὸν ὁ βασιλεὺς πρὸς αὐτὸν προσκαλεῖται. Καὶ ὁ Ἀβραὰμ εἶπεν· δεῦρο, κύριέ μου, πορεύθητι μετ' ἐμοῦ ἕως τῆς χώρας. καί φησιν ὁ ἀρχιστράτηγος· ἔρχομαι. Ἀπελθόντος δὲ ἐν τῇ χώρᾳ τοῦ ἀροτριασμοῦ ἐκαθέσθησαν πρὸς ὁμιλίαν. εἶπε δὲ Ἀβραὰμ πρὸς τοῖς παισὶν αὐτοῦ τοῖς υἱοῖς Μασέκ· ἀπέλθατε εἰς τὴν ἀγέλην τῶν ἵππων καὶ ἐνέγκατε δύο ἵππους εὐμενεῖς καὶ ἡμέρους δεδαμασμένους, ὅπως ἂν καθεσθῶμεν ἐγώ τε καὶ ὁ ἄνθρωπος οὗτος ὁ ἐπὶ ξένης. Εἶπεν ὁ ἀρχιστράτηγος· μή, κύριέ μου Ἀβραάμ, μὴ ἐνέγκωσιν ἵπποι ὅτι ἀπέσχομαι τοῦ [6]) καθεσθῆναι ἐπὶ ζώου τετραπό-

[1]) Cod. ἕους. [2]) Cod. μ.$^{\text{XI}}$ [3]) Cod, παραδρεύοντας. [4]) Cod. παισίν. [5]) Cod. ἕοικος. [6]) Cod. τοῦτο vel τοῦ τό.

δου ποτέ, ἀπέλθωμεν δέ [1]), δικαία ψυχή, πεζοῦντες ἕως τοῦ οἴκου σου μετεωριζόμενοι. καὶ εἶπεν (Ἀβραάμ)· ἀμήν, γένοιτο. Ἀπερχομένων δὲ αὐτῶν ἀπὸ τοῦ ἀγροῦ πρὸς τὸν οἶκον αὐτοῦ κατὰ δὲ τῆς ὁδοῦ ἐκείνης δένδρον ἵστατο κυπάρισ(σ)ος. κατὰ δὲ πρόσταξιν θεοῦ τὸ δένδρον ἐβόησεν ἀνθρωπίνην φωνὴν καὶ εἶπεν· ἅγιος, ἅγιος, ἅγιος Κύριος ὁ θεὸς ὁ προσκαλούμενος ἑαυτὸν τοῖς ἀγαπῶσιν αὐτόν. Ἔκρυψεν δὲ ὁ Ἀβραὰμ τὸ μυστήριον νομίσας ὅτι ὁ ἀρχιστράτηγος τὴν φωνὴν τοῦ δένδρου οὐκ ἤκουσεν. ἐλθόντος δὲ πλησίον τοῦ οἴκου ἐν τῇ αὐλῇ ἐκαθέσθησαν. Καὶ ἰδὼν Ἰσαὰκ τὴν πρόσοψιν τοῦ ἀγγέλου εἶπεν πρὸς τὴν Σάῤῥα(ν) τὴν μητέρα αὐτοῦ· κυρία μῆτερ, ἰδοὺ ὁ ἄνθρωπος ὁ καθεζόμενος μετὰ τοῦ πατρός μου τοῦ κυρίου μου Ἀβραὰμ οὐκ ἔστιν υἱὸς ἀπὸ τοῦ γένους τῶν ἀνθρώπων τῶν κατοικούντων ἐπὶ τῆς γῆς. καὶ προσέδραμεν Ἰσαὰκ καὶ προσεκύνησεν καὶ προσέπεσεν τοῖς ποσὶν τοῦ ἀσωμάτου, καὶ ὁ ἀσώματος εὐλογήσας τὸν Ἰσαὰκ εἶπεν· χαρίσεταί σοι, τέκνον, Κύριος ὁ θεὸς τὴν ἐπαγγελίαν αὐτοῦ ἣν ἐπηγγείλατο τῷ πατρί σου καὶ τῇ μητρί σου. Εἶπεν δὲ Ἀβραὰμ πρὸς Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ· χαρίσεται δέ σοι καὶ τὴν τιμίαν ἁγίαν εὐχήν σου. εἶπε δὲ Ἀβραὰμ πρὸς τὸν υἱὸν αὐτοῦ· ἄντλησον ὕδωρ ἐκ τοῦ φρέατος καὶ ἔνεγκε ἡμῖν ἐπὶ τῆς λεκάνης ἵνα νίψωμεν τοῦ ἀνθρώπου τούτου τοῦ ἐπὶ ξένης τοὺς πόδας, ὅτι ἀπὸ μακρᾶς ὁδοῦ πρὸς ἡμᾶς ἐλθὼν ἐκοπίασεν. καὶ δραμὼν Ἰσαὰκ εἰς τὸ φρέαρ ἤντλησεν ὕδωρ ἐπὶ τῆς λεκάνης καὶ ἤνεγκε πρὸς αὐτούς. Προσελθὼν οὖν Ἀβραὰμ ἔνιπτεν τοὺς πόδας τοῦ ἀρχιστρατήγου Μιχαήλ. ἐκινήθησαν δὲ τὰ σπλάγχνα τοῦ Ἀβραὰμ καὶ ἐδάκρυσεν ἐπὶ τὸν ξένον. Ἰδὼν αὐτὸν Ἰσαὰκ κλαίοντα ἔκλαυσε καὶ αὐτός. ἰδὼν αὐτοὺς ὁ ἀρχιστράτηγος κλαίοντας συνεδάκρυσεν καὶ αὐτὸς μετ' αὐτούς· ἔπιπτον δὲ τὰ δάκρυα τοῦ ἀρχιστρατήγου ἐπὶ τῆς λεκάνης εἰς τὸ ὕδωρ τοῦ νιπτῆρος καὶ ἐγένοντο λίθοι ἀτίμητοι. ἰδὼν δὲ Ἀβραὰμ τὸ θαῦμα ἔλαβε τοὺς λίθους κρυφίως, ἔκρυψε τὸ μυστήριον μόνος ἔχων ἐν τῇ καρδίᾳ αὐτοῦ. Εἶπε δὲ Ἀβραὰμ πρὸς Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ· ἄπελθε, υἱέ μου ἀγαπητέ, εἰς τὸ ταμιεῖον τοῦ τρικλίνου καὶ καλλώπισον αὐτό· στρῶσον ἐκεῖ δύο κλινάρια· ἕνα ἐμὸν καὶ ἕνα τοῦ ἀνθρώπου τούτου τοῦ ἐπιξενισθέντος ἡμῖν σήμερον. ἑτοίμασον δὲ ἡμῖν ἐκεῖ

[1]) Cod. σοί: correxit scriba σ ex δ.

δίφρον καὶ λυχνίαν καὶ τράπεζαν ἐν ἀφθονίᾳ παντὸς ἀγαθοῦ, καλλώπισον τὸ οἴκημα, τέκνον, καὶ ὑφάπλωσον σινδόνας καὶ πορφύραν καὶ βύσσον. θυμίασον πᾶν τίμιον καὶ ἔνδοξον θυμίαμα καὶ βοτάνας εὐόσμους ἐκ τοῦ παραδείσου καὶ ναύκας (sic) πλήρωσον, ἄναψον λύχνους ἑπτὰ δι' ἐλαίους ὅπως εὐφρανθῶμεν, ὅτι ὁ ἄνθρωπος οὗτος ὁ ἐπὶ ξένης σήμερον ἐν ἡμῖν ἐνδοξότερος ὑπάρχει βασιλέως καὶ ἀρχόντων, ὅτι καὶ ἡ ὅρασις αὐτοῦ ὑπερφερὴς ὑπὲρ πάντας ἀνθρώπους. ὁ δὲ Ἰσαὰκ ἡτοίμασεν πάντα καλῶς. Παραλαβὼν δὲ Ἀβραὰμ τὸν ἀρχάγγελον Μιχαὴλ ἀνῆλθεν ἐν τῷ οἰκήματι τοῦ τρικλίνου καὶ ἐκαθίσθησαν ἀμφότεροι ἐπὶ τὰ κλινάρια. μέσον δὲ αὐτῶν προῆγεν τράπεζαν ἐν ἀφθονίᾳ παντὸς ἀγαθοῦ. Ἐγερθεὶς οὖν ὁ ἀρχιστράτηγος ἐξῆλθεν ἔξωθεν ὡς δῆθεν γαστρὸς χρείαν ποιήσας ἀνῆλθεν εἰς τὸν οὐρανὸν ἐν ῥιπῇ ὀφθαλμοῦ καὶ ἔστη ἐνώπιον τοῦ θεοῦ καὶ εἶπεν πρὸς τὸν Δεσπότην· Κύριε, Κύριε, ἵνα γινώσκῃ τὸ σὸν κράτος ὅτι ἐγὼ τὴν μνήμην τοῦ θανάτου πρὸς τὸν δίκαιον ἄνδρα ἐκεῖνον ἀναγγεῖλαι οὐ δύναμαι, ὅτι οὐκ εἶδον ἐπὶ τῆς γῆς ἄνθρωπον ὅμοιον αὐτοῦ· ἐλεήμονα, φιλόξενον, δίκαιον, ἀληθινόν, θεοσεβῆν, ἀπεχόμενον ἀπὸ παντὸς πονηροῦ πράγματος. καὶ νῦν γίνωσκε, Κύριε, ὅτι ἐγὼ τὴν μνείαν τοῦ θανάτου ἀναγγεῖλαι οὐ δύναμαι. Ὁ δὲ Κύριος εἶπεν· ἄπελθε, Μιχαὴλ ἀρχιστράτηγε, πρὸς τὸν φίλον μου Ἀβραὰμ καὶ ὅ τι ἂν λέγῃ σοι τοῦτο καὶ ποίησον καὶ ὅ τι ἐὰν ἐσθίῃ ἔσθιε [1]) καὶ σὺ μετ' αὐτοῦ, ἐγὼ δὲ ἐπιβαλῶ τὸ πνεῦμά μου τὸ ἅγιον ἐπὶ τὸν υἱὸν αὐτοῦ Ἰσαὰκ καὶ ῥίψω [2]) τὴν μνείαν τοῦ θανάτου εἰς τὴν καρδίαν τοῦ Ἰσαὰκ ἵνα αὐτὸς ἐν ὁράματι θεάσηται τὸν θάνατον τοῦ πατρὸς αὐτοῦ Ἀβραὰμ καὶ ἀναγγελεῖ [3]) τὸ ὄναρ καὶ σὺ δὲ διάκρινε, καὶ αὐτὸς γνώσει τὸ τέλος αὐτοῦ. Καὶ ὁ ἀρχιστράτηγος εἶπεν· Κύριε, πάντα τὰ ἐπουράνια τάγματα ὑπάρχουσιν ἀσώματα καὶ οὔτε ἐσθίουσιν οὔτε πίνουσιν καὶ οὗτος δὲ ἐμοὶ τράπεζαν παρέθετο ἐν ἀφθονίᾳ παντὸς ἀγαθοῦ τῶν ἐπιγείων φθαρτῶν καὶ νῦν, Κύριε, τί ποιήσω; πῶς διαλάθωμαι τῷ καθημένῳ ἐν μιᾷ τραπέζῃ; Ὁ δὲ Κύριος εἶπεν· κάτελθε πρὸς αὐτὸν καὶ καθεζομένου γὰρ μετά σου ἐξαποστελῶ πνεῦμα πάμφαγον καὶ ἀναλίσκει ἐκ τῆς χειρός σου καὶ διὰ τοῦ στόματός σου πάντα τὰ ἐν τῆς

---

[1]) Cod. ἐσθίει. [2]) Cod. ῥῖψον. [3]) cod. ἀναγγελίοι.

τραπέζης, καὶ εὐφράνθητι μετ' αὐτοῦ ἐν πᾶσιν, μόνον τὰ τοῦ ὁράματος διακρίνῃς ὅπως ἂν γνῶται ὁ 'Αβραὰμ τὴ(ν) τοῦ θανάτου δρεπάνη(ν) καὶ τὸ τοῦ βίου ἄδηλον πέρας, καὶ ἵνα ποιήσῃ διάταξιν περὶ τῶν ὑπαρχόντων αὐτοῦ ὅτι ηὐλόγησα αὐτὸν ὑπὲρ ἄμμον θαλάσσης καὶ ὡς τοὺς ἀστέρας τοῦ οὐρανοῦ. Τότε ὁ ἀρχιστράτηγος Μιχαὴλ κατῆλθεν εἰς τὸν οἶκον 'Αβραὰμ καὶ ἐκάθισεν μετ' αὐτοῦ ἐν τῇ τραπέζῃ, 'Ισαὰκ δὲ ὑπηρέτει αὐτούς. τελεσθέντος δὲ τοῦ δείπνου ἐποίησεν 'Αβραὰμ τὴν κατὰ τοῦ ἔθους εὐχὴν καὶ ὁ ἀρχάγγελος μετ' αὐτοῦ καὶ ἀνέπεσεν ἕκαστος ἐπὶ τὴν ἰδίαν κλίνην. Εἶπε δὲ 'Ισαὰκ πρὸς 'Αβραὰμ τὸν πατέρα αὐτοῦ· πάτερ, ἤθελα κἀγὼ ἀναπαύειν ἐν τῷ τρικλίνῳ τούτῳ ἔγγιστα ὑμῶν ἵνα ἀκῶ (=ἀκούω) καὶ ἐγὼ τὰ διαλεγόμενα ὑμῖν, ἀγαπῶ γὰρ ἀκούειν ἡδέως τὴν διαφορὰν τοῦ παναρέτου ἀνδρὸς τούτου. Εἶπε δὲ 'Αβραάμ· οὐχί, τέκνον, ἀλλὰ ἄπελθε εἰς τῷ σῷ τρικλίνῳ καὶ ἀναπαύου εἰς τὴν κλίνην σου ἐκεῖ καὶ μὴ γενώμεθα ὑπόβαρες τοῦ ἀνθρώπου τούτου. τότε 'Ισαὰκ λαβὼν τὴν εὐχὴν αὐτῶν ἀπῆλθεν ἐν τῷ ἰδίῳ τρικλίνῳ καὶ ἀνέπεσεν ἐπὶ τῆς κλίνης αὐτοῦ. Ἔρριψεν δὲ ὁ θεὸς τὴν μνήμην τοῦ θανάτου ἐν τῇ καρδίᾳ τοῦ 'Ισαὰκ ἐν ὀνείροις· καὶ περὶ ὥραν τρίτην τῆς νυκτὸς διυπνισθεὶς ὁ 'Ισαὰκ ἀνέστη ἀπὸ τῆς κλίνης αὐτοῦ καὶ ἦλθε δρομαῖος ἕως τοῦ τρικλίνου ἔνθα ὁ πατὴρ αὐτοῦ ἦν κοιμώμενος μετὰ τοῦ ἀρχαγγέλου Μιχαήλ. φθάσας οὖν 'Ισαὰκ τὰ πρὸς τὴν θύραν ἔκραξε λέγων· πάτερ 'Αβραάμ, ἀναστὰς ἄνοιξόν μοι ταχέως ὅπως εἰσελθὼ(ν) κρεμασθῶ ἐν τῷ τραχήλῳ σου καὶ ἀσπάσωμαί σε πρίν σε ἄρουσιν ἀπ' ἐμοῦ. 'Αναστὰς οὖν 'Αβραὰμ ἤνοιξεν αὐτόν. ἐλθὼν δὲ 'Ισαὰκ ἐκρεμάσθη ἐπὶ τὸν τράχηλον τοῦ πατρὸς αὐτοῦ καὶ ἤρξατο κλαίειν φωνῇ μεγάλῃ καὶ ἔκλαυσεν καὶ ὁ 'Αβραάμ· ἰδὼν δὲ ὁ ἀρχιστράτηγος κλαίοντας ἔκλαυσεν καὶ αὐτὸς μετ' αὐτούς. Καταλιπὼν δὲ 'Αβραὰμ λέγει πρὸς τὸν 'Ισαάκ· δεῦρο, υἱέ μου ἀγαπητέ, ἀνάγγειλόν μοι τὴν ἀλήθειαν, τί τὰ ὁραθέντα σοι καὶ τί πέπονθας ὅτι οὕτως ἦλθες δρομαῖος πρὸς ἡμᾶς; 'Υπολαβὼν δὲ 'Ισαὰκ ἤρξατο λέγων· εἶδον ἐγώ, κύριε, τὸν ἥλιον καὶ τὴν σελήνην ὑπεράνω τῆς κεφαλῆς μου καὶ τὰς ἀκτῖνας αὐτῶν κλητὰς καὶ φωταγωγοῦντάς με. καὶ ταῦτα οὖν οὕτως ἐμοῦ θεωροῦντος καὶ ἀγαλλιαμένου εἶδον τὸν οὐρανὸν ἀνεῳγότα, καὶ ἰδοὺ

ἄνδρας (=ἀνὴρ). φωτοφόρος ἐκ τοῦ οὐρανοῦ κατελθὼν [1]) ὑπὲρ ἑπτὰ ἡλίους ἀστράπτοντας (=πτων). καὶ ἐλθὼν ὁ ἀνὴρ ὁ ἡλιόμορφος ἐκεῖνος καὶ ἔλαβεν τὸν ἥλιον ἀπὸ τῆς κεφαλῆς μου καὶ ἀνῆλθεν εἰς τοὺς οὐρανοὺς ἐκ τῆς κεφαλῆς μου ὅθεν ἐξῆλθεν, ἐγὼ δὲ ἐλυπήθη(ν) μεγάλως ὅτι ἔλαβεν τὸν ἥλιον ἀπ' ἐμοῦ, καὶ μετ' ὀλίγον ὡς ὅτι ἐμοῦ λυπουμένου καὶ αἰδημονοῦντος εἶδον τὸν ἄνδρα ἐκεῖνον τὸν φωτοφόρον ἐκ δευτέρου κατελθόντα καὶ ἔλαβεν ἀπ' ἐμοῦ καὶ τὴν σελήνην ἐκ τῆς κεφαλῆς μου. ἔκλαψα δὲ ἐγὼ μεγάλως καὶ ἐπαρεκάλεσα τὸν ἄνδρα ἐκεῖνον τὸν φωτοφόρον καὶ εἶπον· μή, κύριε, μὴ ἐπάρῃς τὴν δόξαν μου ἀπ' ἐμοῦ, ἐλέησόν με καὶ εἰσάκουσόν μου καὶ καλῶς τὸν ἥλιον ἄρας κἂν τὴν σελήνην ἔασον ἐπ' ἐμέ. αὐτὸς δὲ εἶπέ μοι· ἄφες ἀναληφθῆναι αὐτοὺς πρὸς τὸν ἄνω βασιλέα ὅτι θέλει αὐτοὺς ἐκεῖ. καὶ ἦρεν αὐτοὺς ἀπ' ἐμοῦ, τὰς δὲ ἀκτῖνας αὐτῶν ἔασεν ἐπ' ἐμέ. Εἶπε δὲ ὁ ἀρχιστράτηγος· ἄκουσον, δίκαιε Ἀβραάμ. ὁ μὲν ἥλιος ὃν ἑώρακεν ὁ παῖς σου σὺ εἶ, ὁ πατὴρ αὐτοῦ, καὶ ἡ σελήνη ὁμοίως ἡ μήτηρ αὐτοῦ ἡ Σάῤῥα ὑπῆρχεν, ὁ δὲ ἀνὴρ ὁ φωτοφόρος ὁ καταβὰς ἐκ τοῦ οὐρανοῦ ἀρχάγγελός ἐστιν ὁ μέλλων λαβεῖν τὴν δικαίαν σου ψυχὴν ἀπό σου. καὶ γίνωσκε, δικαιότατε Ἀβραάμ, ὅτι μέλλεις εἰς τὸν καιρὸν τοῦτον καταλείπειν τὸν κόσμον καὶ πρὸς τὸν θεὸν ἐκδημεῖν. Εἶπε δὲ (Ἀβραὰμ) πρὸς τὸν ἀρχιστράτηγον· ὢ θαῦμα θαυμάτων καινότερον καὶ τὸ λοιπόν, σὺ εἶ ὁ μέλλων λαβεῖν τὴν ψυχήν μου; Λέγει οὖν ὁ ἀρχιστράτηγος· ἐγώ εἰμι Μιχαὴλ ὁ ἀρχιστράτηγος Κυρίου καὶ ἀπεστάλη(ν) πρός σε ὅπως ἀναγγείλω σοι τὴν τοῦ θανάτου μνήμην καὶ εἶθ' οὕτως ἀπελευσόμεθα πρὸς τὸν πάντων βασιλέα καθὼς ἐκελεύσθημεν. Καὶ εἶπεν ὁ Ἀβραάμ· νῦν ἔγνω κἀγὼ ὅτι σὺ εἶ ὁ ἄγγελος Κυρίου καὶ ἀπεστάλης λαβεῖν τὴν ψυχήν μου, ἀλλ' οὐ μή σε ἀκολουθήσω. Ὁ δὲ ἀρχιστράτηγος ἀκούσας τὸ ῥῆμα τοῦτο εὐθέως ἀφανὴς ἐγένετο καὶ ἀνελθὼν ἐν τοῖς οὐρανοῖς ἔστη ἐνώπιον τοῦ θεοῦ καὶ ἀνήγγειλεν πάντα ἅπερ εἶδεν ἐν τῷ οἴκῳ Ἀβραάμ, εἶπε δὲ καὶ τοῦτο ὁ ἀρχιστράτηγος πρὸς τὸν Δεσπότην· ὅτι οὐ μή σε ἀκολουθήσω. Εἶπε δὲ ὁ Κύριος πρὸς τὸν ἀρχιστράτηγον· ἄπελθε εἰς τὸν φίλον μου Ἀβραὰμ ἔτι ἅπαξ καὶ εἰπὲ αὐτῷ οὕτως· ἐγώ εἰμι ὁ θεός σου ὁ εἰσαγαγών σε εἰς τὴν γῆν τῆς ἐπαγγελίας καὶ ηὐλόγησά σε ὑπὲρ τὴν ἄμμον τῆς θαλάσσης καὶ ὑπὲρ τοὺς

[1]) Cod. κατελθόντα.

ἀστέρας τοῦ οὐρανοῦ, καὶ ἵνα τί ἀνθέστηκας τὸν ἀρχάγγελόν μου Μιχαήλ; ἢ οὐκ οἶδας ὅτι ἀπὸ Ἀδὰμ καὶ Εὔας πάντες ἀπέθανον καὶ οὐδεὶς τῶν βασιλέων ὑπάρχει ἀθάνατος, οὐδεὶς ἐκ τῶν πατέρων ἐξέφυγεν τὸ τοῦ θανάτου κειμήλιον; πάντες ἀπέθανον, πάντες ἐν ᾅδη κατηλλάξαντο. ἐπὶ δέ σου οὐκ ἀπέσταλα θάνατον, οὐκ ἔασα νόσο(ν) θανατηφόρον, οὐκ ἐσυνεχώρησα τῇ τοῦ θανάτου δρεπάνῃ συναντῆσαί σοι, ἀλλὰ παράκλησιν ἀγαθὴν τὸν ἐμὸν ἀρχιστράτηγον Μιχαὴλ ἀπέστειλα πρός σε ἵνα γινώσκῃς τὴν ἐκ τοῦ κόσμου μετάστασιν καὶ ποιήσῃς διάταξιν περὶ τοῦ οἴκου σου καὶ περὶ πάντων τῶν ὑπαρχόντων σου, ὅτι ἀνθέστηκας τὸν ἀρχάγγελόν μου Μιχαὴλ καὶ εἶπας· οὐ μή σε ἀκολουθήσω. ἢ οὐκ οἶδας ὅτι ἐὰν ἐάσω θάνατον καὶ ἀπέλθῃ, τότε ἰδεῖν ἔχεις κἂν ἔρχῃ κἂν οὐκ ἔρχῃ; Λαβὼν δὲ ὁ ἀρχιστράτηγος τὰς παραινέσεις τοῦ ὑψίστου κατῆλθεν πρὸς τὸν Ἀβραάμ· ἔπεσεν δὲ Ἀβραὰμ εἰς τοὺς πόδας τοῦ ἀρχιστρατήγου Μιχαήλ, ὁ δὲ ἀρχιστράτηγος εἶπεν αὐτῷ πάντα ὅσα ἤκουσεν παρὰ τοῦ ὑψίστου. Τότε οὖν ὁ ὅσιος καὶ δίκαιος Ἀβραὰμ ἀναστὰς μετὰ πολλῶν δακρύων ἱκέτευεν αὐτὸν λέγων· δέομαί σου, ἀρχιστράτηγε τῶν ἄνω δυνάμεων, ἐπεὶ δὲ κατηξίωσας ὅλως αὐτὸς πρός με τὸν ἁμαρτωλὸν καὶ ἀνάξιον οἰκέτην σου καθ' ἑκάστην ἔρχεσθαι, παρακαλῶ σε τοῦ διακονῖσαι μοι λόγον ἔτι ἅπαξ ἐπὶ τὸν ὕψιστον εἰ καὶ ἔρεις αὐτόν· τάδε λέγει Ἀβραὰμ ὁ οἰκέτης σου· ὅτι Κύριε, Κύριε, ἐν παντὶ ἔργῳ καλῷ καὶ λόγῳ οὗ ᾐτησάμην σοι εἰσήκουσές μου καὶ πᾶσαν τὴν βουλήν μου ἐπλήρωσας. ὅτι κἀγὼ γινώσκω ὅτι οὐκ ἔσομαι ἀθάνατος, ἀλλὰ θνητός. ἐπειδὴ οὖν τῇ σῇ προστάξει τὰ πάντα ἐπείκει καὶ φρίττει καὶ τρέμει ἀπὸ προσώπου δυνάμεώς σου κἀγὼ δέδοικα, ἀλλὰ μίαν αἴτησιν αἰτοῦμαι παρά σου· καὶ νῦν, Κύριε, εἰσάκουσόν μου τῆς δεήσεως ὅτι ἐν τούτῳ τῷ σώματι ἰδεῖν πᾶσαν τὴν οἰκουμένην καὶ ἤτοι (=ἔτι?) αἰτοῦμαι μετὰ πάντα καὶ νῦν ἐὰν μεταστῶ τοῦ βίου ἄληπτος ἔσομαι. Ἀνῆλθεν οὖν πάλιν ὁ ἀρχιστράτηγος καὶ ἔστη ἐνώπιον τοῦ θεοῦ καὶ ἀνήγγειλεν τὸν Δεσπότην πάντα. Ἀκούσας δὲ ταῦτα ὁ ὕψιστος κελεύει τὸν ἀρχιστράτηγον· λάβε νεφέλην φωτὸς καὶ ἀγγέλους τοὺς [1]) ἐπὶ τῶν ἁρμάτων ἔχοντα(ς) τὴν ἐξουσίαν καὶ κατελθὼν λάβε τὸν δίκαιον ἐπὶ ἅρματος χερουβικοῦ καὶ ὕψωσον αὐτὸν ἐν αἰθέρα τοῦ οὐρανοῦ

[1]) Cod. τῶν.

ὅπως ἴδῃ πᾶσαν τὴν οἰκουμένην. Καὶ κατῆλθε παρ' αὐτὸν ὁ ἀρχιστράτηγος Μιχαὴλ καὶ ἔλαβεν τὸν Ἀβραὰμ ἐπὶ ἅρματος καὶ ὕψωσεν αὐτὸν ἐν αἰθέρα τοῦ οὐρανοῦ καὶ ἦγεν αὐτὸν ὑπὸ τῆς νεφέλης καὶ ἑξήκοντα ἀγγέλους. καὶ διήρχετο ὁ Ἀβραὰμ ἐπ' ὀχήματος ἐφ' ὅλην τὴν οἰκουμένην καθὼς εἶχεν ἡ ἡμέρα ἐκείνη, καὶ βλέπων ἁμάξας ἡγοῦντας ἀλλαχοῦ ἀγραυλοῦντας καὶ ὀρχουμένους καὶ παίζοντας, ἐν ἄλλῳ δὲ τόπῳ παλαίοντας καὶ δικαζομένους, ἀλλαχοῦ κλαίοντας καὶ τεθνηκότας καὶ ἐν μνήματι ἀγομένους, εἶδεν δὲ καὶ νεονύ(μ)φους ὀψικεύοντας καὶ ἁπλῶς εἶδεν πάντα τὰ ἐν κόσμῳ γενόμενα ἀγαθά τε καὶ πονηρά. Διερχόμενος οὖν ὁ Ἀβραὰμ εἶδεν ἄνδρας ξιφηφόρους ἐν ταῖς χερσὶν αὐτῶν κρατοῦντες ξίφη εἰκονημένα καὶ ἠρώτησεν Ἀβραὰμ τὸν ἄγγελον· τίνες εἰσὶν οὗτοι, ἀσώματε; καὶ εἶπεν ὁ ἀρχιστράτηγος· οὗτοί εἰσιν κλέπται οἱ βουλόμενοι φόνον ἐργάσασθαι καὶ κλέψαι καὶ θῦσαι καὶ ἀπολέσαι. Εἶπεν δὲ Ἀβραάμ· Κύριε, Κύριε, εἰσάκουσον τῆς φωνῆς μου· κέλευσον ἵνα ἐξέλθωσιν θηρία ἐκ τοῦ δρομοῦ καὶ καταφάγωσιν αὐτούς· Εἶδεν δὲ καὶ ἐν ἕτερον τόπον ἄνδρα μετὰ γυναικὸς πορνεύοντα καὶ εἶπεν· Κύριε, κέλευσον ὅπως χάνῃ ἡ γῆ καὶ καταπίῃ αὐτούς· καὶ εὐθὺς ἐδιχάσθη ἡ γῆ καὶ κατέπιεν αὐτούς· Καὶ εἶδεν εἰς ἕτερον τόπον ἀνθρώπους διορύγοντας οἶκον, ἁρπάζοντας ἀλλότρια πράγματα, καὶ εἶπεν· Κύριε, Κύριε, κέλευσον ἵνα κατέλθῃ πῦρ ἐξ οὐρανοῦ καὶ καταφάγῃ αὐτούς. καὶ εὐθὺς ἦλθεν φωνὴ ἐκ τοῦ οὐρανοῦ πρὸς τὸν ἀρχιστράτηγον λέγων οὕτως· κέλευσον, Μιχαὴλ ἀρχιστράτηγε, τὸ τάγμα τῶν ἁρμάτων καὶ ἀπόστρεψον τὸν Ἀβραὰμ ἵνα μὴ ἴδῃ πᾶσαν τὴν οἰκουμένην· εἰ γὰρ ἴδῃ πάντας τοὺς ἐν ἁμαρτίαις διάγοντας ἀπολέσει αὐτούς, ἰδοὺ γὰρ ὁ Ἀβραὰμ οὐχ ἥμαρτεν καὶ τοὺς ἁμαρτωλοὺς οὐκ ἐλεᾷ, ἐγὼ δὲ ἐποίησα τὸν κόσμον καὶ οὐ θέλω ἐξ αὐτῶν ἀπολέσαι οὐδένα· ἀναμένω γὰρ θάνατον τοῦ ἁμαρτωλοῦ ἕως τοῦ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. καὶ ἀνάγαγε τὸν Ἀβραὰμ ἐν τῇ πύλῃ πρώτῃ τοῦ οὐρανοῦ ὅπως ἴδῃ ἐκεῖ τὴν κρίσιν καὶ τὴν ἀνταπόδοσιν, ὅπως ἂν μετανοήσῃ ὑπὲρ τῶν ψυχῶν τῶν ἁμαρτωλῶν ὧν ἀπώλεσεν. Εστρεψε δὲ ὁ ἀρχιστράτηγος τὸ ἅρμα τῶν ἀγγέλων καὶ ἤνεγκε τὸν Ἀβραὰμ ἐπὶ τὴν ἀνατολὴν ἐν τῇ πύλῃ πρώτῃ τοῦ οὐρανοῦ. καὶ εἶδεν Ἀβραὰμ δύο ὁδούς· ἡ μία ὁδὸς στενὴ καὶ τεθλιμμένη καὶ ἡ ἑτέρη πλατέα καὶ εὐρύχωρος. ἔξωθεν τῶν δύο πυλῶν εἶ-

δεν ἄνδραν καθήμενον ἐπὶ τοῦ θρόνου κεχρυσωμένου καὶ ἡ ἰδέα τοῦ ἀνδρὸς ἐκείνου φοβερὰ ὁμοία τοῦ Δεσπότου ἡμῶν Ἰησοῦ Χριστοῦ. Καὶ εἶδεν πολλὰς ψυχὰς ἐλαυνομένας ὑπὸ ἀγγέλων διὰ τῆς πλατείας ὁδοῦ καὶ εἶδεν ἄλλας ψυχὰς ὀλίγας ἐφέροντο ὑπὸ τῶν ἀγγέλων διὰ τῆς στενῆς πύλης. καὶ ὅτε ἐθεώρει ὁ ἀνὴρ [1]) ὁ θαυμάσιος ὁ ἐπὶ τοῦ χρυσέου θρόνου καθήμενος διὰ τῆς στενῆς πύλης ὀλίγας ψυχὰς εἰσερχομένας καὶ διὰ τῆς πλατέας πολλὰς ἐπαγομένας, εὐθὺς ὁ ἀνὴρ ἐκεῖνος ὁ θαυμάσιος ἥρπασεν τὰς τρίχας τῆς κεφαλῆς αὐτοῦ καὶ τὰς παρειὰς τοῦ πώγωνος αὐτοῦ, καὶ ἔῤῥιπτεν ἑαυτὸν χαμαὶ ἀπὸ τοῦ θρόνου κλαίων καὶ ὀδυρόμενος. καὶ ὅταν ἐθεώρει πολλὰς ψυχὰς εἰσερχομένας διὰ τῆς στενῆς πύλης, τότε ἀνίστατο καὶ ἐκαθέζετο ἐπὶ τοῦ θρόνου αὐτοῦ ἐν εὐφροσύνῃ πολλῇ χαίρων καὶ ἀγαλλιώμενος. Ἠρώτησεν δὲ ὁ Ἀβραὰμ τὸν ἀρχιστράτηγον· κύριέ μου ἀρχιστράτηγε, τίς ἐστιν οὗτος ὁ ἀνὴρ ὁ πανθαύμαστος ἐν τῇ αὐτῃ δόξῃ κοσμούμενος καί ποτε μὲν κλαίει [2]), ποτὲ δὲ χαίρεται; Λέγει ὁ ἀσώματος· οὗτός ἐστιν ὁ πρωτόπλαστος Ἀδὰμ ἐν τῇ αὐτῃ δόξῃ· βλέπει τὸν κόσμον ὅτι πάντα ἐξ αὐτοῦ ἐγένοντο, καὶ ὅτε ἴδῃ πολλὰς ψυχὰς εἰσερχομένας διὰ τῆς στενῆς πύλης, τότε ἐπὶ τοῦ θρόνου αὐτοῦ χαίρων καὶ ἀγαλλιώμενος ἐν εὐφροσύνῃ ὅτι αὕτη ἡ πύλη ἡ στενὴ τῶν δικαίων ἐστὶν ἡ ἀπάγουσα εἰς ζωὴν αἰώνιον καὶ οἱ εἰσερχόμενοι διὰ τῆς στενῆς πύλης εἰς τὸν παράδεισον ἀνέρχονται· καὶ διὰ τοῦτο χαίρεται Ἀδὰμ ὁ πρωτόπλαστος. ὅτε θεωρεῖ ψυχὰς πολλὰς εἰσερχομένας διὰ τῆς πλατείας πύλης, τότε ἀνασπάζει τὰς τρίχας τῆς κεφαλῆς αὐτοῦ καὶ τὰς παρειὰς τοῦ πώγωνος κλαίων καὶ ὀδυρόμενος διότι αὕτη ἡ πύλη ἡ πλατέα τῶν ἁμαρτωλῶν ἐστιν ἡ ἀπώλεια· εἰς γὰρ τὰς ζ´ χιλιάδας μία σώζεται ψυχή. Ἔτι δὲ ἐμαυτοῦ λαλοῦντος ἰδοὺ δύο ἄγγελοι μυριάδαν ψυχὰς ἀνιλεῶς τύπτοντες ἐν πυρίνοις χαρζάναις καὶ μίαν ψυχὴν ἐκράτει ἀνιλεῶς ἐν τῇ χειρὶ αὐτοῦ καὶ διήγαγεν πάσας τὰς ψυχὰς εἰς τὴν πλατεῖαν πύλην πρὸς τὴν ἀπώλειαν. ἠκολουθήσαμεν οὖν καὶ ἡμεῖς τοῖς ἀγγέλοις καὶ ἤλθομεν ἔσωθεν τῆς πύλης ἐκείνης τῆς πλατέας καὶ ἐν μέσῳ δύο πυλῶν ἵστατο θρόνος φοβερὸς ἐξαστράπτων ὡς πῦρ καὶ ἐπ' αὐτῷ ἐκάθητο ἀνὴρ θαυμα-

---

[1]) Cod. Ἀβραάμ. [2]) Cod. κλαίειν.

στὸς ἡλιόρατος, ἡλιόμορφος ὅμοιος υἱῷ [1]) θεοῦ. ἔμπροσθεν δὲ αὐτοῦ ἵστατο τράπεζα ὅλως διὰ χρυσοῦ καὶ βύσσου, ἐπάνω δὲ τῆς τραπέζης ἦν βιβλίον κείμενον· τὸ πάχος αὐτοῦ πηχέων ἕξ, τὸ δὲ πλάτος αὐτοῦ πηχέων δέκα. ἵσταντο δὲ δύο ἄγγελοι κρατῶντες χάρτον καὶ μέλαν καὶ κάλαμον. πρὸ προσώπου δὲ τῆς τραπέζης ἐκάθητο ἄγγελος φωτοφόρος κρατῶν ἐν τῇ χειρὶ αὐτοῦ ζυγόν, (ἐξ) ἀριστερῶν δὲ ἐκάθητο ἄγγελος πύρινος ὅλως ἀνίλεως καὶ ἄτομος ἐν τῇ χειρὶ αὐτοῦ κρατῶν σάλπιγγα, ἔνδον αὐτῆς κατεῖχεν δοκιμαστήρια [2]) τῶν ἁμαρτιῶν. Καὶ ὁ μὲν ἀνὴρ ὁ καθήμενος ἐπὶ τοῦ θρόνου αὐτὸς ἔκρινε καὶ ἐπεφύνατο, οἱ δὲ δύο ἄγγελοι ὁ ἐκ δεξιῶν καὶ (ὁ ἐξ) ἀριστερῶν ἀπεγράφοντο· ὁ μὲν δεξιὸς ἀπέγραφεν τὰς δικαιοσύνας, ὁ δὲ ἀριστερὸς ἀπέγραφε τὰς ἁμαρτίας καὶ ὁ μὲν (πρὸ) προσώπου τῆς τραπέζης ὁ τὸν ζυγὸν κατέχων ἐζυγίαζεν τὰς ψυχὰς καὶ ὁ μὲν πύρινος ὁ τὸπος (sic) κατέχων ἐδοκίμαζεν τὰς ψυχάς. Καὶ ἠρώτησεν Ἀβραὰμ τὸν ἀρχάγγελον αὐτοῦ Μιχαήλ· τί ἐστιν [3]) τὰ τοιαῦτα (ἃ) θεωρῶμεν; καὶ εἶπεν ὁ ἀρχιστράτηγος· ταῦτα ἅπερ βλέπεις, ὅσιε Ἀβραάμ, τοῦτό ἐστιν κρίσις καὶ ἀνταπόδοσις. Καὶ ἰδοὺ ὁ ἄγγελος ὁ κρατῶν τὴν ψυχὴν ἐν τῇ χειρὶ αὐτοῦ καὶ ἤνεγκεν αὐτὴν ἔμπροσθεν τοῦ κριτοῦ. καὶ εἶπεν ὁ κριτὴς ἕνα τῶν ἀγγέλων τῶν καθυπουργούντων αὐτόν· ἄνοιξόν μοι τὴν βίβλον ταύτην καὶ εὑρέ μοι τὰς ἁμαρτίας τῆς ψυχῆς ταύτης. καὶ ἀνοίξας τὴν βίβλον εὗρεν ζυγὰς τὰς ἁμαρτίας τῆς ψυχῆς ταύτης καὶ τὰς δικαιοσύνας ἐξ ἴσου καὶ οὔτε τοῖς βασανισταῖς ἐξέδοτο αὐτὴν οὔτε τοῖς σωζομένοις, ἀλλ' ἵστησιν αὐτὴν εἰς τὸ μέσον. Καὶ εἶπεν Ἀβραάμ· κύριέ μου ἀρχιστράτηγε, τίς ἐστιν ὁ κριτὴς οὗτος ὁ πανθαύμαστος καὶ τίνες οἱ ἄγγελοι οἱ ἀπογραφόμενοι καὶ τίς ὁ ἄγγελος ὁ ἡλιόμορφος ὁ τὸν ζυγὸν κατέχων; Θεωρεῖς, πανόσιε καὶ δίκαιε Ἀβραάμ, τὸν ἐπὶ τοῦ θρόνου καθήμενον; οὗτός ἐστιν ὁ υἱὸς τοῦ Ἀδὰμ τοῦ πρωτοπλάστου, ὁ ἐπιλεγόμενος Ἄβελ, ὃν ἀπέκτεινεν ὁ Κάϊν ὁ πονηρότατος ὁ βροτοκτόνος, καὶ κάθηται ὧδε κρῖναι πᾶσαν τὴν κτίσιν καὶ ἐλέγχων δικαίους καὶ ἁμαρτωλούς, διότι εἶπεν ὁ θεός· ἐγὼ οὐ κρινῶ ὑμᾶς, ἀλλὰ πᾶς ἄνθρωπος ἐξ ἀνθρώπου κριθήσεται· τούτου χάριν αὐτῷ δέδωκεν κρῖναι τὸν κόσμον μέχρι τῆς μεγάλης καὶ ἐνδό-

---

[1]) Cod. υἱός. [2]) Cod. δοκιμασθήρια [3]) Cod. add. ἡ quod omisi.

ξου αὐτοῦ παρουσίας καὶ τότε, δίκαιε Ἀβραάμ, γένηται τελεία κρίσις καὶ ἀνταπόδοσις αἰώνιος καὶ ἀμετάθετος ἣν οὐδεὶς δύναται ἀντακρῖναι. πᾶς ἄνθρωπος ἐκ τοῦ πρωτοπλάστου γεγέν(ν)ηται καὶ διὰ τοῦτο πρῶτον ἐκ τοῦ υἱοῦ τοῦ Ἀδὰμ κρίνονται, καὶ ἐν τῇ δευτέρᾳ παρουσίᾳ ὑπὸ τῶν δώδεκα ἀποστόλων κριθήσονται ἡ (=αἱ) δώδεκα φυλαὶ τοῦ Ἰσραὴλ καὶ πᾶσα πνοὴ καὶ πᾶς ἄνθρωπος, τὸ δὲ τρίτον ὑπὸ τοῦ Δεσπότου καὶ θεοῦ τῶν ἁπάντων κριθήσονται. καὶ τότε λοιπὸν τῆς κρίσεως ἐκείνης ὀργὴ [1]) καὶ φοβερὰ ἡ ἀπόφασις καὶ ὁ λύων οὐδείς, καὶ λοιπὸν διὰ τριῶν [2]) βημάτων γίνεται ἡ κρίσις καὶ διὰ τοῦτο τὸ ἐπὶ ἑνὸς ἢ δύο μαρτύρων οὐκ ἀσφαλίζεται πᾶν ῥῆμα. Οἱ δὲ δύο ἄγγελοι, ὁ ἐκ δεξιῶν καὶ ἀριστερῶν, οὗτοί εἰσιν οἱ ἀπογραφόμενοι πᾶσαν ἁμαρτίαν· ὁ μὲν ἐκ δεξιῶν ἀπογράφεται τὰς δικαιοσύνας καὶ ὁ (ἐξ) ἀριστερῶν τὰς ἁμαρτίας. ὁ δὲ ἡλιόμορφος ἄγγελος ὁ τὸν ζυγὸν κατέχων ἐν τῇ χειρὶ αὐτοῦ αὐτός ἐστιν δίκαιος ἄγγελος, δίκαιος ζυγοστάτης καὶ ζυγεῖ τὰς ἁμαρτίας καὶ τὰς δικαιοσύνας. Εἶπεν δὲ Ἀβραὰμ πρὸς τὸν ἀρχιστράτηγον· κύριέ μου, τὴν ψυχὴν ἣν κατεῖχεν ὁ ἄγγελος ἐν τῇ χειρὶ αὐτοῦ, πῶς κατεδικάσθη [3]) εἰς τὸ μέσον; Εἶπεν δὲ ὁ ἀρχιστράτηγος· ἄκουσον, δίκαιε Ἀβραάμ, δι' ὧν εὗρεν ὁ κριτὴς τὰς ἁμαρτίας αὐτῆς καὶ τὰς δικαιοσύνας ζυγὰς ἐπίσης καὶ οὔτε ἐν τῇ κρίσει ἐξέδοτο αὐτὴν οὔτε εἰς τὸ σώζεσθαι ἕως ἂν ἔλθῃ ὁ κριτὴς καὶ θεὸς τῶν ἁπάντων. Εἶπεν δὲ Ἀβραὰμ τὸν ἀρχιστράτηγον· καὶ τί ἔτι λείψεται τῇ ψυχῇ αὐτοῦ εἰς τὸ σώζεσθαι; εἶπεν δὲ ὁ ἀρχιστράτηγος· ἐάν ἐστιν ἡ δικαιοσύνη ὑπεράνω τῶν ἁμαρτιῶν αὐτοῦ ἔρχεται εἰς τὸ σώζεσθαι. Εἶπεν δὲ ὁ Ἀβραὰμ τὸν ἀρχιστράτηγον· ποιήσωμεν εὐχὴν ὑπὲρ τῆς ψυχῆς ὅπως ἴδωμεν (εἰ) σώσει αὐτὴν ὁ θεός. καὶ εἶπεν ὁ ἀρχιστράτηγος· ἀμήν, γένοιτο. καὶ ἐποίησαν εὐχὴν ὑπὲρ τῆς ψυχῆς καὶ εἰσήκουσεν αὐτοὺς ὁ θεός· καὶ ἀναστάντες ἐκ τῆς προσευχῆς οὐκ εἶδον ψυχὴν ἱσταμένην ἐκεῖσε. Καὶ εἶπεν Ἀβραὰμ πρὸς τὸν ἄγγελον· ποῦ ἐστιν ἡ ψυχὴ ἣν ἐκράτεις εἰς τὸ μέσον; εἶπεν δὲ ὁ ἄγγελος· σέσωσται διὰ τῆς εὐχῆς σου τῆς δικαίας. Εἶπεν δὲ ὁ Ἀβραὰμ τὸν ἀρχιστράτηγον· δέομαί σου, ἀρχιστράτηγε Μιχαήλ, εἰσάκουσόν μου τῆς δεήσεως καὶ παρακαλέσωμεν ἐπὶ τὸν Κύριον καὶ προσπέσωμεν τοῖς οἰκτιρμοῖς αὐτοῦ

---

[1]) Cod. ὀργῆς [2]) Cod. τρίων. [3]) Cod. κατεδικάστη.

καὶ δεηθῶμεν αὐτοῦ τοῦ ἐλέους ὑπὲρ τῶν ψυχῶν τῶν ἁμαρτωλῶν ὧνπερ ἐγὼ κακοφρονήσας ἐκατηρασάμην καὶ ἀπώλεσα. δεῦρο παρακαλέσωμεν τὸν θεὸν μετὰ δακρύων καὶ ἀφήσει ἡμῖν τὰ ἁμαρτήματα αὐτῶν. καὶ εἰσήκουσεν αὐτὸν ὁ ἀρχιστράτηγος καὶ ἐποίησαν δέησιν ἐνώπιον Κυρίου. Ἐπὶ πολλῇ δὲ ὥρᾳ παρακαλούντων αὐτῶν ἦλθεν φωνὴ ἐκ τῶν οὐρανῶν λέγουσα· Ἀβραάμ, εἰσήκουσα τῆς φωνῆς σου καὶ τῆς δεήσεώς σου καὶ οὕσπερ ἐκατηράσω σὺ καὶ ἀπώλεσα(ς) αὐτοὺς δὲ πάλιν διὰ δεήσεώς σου ἐγὼ ἀνεκαλεσάμην [1]) καὶ εἰς ζωὴν αὐτοὺς ἤγαγον διότι πρόσκαιρον εἰς κρίσιν αὐτοὺς ἀνταπέδωκας, ἐγὼ οὕσπερ ἀπωλέσω ἐπὶ τῆς γῆς ζῶντα(ς) ἐν τῷ θανάτῳ οὐκ ἀποδώσω. Εἶπεν δὲ καὶ τὸν ἀρχιστράτηγον ἡ φωνὴ τοῦ Κυρίου· ὁ ἐμὸς λειτουργός, ἀπόστρεψον τὸν Ἀβραὰμ εἰς τὸν οἶκον αὐτοῦ, ὅτι ἰδοὺ ἤγγικεν τὸ τέλος τῆς ζωῆς αὐτοῦ καὶ ποιήσῃ διάταξιν περὶ πάντων καὶ εἶθ' οὕτως παράλαβε αὐτὸν καὶ ἀνάγαγε πρός με. Καὶ διαστρέψας ὁ ἀρχάγγελος τὸ ἅρμαν καὶ τὴν νεφέλην καὶ εἰσήγαγεν τὸν Ἀβραὰμ εἰς τὸν οἶκον αὐτοῦ καὶ ἀνῆλθεν ἐν τῷ τρικλίνῳ καὶ ἐκάθισεν ἐπὶ τῆς κλίνης αὐτοῦ. ἦλθεν Σάῤῥα ἡ γυνὴ αὐτοῦ καὶ περιεπλάκην τοῖς ποσὶν τοῦ ἀρχιστρατήγου ἱκετεύουσα ἔλεγεν· εὐχαριστῶ σε, κύριέ μου, ὅτι ἤνεγκας κύριόν μου Ἀβραάμ, ἰδοὺ γὰρ ἐνομίζομεν ἀναληφθῆναι ἀφ' ἡμῶν. Ἦλθεν δὲ καὶ Ἰσαὰκ ὁ υἱὸς αὐτοῦ καὶ περιεπλάκη εἰς τὸν τράχηλον αὐτοῦ, ὁμοίως δὲ καὶ οἱ δοῦλοι καὶ αἱ δουλεΐδες κύκλῳ τοῦ Ἀβραὰμ δοξάζοντες τὸν θεόν. Εἶπεν δὲ ὁ ἀσώματος πρὸς αὐτόν· ἄκουσον, δίκαιε Ἀβραάμ, ἰδοὺ ἡ γυνή σου Σάῤῥα καὶ ὁ υἱός σου Ἰσαάκ, ἰδοὺ πάντες καὶ οἱ παῖδές σου· καὶ ποίησον διάταξιν περὶ πάντων ὧν ἔχεις, ὅτι ἤγγικεν ἡμέρα ἐν ᾗ μέλλεις ἐκ τοῦ σώματος ἐκδημεῖν καὶ πρὸς Κύριον ἔρχεσθαι. Εἶπε δὲ ὁ Ἀβραάμ· ὁ Κύριος εἶπεν ἢ ἀφ' ἑαυτοῦ λέγεις; ὁ δὲ ἀρχάγγελος Μιχαὴλ εἶπεν· ἄκουσον, δίκαιε Ἀβραάμ, ὁ Δεσπότης ἐκέλευσεν καὶ ἐγὼ λέγω. Εἶπε δὲ Ἀβραάμ· οὐ μή σε ἀκολουθήσω. ἀκούσας δὲ ὁ ἀρχιστράτηγος τὸν λόγον τοῦτον εὐθέως ἀνῆλθεν εἰς τὸν οὐρανὸν καὶ ἔστη ἐνώπιον τοῦ θεοῦ τοῦ ὑψίστου· Κύριε παντοκράτορ, τὴν αἴτησιν πᾶσαν ἐπλήρωσα τοῦ φίλου σου Ἀβραὰμ καὶ πᾶσαν τὴν ὑπ' οὐρανῶν [2]) γῆν τε καὶ θαλάσσης (sic), κρίσιν καὶ ἀνταπόδοσιν διὰ

[1]) Cod. ἀνεκαλησάμην. [2]) Monstrandi vel docendi verbum praetermissum est (ἔδειξα αὐτῷ vel ἐποίησα αὐτὸν ἰδεῖν?).

νεφέλης καὶ δόξης αὐτῶν, καὶ πάλιν λέγει μοι· ὅτι οὐκ ἀκολουθήσω σοι. Καὶ ὁ ὕψιστος λέγει πρὸς τὸν ἀρχάγγελον· ἢ πάλαι (=πάλιν) οὕτως λέγει ὁ φίλος μου ὅτι οὐ μὴ σε ἀκολουθήσω; ὁ δὲ ἀρχάγγελος εἶπεν· Κύριε παντοκράτορ, οὕτως λέγει καὶ ἐγὼ φείδομαι ἅψασθαι αὐτόν, ἐπεὶ ἀρχιφίλος ἐστὶν καὶ πάντα τὰ ἀρεστὰ πράττων καὶ οὐκ ἔστιν ἄνθρωπος ὅμοιος αὐτοῦ ἐπὶ τῆς γῆς καὶ διὰ τοῦτο φείδομαι ἅψασθαι αὐτόν, καὶ βλέψον, ἀθάνατε βασιλεύς, τί ῥῆμα γενήσεται. Τότε ὁ ὕψιστος λέγει· κάλεσόν μοι ὧδε τὸν θάνατον τὸ ἀναίσχυντο(ν) πρόσωπον καὶ ἀνίλεων βλέμμαν. καὶ ἀπελθὼν Μιχαὴλ ὁ ἀσώματος εἶπεν τὸν θάνατον· δεῦρο, καλεῖ σε ὁ Δεσπότης ὁ ἀθάνατος βασιλεύς. Ἀκούσας δὲ ὁ θάνατος ἔφριξεν καὶ ἐτρόμαξεν δειλίᾳ πολλῇ καὶ ἐλθὼν μετὰ φόβου πολλοῦ ἔστην ἔμπροσθεν τοῦ ἀοράτου πατρὸς φρίττων καὶ τρέμων καὶ στένων ἀπεκδεχόμενος τὴν τοῦ Δεσπότου (ἐντολήν?). Λέγει οὖν ὁ ἀσώματος [1]) πρὸς τὸν θάνατον· δεῦρο, τὸ πικρὸν τοῦ θανάτου καὶ ἄγριον ὄνομα, κρύψον σου τὴν ἀγριότητα καὶ πᾶσάν σου τὴν σαπρίαν καὶ πᾶσάν σου τὴν πικρίαν ἀποβάλου καὶ περιβάλου τὴν ὡραιότητάν σου καὶ ὅλην τὴν δόξαν σου καὶ κάτελθε εἰς τὸν φίλον μου τὸν Ἀβραὰμ καὶ λάβε αὐτὸν καὶ φέρῃς αὐτὸν πρός με. ἀλλὰ καὶ νῦν λέγω σοι· μὴ ἐκφοβήσῃς αὐτόν, ἀλλὰ μετὰ [2]) κολακείας τοῦτον παράλαβε ὅτι φίλος μου γνήσιός ἐστιν. ταῦτα ἀκούσας ὁ θάνατος ἐξῆλθεν ἀπὸ προσώπου τοῦ ὑψίστου καὶ περιεβάλετο στολὴν λαμπροτάτην καὶ ἐποίησεν ὄψιν ἡλιόμορφον καὶ γέγονεν εὐπρεπής, ὡραῖος ὑπὲρ τοὺς υἱοὺς τῶν ἀνθρώπων, ἀρχαγγέλου μορφὴν προκείμενος καὶ ἀπῆλθεν πρὸς τὸν Ἀβραάμ. ὁ δὲ δίκαιος Ἀβραὰμ ἐξῆλθεν ἐκ τοῦ τρικλίνου αὐτοῦ καὶ ἐκάθητο ὑποκάτω τῶν δένδρων τῶν μα(μ)βρίνων τὴν σιαγῶνα αὐτοῦ τῇ χειρὶ κατέχων ἐκδεχόμενος τὴν ἔλευσιν τοῦ ἀρχαγγέλου Μιχαὴλ καὶ ὀσμὴ εὐωδίας ἤρχετο πρὸς αὐτὸν ἐν πολλῇ δόξῃ καὶ ὡραιότητι. Καὶ ἀναστὰς Ἀβραὰμ ὑπήντησεν αὐτὸν νομίζων εἶναι τὸν ἀρχιστράτηγον τοῦ θεοῦ. καὶ ἰδὼν αὐτὸν ὁ θάνατος προσεκύνησεν αὐτὸν λέγων· χαίροις, τίμιε Ἀβραάμ, δικαία ψυχή, φίλε γνήσιε τοῦ ὑψίστου καὶ τῶν ἁγίων ἀγγέλων ὁμόσκηνε. Εἶπεν δὲ Ἀβραὰμ πρὸς τὸν θάνατον· χαίροις, ἡλιό-

---

[1]) Exspectares ὕψιστος. [2]) Cod. μητά.

μορφε, ἡλιόρατε συλλῆπτορ, ἐνδοξότατε φωτοφόρε, ἀνὴρ θαυμάσιε, πόθεν ἥκεν ἡ ἐν σοὶ ἐνδοξοτάτη πρὸς ἡμᾶς [1]) καὶ τίς εἶ σὺ καὶ πόθεν ἐλήλυθας; Λέγει αὐτῷ ὁ θάνατος· Ἀβραὰμ δικαιότατε, ἰδοὺ λέγω σοι τὴν ἀλήθειαν· ἐγώ εἰμι τὸ πικρὸν τοῦ θανάτου ποτήριον. ὁ δὲ Ἀβραὰμ λέγει· σὺ εἶ ἡ εὐπρέπεια τῶν ἀνθρώπων, σὺ εἶ πάσης μορφῆς εὐμορφότατος καὶ λέγεις ὅτι ἐγώ εἰμι τὸ πικρὸν τοῦ θανάτου (ποτήριον) καὶ οὐ λέγεις μᾶλλον ὅτι ἐγώ εἰμι παντὸς ἀγαθοῦ εὐμορφότατος. Εἶπεν δὲ ὁ θάνατος· ἐγὼ γὰρ λέγω σοι τὴν ἀλήθειαν· ὅπερ ὠνόμασέν με ὁ θεὸς ἐκεῖνο καὶ λέγω. Εἶπεν δὲ Ἀβραάμ· εἰς τί ἐλήλυθας ὧδε; εἶπεν ὁ θάνατος· διὰ τὴν σὴν ἁγίαν ψυχὴν παραγέγονα. Λέγει ὁ Ἀβραάμ· οἶδα τί λέγεις, ἀλλ' οὐ μή σε ἀκολουθήσω. ὁ δὲ θάνατος ἐν σιωπῇ γενόμενος οὐκ ἀπεκρίθη αὐτῷ λόγον. Ἀνέστη δὲ Ἀβραὰμ καὶ ἦλθεν πρὸς τὴν κλίνην αὐτοῦ, ἀνέβη δὲ καὶ ὁ θάνατος μετ' αὐτοῦ καὶ ἐκάθητο [2]) παρὰ τοὺς πόδας αὐτοῦ. εἶπεν δὲ Ἀβραάμ· ἄπελθε ἀπ' ἐμοῦ ὅτι θέλω ἀναπαῦναι. καὶ λέγει ὁ θάνατος· οὐκ ἀναχωρῶ ἕως οὗ λάβω τὸ πνεῦμά σου ἀπό σου. Λέγει αὐτῷ Ἀβραάμ· κατὰ τοῦ θεοῦ τοῦ ἀθανάτου σοι λέγω ἵνα μοι εἴπῃς σὺ εἶ ὁ θάνατος; λέγει ὁ θάνατος· ἐγώ εἰμι ὁ τὸν κόσμον λυμαίνων. Εἶπε δὲ Ἀβραάμ· ἐπεὶ σὺ εἶ ὁ θάνατος, ἀνάγγειλον μοι· καὶ πρὸς πάντας οὕτως ἀπέρχῃ ἐν ε(υ)μορφίᾳ καὶ δόξῃ τοιαύτῃ καὶ ὡραιότητι; ὁ θάνατος εἶπεν· οὐχί, κύριέ μου Ἀβραάμ. ἡ γὰρ σαῖς δικαιοσύναις καὶ τὸ μέτρον τῆς φιλοξενίας σου ἐγένετο ἡ μορφή μου, τοῖς δὲ ἁμαρτωλοῖς ἐν ἀγριότητι καὶ πικρίᾳ πολλῇ. Εἶπεν δὲ ὁ Ἀβραάμ· δέομαί σου, ἐπάκουσόν μου καὶ δεῖξόν με τὴν ἀγριότητάν σου καὶ πᾶσάν σου τὴν σαπρίαν καὶ πᾶσάν σου τὴν πικρίαν. εἶπε δὲ ὁ θάνατος· οὐ μὴ δυνηθῇς θεάσασθαι τὴν ἐμὴν ἀγριότητα, δικαιότατε. Εἶπεν δὲ ὁ Ἀβραάμ· ναί, δυνήσομαι θεάσασθαι πᾶσάν σου τὴν ἀγριότηταν ἕνεκεν τοῦ ὀνόματος τοῦ θεοῦ, ὅτι ἡ δύναμις τοῦ θεοῦ μου τοῦ ἐπουρανίου μετ' ἐμοῦ ἐστιν. Τότε ὁ θάνατος ἀπεδύσατο πᾶσαν ὡραιότηταν καὶ τὸ κάλλος καὶ πᾶσαν τὴν δόξαν καὶ τὴν μορφὴν ἣν περ(ι)έκειτο καὶ περιεβάλετο στολὴν τυραννικὴν καὶ ἐποίησεν ὄψιν ζωφερὰν καὶ πάσης ἀκαθαρσίας καὶ παντοίων θηρίων ἀγριώτερος ἐπέδειξεν τὸν

---

[1]) Subst. quoddam nomen excidit. [2]) Cod. ἐκάθετο.

'Αβραὰμ κεφαλὰς δρακόντων ἑπτὰ καὶ πρόσωπα δεκατέσσαρα καὶ πρόσωπον πυρὸς καὶ πολλὴν ἀγριότητα καὶ πρόσωπον κρημνοῦ φρικωδεστάτου καὶ πρόσωπον ζοφῶδες γνοφορέστερον [1] καὶ πρόσωπον ἀσπίδος ἀγριώτερον καὶ πρόσωπον λέοντος φοβεροῦ, ἔδειξεν δὲ καὶ πρόσωπον ῥομφαίας πυρίνης καὶ πρόσωπον ἀστραπῆς ἐξαστράπτον καὶ ἦχος βροντῆς φοβερᾶς. ἔδειξεν δὲ καὶ ἕτερον πρόσωπον θαλάσσης ἀγρίας κυματιζούσης καὶ ποταμὸν ἄγριον κοχλάζοντα καὶ δράκοντα τρικέφαλον ἔδειξεν αὐτὸν πολλὴν ἀγριότηταν καὶ πικρίαν ἀβάστακτον καὶ πᾶσαν νόσον θανατηφόρον. καὶ ἐκ τῆς πολλῆς πικρίας καὶ ἀγριότητος ἐτελεύτησαν παῖδες καὶ παιδίσκαι τὸν ἀριθμὸν ἑπτὰ χιλιάδες [2]. καὶ ὁ δίκαιος 'Αβραὰμ ἦλθεν εἰς ὀλιγωρίαν θανάτου ὥστε ἐκλείπειν τὸ πνεῦμα αὐτοῦ. Καὶ ταῦτα οὕτως ἰδὼν ὁ πανίερος 'Αβραὰμ εἶπεν πρὸς τὸν θάνατον· δέομαί σου, πανόλεθρε θάνατε, κρύψον σου τὴν ἀγριότητα καὶ φόρεσαι μορφὴν ἣν εἶχες πρότερον. καὶ [3] ἔκρυψεν (ὁ θάνατος) τὴν ἀγριότηταν καὶ περιεβάλετο τὴν ὡραιότηταν αὐτοῦ ἣν εἶχεν πρότερον. Εἶπεν δὲ 'Αβραὰμ πρὸς τὸν θάνατον· τί τοῦτο ἐποίησας, ὅτι ἀπέκτεινας τοσαύτας ψυχάς; ἢ ὁ θεὸς ἕνεκεν τούτου ἀπέστειλέν σοι σήμερον ὧδε; Ὁ δὲ θάνατος εἶπεν· οὐχί, κύριέ μου 'Αβραάμ, ἐγὼ διὰ σὲν ἀπεστάλην ἕως ὧδε. καὶ εἶπεν ὁ 'Αβραὰμ πρὸς τὸν θάνατον· καὶ πῶς οὗτοι τεθνήκασι σήμερον; εἶπεν δὲ ὁ θάνατος· πίστευσον, 'Αβραὰμ δικαιότατε, ὅτι καὶ τοῦτο θαυμαστὸν ὅτι κἂν καὶ σὺ μετ' αὐτῶν ὑπερπάγης, ἀλλ' ὅμως λέγω σοι τὴν ἀλήθειαν· εἰ μὴ γὰρ ἡ δεξιὰ τοῦ ἀθανάτου ἦν μετά σου ἐν τῇ ὥρᾳ ἐκείνῃ, οὐκ ἂν καὶ σὺ τοῦ βίου τούτου ἀπαλλάξειν εἶχες. Ὁ δὲ δίκαιος 'Αβραὰμ (εἶπεν)· νῦν ἔγνωκα ὅτι εἰς ὀλιγωρίαν θανάτου ἐκλήθη(ν) ὥστε ἐκλείπει(ν) τὸ πνεῦμά μου, ἀλλὰ δέομαί σου, ὄλεθρε θάνατε, ἐπεὶ δὲ καὶ οἱ παῖδες ἄωροι τεθνήκασιν, δεῦρο οὖν δεηθῶμεν Κυρίῳ τῷ θεῷ ὅπως εἰσακούσῃ ἡμῖν καὶ ἀναστήσῃ τοὺς ἐξώρως [4] τεθνήξαντα(ς) διὰ τῆς σῆς ἀγριότητος. Καὶ εἶπεν ὁ θάνατος· ἀμήν, γένοιτο. ἀναστὰς οὖν 'Αβραὰμ ἔπεσεν ἐπὶ πρόσωπον ἐπὶ τῆς γῆς καὶ ὁ θάνατος μετ' αὐτοῦ· καὶ ἀπέσταλεν ὁ θεὸς πνεῦμα ζωῆς ἐπὶ τοὺς τελευτήσαντας. Τότε οὖν ὁ δίκαιος 'Αβραὰμ ἔδωκεν δόξαν

[1] Cod. γνοφορεστέρων. [2] Cod. χιλιάδας. [3] Cod. vai. [4] Cod. ἐξεῶρος.

τῷ θεῷ καὶ ἀνελθὼν ἐν τῷ τρικλίνῳ αὐτοῦ ἔπεσεν. ἐλθὼν δὲ καὶ ὁ θάνατος μετ' αὐτοῦ. εἶπεν δὲ Ἀβραὰμ πρὸς τὸν θάνατον· ἔξελθε ἀπ' ἐμοῦ, θέλω ἀναπαῦναι ὅτι ἐν ὀλιγωρίᾳ περίκειται [1]) τὸ πνεῦμά μου. καὶ ὁ θάνατος εἶπεν· οὐκ ἀναχωρῶ ἀπό σου ἕως οὗ λάβω τὴν ψυχήν σου. Καὶ ὁ Ἀβραὰμ αὐστηρῷ τῷ πνεύματι καὶ ὀργίλῳ καὶ λοξῷ τῷ βλέμματι εἶπεν πρὸς τὸν θάνατον· τίς ὁ προστάξας σοι τοῦτο λέγειν; εἰ σὺ τοῦτο ἀφ' ἑαυτοῦ λέγεις καυχώμενος καὶ οὐ μή σε ἀκολουθήσω. Ἄκουσον, δικαιότατε Ἀβραάμ, τοὺς ἑπτὰ αἰῶνας ἐγὼ λυμαίνω τὸν κόσμον καὶ πάντας εἰς ᾅδην κατάγω· βασιλεῖς καὶ ἄρχοντας, πλουσίους καὶ πένητας, δούλους καὶ ἐλευθέρους, καὶ διὰ τοῦτό σε ἔδειξα τὰς ἑπτὰ κεφαλὰς τῶν δρακόντων, τὸ δὲ πρόσωπον πυρὸς ἔδειξά σοι διὰ τὴν πολλήν σου ἄδειαν τῆς διατάξεως. Εἶπεν δὲ Ἀβραάμ· δέομαί σου, θάνατε, ἀνάγγειλόν μοι καὶ τί ἐστιν ἄωρος θάνατος εἰς τὴν παραλογίαν; Ἀμήν, λέγω σοι ἐν ἀληθείᾳ τοῦ θεοῦ ὅτι ἑβδομήκοντα δύο θάνατοί εἰσιν, καὶ ἰδοὺ ἀνήγγειλά σοι πάντα. ἀρτίως γὰρ λέγω σοι, δικαιότατε Ἀβραάμ, ἄφες οὖν πᾶσαν βουλὴν καὶ κατάλιπε τοῦ ἐρωτᾶν τι ἅπαξ καὶ δεῦρο ἀκολούθει μοι καθὼς ὁ θεὸς καὶ κριτὴς τῶν ἁπάντων σε ἔταξεν. Ἄπιθι, ἄπιθι, θάνατε, ἔτι μικρὸν ἀπ' ἐμοῦ ἵνα ἀναπαύσωμαι ἐν κλίνῃ μου ὅτι ἐν ἀθυμίᾳ ἤμην· ἀφ' οὗ γάρ σοι εἶδον τοῖς ὀφθαλμοῖς μου τὴν ἀγριότητάν σου ἡ ἰσχύς μου ἐξέλιπεν, πάντα δὲ τὰ μέλη τῆς ἐμῆς ἁρμονίας δίκην μολύβδου βάρος μοι φαίνονται καὶ τὸ πνεῦμά μου ἐν πολλοῖς ταλανίζεται. μετάσθητι ἐν ὀλίγοις, εἶπον γάρ, εἶπόν σοι· οὐ φέρω θεωρεῖν σου τὸ εἶδος. Ἦλθεν δὲ Ἰσαὰκ ὁ υἱὸς αὐτοῦ καὶ ἔπεσεν ἐπὶ τὸ στῆθος αὐτοῦ κλαίων. ἦλθεν καὶ ἡ γυνὴ αὐτοῦ Σάῤῥα καὶ περιεπλάκη τοὺς πόδας αὐτοῦ ὀδυρομένη πικρῶς. ἦλθωσαν δὲ καὶ πάντες οἱ δοῦλοι αὐτοῦ καὶ αἱ δοῦλαι καὶ περιεκύκλουν ὀδυρόμεναι, ὁ δὲ Ἀβραὰμ ἦλθεν εἰς ὀλιγωρίαν. Εἶπεν δὲ ὁ θάνατος πρὸς τὸν Ἀβραάμ· δεῦρο ἄσπασε τὴν δεξιάν μου καὶ ἔλθῃ σοι ἱλαρώτητα. καὶ (ἀ)σπασάμενος τὴν χεῖραν αὐτοῦ κεκόλληται ἡ ψυχὴ αὐτοῦ εἰς τὴν χεῖραν τοῦ θανάτου, καὶ εὐθέως παρέστη Μιχαὴλ ὁ ἀρχιστράτηγος μετὰ πλήθους ἀγγέλων καὶ ἦρεν τὴν τιμίαν αὐτοῦ ψυχὴν ἐν ταῖς χερσὶν αὐτοῦ

[1]) Cod. περιήκειται.

ἐν σινδόνοις θεουφάντοις καὶ μυρίσμασιν θεοπνεύστοις καὶ ἀρώμασιν. ἐκήδευσαν δὲ τὸ σῶμα τοῦ δικαίου Ἀβραάμ ἕως τῆς τρίτης ἡμέρας τῆς τελειώσεως αὐτοῦ καὶ ἔθαψαν αὐτὸν ἐν τῇ δρυὶ τῇ Μα(μ)βρί, τὴν δὲ τιμίαν αὐτοῦ ψυχὴν ὠψίκευον οἱ ἄγγελοι καὶ ἀνήρχοντο εἰς τὸν οὐρανὸν ψάλλοντες τὸν τρισάγιον ὕμνον τῷ Δεσπότῃ τῶν ὅλων θεῷ καὶ προσκύνησιν, καὶ πολλῆς ὑμνήσεως καὶ δοξολογίας γινομένης πρὸς Κύριον προσκυνήσεως τοῦ Ἀβραὰμ ἦλθεν ἡ φωνὴ λέγουσα· ἄρατε οὖν τὸν φίλον μου Ἀβραὰμ εἰς τὸν παράδεισον ἔνθα ἡ σκηναὶς (=αἱ σκηναὶ) τῶν δικαίων, ἔνθα οὐκ ἔστιν πόνος, ἀλλ' εἰρήνη καὶ ἀγαλλίασις καὶ ζωὴ ἀτελεύτητος. Μεθ' ὧν καὶ ὑμεῖς, ἀδελφοί μου ἀγαπητοί, τὴν φιλοξενίαν μιμείσασθε καὶ τὴν ἀγάπην κτησώμεθα ὅπως ἀξιωθῶμεν τῆς αἰωνίου ζωῆς δοξάζοντες τὸν πατέρα καὶ υἱὸν καὶ τὸ ἅγιον πνεῦμα νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

---

15. Повѣсть о плѣненіи Іерусалима.

Διήγησις εἰς τὴν ἅλωσιν τῆς Ἱερουσαλὴμ καὶ εἰς τὸν θρῆνον τοῦ προφήτου Ἱερεμίου καὶ περὶ τῆς ἐκστάσεως Ἀβιμέλεχ.

Ὁ μέγας οὗτος Ἱερεμίας ὁ προφήτης ἐξ Ἀναθὼθ [1]) τυ(γ)χάνων τῆς κώμης περὶ Ἱερουσαλὴμ καὶ Βαβυλῶνος πολλὰ προηγόρευσεν, ὡσαύτως καὶ περὶ τῆς θείας σαρκώσεως· ἐν οἷς τὸ κραταιὸν τῆς προφητείας ἐμφαίνεται. Τοῦτόν ποτε Πασχὼρ ὁ υἱὸς Ἐμήρ, ὁ τοῦ οἴκου Κυρίου ἡγούμενος, τύψας σφοδρῶς εἰς τὸν καταῤ(ῥ)άκτην ἐνέβαλεν ὡς τῆς Ἱερουσαλὴμ πενθοῦντα τὴν ἅλωσιν. ὡς δὲ τοῦτον ἡ θεία δίκη ἐν τῷ καταῤ(ῥ)άκτῃ οὐκ εἴασεν, αὐτὸς τῷ Πασχὼρ ἀπεφθέ(γ)ξατο· τὸ ὄνομά σου μέτοικόν σε τῆς γῆς ταύτης διαγορεύει καὶ ἐν ταὐτῷ ἐλέ(γ)ξει σε ἡ ἀποστασία σου διότι ἐπικατάρατος ὁ τὸ ἔργον Κυρίου ἀμελῶς ἐμπορευόμενος. Ἐν δὲ ταῖς ἡμέραις Ἰωακεὶμ βασιλέως ἐθρήνει Ἱερεμίας τὴν Ἱερουσα-

---

[1]) Cod. Ἀναθῶν.

λήμ. οἱ οὖν ψευδοπροφῆται τοῦτον διολέσαι τοὺς ἱερεῖς ἔπειθον, ὁ δὲ υἱὸς Σαφὰν Χηραχικὰμ συνὼν τῷ Ἱερεμίᾳ διεκώλυε τὸν φόνον. Τότε Κύριος πρὸς Ἱερεμίαν ἔφη· ποίησον σεαυτῷ δεσμοὺς ἤτοι κλοιοὺς ξυλίνους περὶ τὸν τράχηλόν σου καὶ ἀποστελῶ σε πρὸς τὸν βασιλέα Μωὰβ καὶ Ἰδουμαίας Ἀ(μ)μὼν καὶ Τύρου καὶ Σιδῶνος. ἅτινα καὶ ποιήσας ἐπέθηκε τῷ ἑαυτοῦ τραχήλῳ. Ἀναστὰς δὲ Ἀνανίας ὁ υἱὸς Ἀζὼρ ὁ ψευδοπροφήτης καὶ περιελὼν τοὺς κλοιοὺς ἐξ αὐχένος Ἱερεμίου ἐπ' ὀφθαλμῶν τοῦ λαοῦ συνέτριψε λέγων· οὕτως εἶπε Κύριος πρός με· συντρίψω τὸν ζυγὸν βασιλέως Βαβυλῶνος ἐξ αὐχένος πάντων ἐθνῶν. Τότε πρὸς τὸν ψευδοπροφήτην φησὶν Ἱερεμίας· δόλιά σου τὰ χείλη ὡς ἰὸν τῆς καρδίας ἐρευγομένης, τὰ δὲ τῆς ἀληθείας διασαφούσης κλοιοὺς ξυλίνους συνέτριψας· ἀντὶ τούτων σιδηροὺς ποιήσω, λέγει Κύριος παντοκράτωρ, καὶ ἐπὶ τὸν τράχηλον τῶν ἐθνῶν ἐπιθήσω, σὺ δὲ τάχιον, Ἀνανία, τὴν ψυχὴν ἀποῤῥήξεις. καὶ τῷ λόγῳ τὸ ἔργον ἐπικουλούθει· ἐν γὰρ ἑπτὰ μησὶν οὗτος τοῖς θνεῶσιν ἀπαίρει. Τῷ δὲ ὀκτῷ καὶ δεκάτῳ ἔτει Σεδεκίου βασιλέως Ἰούδα Ἱερεμίου πενθοῦντος τὴν Ἱερουσαλὴμ ἐν εἱρκτῇ ἀποτίθεται. Ἤδη τῶν Χαλδαίων ταύτῃ προσεγγισάντων, ἀλλ' οὐκ οἶδ' ὅπως ἐξελθὼν ὁ προφήτης καὶ ἀπιὼν πρὸς γῆν Βενιαμὴν χρείας αὐτὸν κατεπειγούσης κατασχεθεὶς ὑπὸ τοῦ λαοῦ τῶν Χαλδαίων τύπτεται καὶ ἐν εἱρκτῇ ἀποτίθεται. καὶ ἐφ' ἱκανὸν ἐκεῖσε διατρίψας κρυφίως Σεδεκίας ἀνήγαγεν αὐτὸν ἐκ τῆς εἱρκτῆς καί φησιν· ὡς εὖ πεπονθὼς παρ' ἐμοῦ τὸ μέλ(λ)ον ἐπὶ τῆς ἐμῆς βασιλείας εἰπέ. Καὶ ὁ προφήτης· οὐκ ἐγώ, βασιλεῦ, ὁ λαλῶν, ἀλλὰ τὸ πνεῦμα τὸ λαλοῦν ἐν ἐμοὶ καὶ ἃ γέγραφα γέγραφα. καὶ ἐπὶ τούτοις τὸ φρόριον (=φρού-) τοῦτον δέχεται. Οἱ δὲ διαβολεῖς κατ' αὐτοῦ πάλιν ὤχλουν τῷ βασιλεῖ λέγοντες· ἵνα τί οὗτος καὶ ἐν τῇ εἱρκτῇ ὢν τῶν πολεμιστῶν τὰς καρδίας ἐκλύει μὴ κηρύσσων εἰρήνην, ἀλλὰ μᾶλλον ταράσσων; κρεῖσσον ἕνα ἀναιρεθῆναι ὑπὲρ πολλῶν. Καὶ ὁ βασιλεύς· ἰδοὺ ἐν τῇ χειρὶ ὑμῶν οὗτος. τότε ἔῤῥιψαν ἐν τῷ λάκκῳ Μελχίου τὸν Ἱερεμίαν ἐν τῷ βορβόρῳ τῶν τεθνεώτων. Τοῦτο γνοὺς Ἀβιμέλεχ εἶπε τῷ βασιλεῖ· διὰ τί ἐπονηρεύσω κατὰ τοῦ ἀνδρός, βασιλεῦ; καὶ ὁ βασιλεὺς πρὸς αὐτόν· οὐχ ἑκὼν τοῦτο ἐποίησα, ἀλλ' ὑφορώμενος τῷ λαῷ. λάβε οὖν μετά σου ἄνδρας ἰσχυροὺς τριάκοντα καὶ ἀπελθὼν ἀνάγαγε αὐτὸν ἐκ τοῦ λάκκου. καὶ σπου-

δῆ [1]) Ἀβιμέλεχ χρησάμενος συνεργείᾳ θεοῦ ἀσινῆ τὸν προφήτην ἀνήγαγεν. Πρὸς ὃν ὁ βασιλεὺς ἐγγύτερον παραστὰς ἔφη· μὴ κρύψῃς ἀπ' ἐμοῦ ὅπερ ἐπιζητῶ. καὶ ὁ προφήτης· διὰ τί ἀποθῆ(ναι) τὴν ἀλήθειαν, βασιλεῦ; ψεύδους ἐγὼ διαγγελλεὺς οὐκ εἰμί, εἰ καὶ θανάτῳ κατακρινεῖς με. καὶ ὁ βασιλεύς· ζῇ ὁ θεὸς τῶν πατέρων ἡμῶν, οὐκ ἀποκτενῶ σε εἴ τι δ' ἂν εἴπῃς μοι, οὐδὲ [2]) ἐν ταῖς χερσὶ τῶν ἀνδρῶν ἔκδοτόν σε ποιήσω. Τότε Ἱερεμίας ἔφη τῷ βασιλεῖ· ἐὰν τὴν βουλήν μου κρατήσῃς καὶ (μὴ) ἐξέλθῃς εἰς τοὺς Βαβυλωνίους, σωθήσεταί σου τὸ πνεῦμα καὶ ἡ πόλις αὕτη οὐκ ἀπολεῖται. εἰ δὲ τούτοις προσεναντιούμενος στῇς, γνῶθι ὅτι τὰς χεῖρας αὐτῶν οὐκ ἐκφεύξῃ, ἀλλὰ καὶ ἡ πόλις πυρὸς γενήσεται παρανάλωμα. Λῆρον δὲ τὰ τοῦ προφήτου Σεδεκίας ἡγησάμενος ῥήματα τῶν Βαβυλωνίων τὰς χεῖρας οὐ διέφυγε· περιστοιχισαμένων γὰρ ἐκείνων τὴν πόλιν καὶ ταύτης κατασχόντων τὰ σῖτα οὐ τὸν τυχόντα λιμὸν τῇ πόλει προσήγαγον, Σεδεκίας δὲ τὸν ἔνδον ὄλεθρον ὑφορώμενος ἀποδιδράσκει νυκτὸς μετὰ τῶν σὺν αὐτῷ, ὃν καὶ συνέλαβον διώξαντες οἱ Χαλδαῖοι καὶ ἐπ' ὀφθαλμῶν αὐτοῦ τοὺς υἱοὺς αὐτοῦ ἀποτέμνουσι μαχαίρᾳ, Σεδεκίου δὲ τὰς κόρας ἐξώρυξαν καὶ δεδεμένον εἰς Βαβυλῶνα ἤγαγον καὶ ὡς παίγνιον τοῦτο(ν) εἶχον καὶ ἦν ἐν αὐτοῖς ἕως ἐσχάτης ἡμέρας αὐτοῦ. Ὁ δὲ Ναβουζαρδὰν ὁ ἀρχιμάγειρος τοῦ βασιλέως τὴν Ἱερουσαλὴμ εἰσελθὼν κατενέπρησε καὶ τὸν οἶκον Κυρίου κονιορτὸν ἀπετέλεσε κατὰ τὴν Ἱερεμίου φωνήν, πᾶσαν δὲ τὴν ἀποσκευὴν εἰς Βαβυλῶνα κατήγαγον. Μετὰ δὲ ἑβδομήκοντα χρόνους πάλιν ἀνῆκτο ἡ αἰχμαλωσία εἰς Ἱερουσαλὴμ καθὼς πλατύτερον ἔμπροσθεν δηλωθήσεται, πρὸ δὲ τῆς ἁλώσεως Ἱερουσαλὴμ τὰ λαληθέντα ὑπὸ Κυρίου πρὸς Ἱερεμίαν καὶ ὅπως ἡ ἅλωσις γέγονεν ἔχει οὕτως. Ἐν ταῖς ἡμέραις ἐκείναις ἐλάλησε Κύριος πρὸς Ἱερεμίαν· ἀναστὰς ἔξελθε ἐκ τῆς πόλεως ταύτης μετὰ Βαρούχ, ἐπειδὴ ἀπολῶ αὐτὴν διὰ τὸ πλῆθος τῶν ἁμαρτιῶν τῶν κατοικούντων ἐν αὐτῇ. αἱ γὰρ προσευχαὶ ὑμῶν ὡς στύλοι ἑδραῖοί εἰσιν ἐν μέσῳ αὐτῆς καὶ ὡσεὶ τεῖχος ἀδαμάντινον περικυκλοῦσιν αὐτήν. νῦν οὖν ἔξελθε ἐξ αὐτῆς πρὸ τοῦ τὴν δύναμιν τῶν Χαλδαίων κυκλῶσαι αὐτήν. Καὶ ἐλάλησεν Ἱερεμίας λέγων· παρακαλῶ σε, Κύριε, ἐπίτρεψόν μοι τῷ

[1]) Cod. σποδή. [2]) Cod. οὐδέν.

δούλῳ σου λαλῆσαι ἐνώπιόν σου. καὶ εἶπε Κύριος· λάλει. καὶ εἶπεν Ἱερεμίας· Κύριε, παραδίδως τὴν πόλιν ταύτην εἰς χεῖρας τῶν Χαλδαίων ἵνα καυχήσωνται ὅτι ἐνίσχυσαν [1]) κατ' αὐτῆς; Κύριέ μου, εἰ θέλημά σοῦ ἐστιν, μᾶλλον ἐκ τῶν χειρῶν σου ἀφανισθήτω καὶ μὴ ὑπὸ τῶν Χαλδαίων. Καὶ εἶπεν ὁ θεός· σὺ ἀναστὰς ἔξελθε, αὐτοὶ δὲ οὐ καυχήσονται· εἰ μὴ ἐγὼ ἀνοίξω, αὐτοὶ εἰσελθεῖν οὐ δύνανται. ἄπελθε οὖν πρὸς Βαροὺχ καὶ ἀνάγγειλον αὐτῷ καὶ ὥραν ἕκτην τῆς νυκτὸς δεῦτε ἐπὶ τὰ τείχη τῆς πόλεως καὶ βλέπετε ὅτι ἐὰν μὴ ἐγὼ ἀνοίξω, αὐτοὶ εἰσελθεῖν οὐ δύνανται. καὶ εἰπὼν ταῦτα ἀπέστη ἀπ' αὐτοῦ. Καὶ ἀπελθὼν Ἱερεμίας ἀπήγγειλε τῷ Βαροὺχ καὶ ἐλθόντες εἰς τὸν ναὸν διέῤῥηξαν τὰ ἱμάτια αὐτῶν καὶ ἐθρήνουν ἐπὶ πολύ, καὶ ἐλθόντες κατὰ τὴν ἕκτην ὥραν ἐπὶ τὰ τείχη τῆς πόλεως ἤκουσαν φωνὴν σαλπίγγων· καὶ ἦλθον οἱ ἄγγελοι ἐκ τῶν οὐρανῶν κατέχοντες λαμπάδας ἐν ταῖς χερσὶν αὐτῶν καὶ ἔστησαν ἐπὶ τὰ τείχη τῆς πόλεως. καὶ ἰδόντες αὐτοὺς ἔκλαυσαν καὶ εἶπον· νῦν ἐγνώκαμε(ν) ὅτι ἀληθές ἐστι τὸ ῥῆμα ὃ ἐλάλησεν ὁ θεός. καὶ παρεκάλεσαν τοὺς ἀγγέλους λέγοντες· παρακαλοῦμεν μὴ ἀπολέσθαι τὴν πόλιν ἕως ἂν λαλήσωμεν τῷ θεῷ. Τότε ἐλάλησεν Ἱερεμίας λέγων· δέομαί σου, Κύριε, κέλευσόν μοι λαλῆσαι ἐνώπιόν σου. καὶ εἶπεν Κύριος· λάλει. Καὶ εἶπεν Ἱερεμίας· ἰδού, Κύριε, ἐγνώκαμεν ὅτι παραδίδως τὴν πόλιν εἰς χεῖρας τῶν ἐχθρῶν αὐτῆς καὶ ἀπαίρει ὁ λαός σου εἰς Βαβυλῶνα. τί οὖν ποιήσωμεν τὰ ἅγιά σου σκεύη; Καὶ εἶπεν ὁ θεός· παράδος αὐτὰ τῇ γῇ λέγων· ἄκουε, γῆ, τὴν φωνὴν τοῦ κτίσαντός σε καὶ ἑδραιώσαντός σε ἐπάνω τῶν ὑδάτων, τοῦ σφραγίσαντός σε ἐν ἑπτὰ σφραγίσιν ἐν ἑπτὰ καιροῖς καὶ μετὰ ταῦτα λήψει τὴν ὡραιότητά σου. φύλαξον τὰ σκεύη τῆς λειτουργίας ἕως τῆς συνελεύσεως τοῦ ἠγαπημένου (sc. αὐτοῦ υἱοῦ)· Ἐλάλησεν δὲ πάλιν Ἱερεμίας λέγων· παρακαλῶ σε, Κύριε, τί ποιήσω Ἀβιμέλεχ τῷ Αἰθίωπι, ὅτι πολλὰς εὐεργεσίας ἐποίησε τῷ δούλῳ σου; ὅτι αὐτός με ἀνείλκυσεν ἐκ τοῦ λάκκου τοῦ βορβόρου οὗ ἐνέβαλόν με καὶ οὐ θέλω αὐτὸν ἵνα ἴδῃ τὸν ἀφανισμὸν τῆς πόλεως καὶ ἀποπαγῇ ὅτι μικρόψυχός ἐστιν. Καὶ εἶπεν Κύριος πρὸς Ἱερεμίαν· ἀπόστειλον αὐτὸν εἰς τὸν ἀμπελῶνα τοῦ Ἀγρίππα καὶ ἐν τῇ

[1]) Cod. ἐνίσχυσας.

σκιᾷ τοῦ ὄρους σκεπάσω αὐτὸν ἕως οὗ μέλ(λ)ει ὁ λαὸς ἐπιστρέψαι ἐκ τῆς αἰχμαλωσίας. σὺ δέ, Ἱερεμία, ἄπελθε μετὰ τοῦ λαοῦ σου εἰς Βαβυλῶνα καὶ μεῖνον σὺν αὐτοῖς εὐαγγελιζόμενος αὐτοῖς ἕως οὗ ἐπιστρέψω αὐτούς, τὸν δὲ Βαροὺχ κατάλειψον ὧδε. Τότε ἀπελθόντες εἰς τὸν ναὸν καὶ λαβόντες τὰ σκεύη τῆς λειτουργίας παρέδωκαν αὐτὰ τῇ γῇ καθὼς ἐλάλησεν αὐτοῖς Κύριος. πρωίας δὲ λέγει Ἱερεμίας τῷ Ἀβιμέλεχ· λαβὼν τὸν κόφινον, τέκνον, ἄπελθε εἰς τὸ χωρίον τοῦ Ἀγρίππα διὰ τῆς ὁδοῦ τοῦ ὄρους καὶ ἔνεγκε σῦκα τοῖς νοσοῦσιν τοῦ λαοῦ, ὅτι ἐπί σε ἡ εὐφρασία αὐτῶν καὶ ἐπὶ τὴν κεφαλήν σου ἡ δόξα. καὶ εὐθέως ἐπορεύθη ἐπὶ τοῦ ἀγροῦ. Τούτου δὲ ἐκεῖσε ἀπελθόντος καὶ τοῦ ἡλίου ἀποκαλύψαντος τὴν ἡμέραν, ἰδοὺ ἡ δύναμις τῶν Χαλδαίων ἐλθοῦσα ἐκύκλωσε τὴν πόλιν Ἱερουσαλήμ. ἐσάλπισε δὲ ὁ μέγας ἄγγελος λέγων· εἰσέλθετε εἰς τὴν πόλιν πᾶσα ἡ δύναμις τῶν Χαλδαίων, ἰδοὺ γὰρ ἀνεῴχθησαν ὑμῖν αἱ πύλαι. Τότε Ἱερεμίας λαβὼν τὰς κλεῖδας τοῦ ναοῦ ἐξῆλθεν ἔξω τῆς πόλεως καὶ ῥίψας αὐτὰς ἐνώπιον τοῦ ἡλίου εἶπε· λάβε αὐτὰς καὶ φύλαξον ἕως ἡμέρας ἐν ᾗ ἐξετάσει σε Κύριος περὶ αὐτῶν, διότι ἡμεῖς οὐχ εὑρέθημεν ἄξιοι φυλάξαι αὐτάς. Καὶ ὁ μὲν Ἱερεμίας ἐπορεύετο μετὰ τοῦ λαοῦ εἰς αἰχμαλωσίαν ἐν Βαβυλῶνι, ὁ δὲ Βαροὺχ ἐξελθὼν ἔξω τῆς πόλεως ἔμεινε καθεζόμενος ἐν μνημείῳ. Καὶ ὁ Ἀβιμέλεχ λαβὼν τὰ σῦκα ἐν τῷ καύματι καταλαβὼν δένδρον ἐκάθισεν ὑπὸ τὴν σκιὰν αὐτοῦ ἀναπαυθῆναι ὀλίγον καὶ κλίνας τὴν κεφαλὴν αὐτοῦ ἐπὶ τὸν κόφινον ὕπνωσεν ἐπὶ χρόνοις ἑβδομήκοντα. τοῦτο δὲ γέγονεν κατὰ πρόσταξιν θεοῦ διὰ τὸν λόγον ὃν εἶπεν τῷ Ἱερεμίᾳ· ὅτι ἐγὼ σκεπάσω αὐτόν. μετὰ δὲ τὸ ἐγερθῆναι λέγει· ἡδέως ὕπνωσα, ὀλίγον δὲ ἦν, καὶ διὰ τοῦτό ἐστι βεβαρυμένη ἡ κεφαλή μου ὅτι οὐκ ἐκορέστην (=σθην) ὕπνου. Καὶ ἀνακαλύψας τὰ σῦκα εὗρε στάγοντα γάλα ὡς πρὸ μικροῦ συ(λ)λέξας αὐτὰ καὶ εἶπεν· ἤθελον κοιμηθῆναι ἄλλο ὀλίγον, ἀλλ' ἐπειδὴ ἐν σπουδῇ πολλῇ με ἀπέστειλεν Ἱερεμίας· ἐὰν τοῦτο ποιήσω, βραδύναι ἔχω καὶ ἀνιαθήσεται. μὴ γὰρ οὐκ ἔστι κόπος καὶ καῦσον καθ' ἡμέραν, ἀπέλθω μᾶλλον συντόμως καὶ θεραπεύσω αὐτὸν κακεῖ κοιμῶμαι. Καὶ λαβὼν τὰ σῦκα ἦλθεν εἰς Ἱερουσαλὴμ καὶ οὐκ ἐγίνωσκεν οὔτε τὴν πόλιν οὔτε τὴν οἰκίαν αὐτοῦ οὔτε τινὰ τῶν συγγενῶν ἢ φίλων αὐτοῦ. καὶ εἶπεν· εὐλογητὸς Κύριος, ἔκστασίς

μοι ἐγένετο σήμερον· οὐκ ἔστιν ἡ πόλις αὕτη, πεπλάνημαι μὴ κορεσθεὶς ὕπνου. καὶ ἐξελθὼν ἔξω καὶ κατανοήσας τὰ σημεῖα εἶπεν· αὕτη μοῦ ἐστιν ἡ πόλις, πεπλάνημαι. καὶ εἰσελθὼν πάλιν καὶ ζητήσας οὐδὲν εὗρε τῶν συγγενῶν ἢ φίλων αὐτοῦ καὶ εἶπεν· εὐλογητὸς Κύριος, μεγάλη μοι ἔκστασις γέγονε. καὶ ἐξελθὼν ἔξω ἔμεινε λυπούμενος μὴ εἰδὼς ὃ ποιήσῃ. καὶ θεὶς τὸν κόφινον λέγει· ὧδε ἔγω καθίσαι ἕως ὁ Κύριος ἄρῃ τὴν ἔκστασιν ἀπ᾽ ἐμοῦ. Καθημένου δὲ αὐτοῦ ἰδοὺ γηραιός τις ἐρχόμενος ἐξ ἀγροῦ καὶ λέγει αὐτῷ· σοὶ λέγω, πρεσβύτα, ποία ἐστὶν ἡ πόλις αὕτη; Ὁ δὲ εἶπεν· Ἱερουσαλὴμ ἐστι, τέκνον. καὶ ὁ Ἀβιμέλεχ· καὶ ποῦ ἐστιν Ἱερεμίας ὁ ἱερεὺς τοῦ θεοῦ καὶ Βαρούχ ὁ ἀναγνώστης καὶ πᾶς ὁ λαὸς τῆςπόλεως ἔ(τι) οὐχ εὗρον αὐτούς; καὶ εἶπεν ὁ πρεσβύτης· οὐκ εἶ σὺ ἐκ τῆς πόλεως ταύτης; σήμερον ἐμνήσθης Ἱερεμίου καὶ ἐρωτᾷς περὶ αὐτοῦ; Ἱερεμίας ἐν Βαβυλῶνί ἐστι μετὰ τοῦ λαοῦ χρόνους ἑβδομήκοντα ἐπειδὴ αἰχμάλωτοι γεγόνασιν ὑπὸ Ναβουχοδονόσωρ βασιλέως, καὶ πῶς σὺ νέος ὢν καὶ μήπω γεγενημένος τότε ἐρωτᾷς ἃ οὐδέποτε ἐθεάσω; Ἀκούσας δὲ ταῦτα ὁ Ἀβιμέλεχ λέγει πρὸς αὐτόν· εἰ μὴ ἧς γηραιὸς καὶ ὅτι οὐκ ἐξὸν ἀνθρώπῳ θεοῦ ὑβρίσαι τὸν μείζονα ἑαυτοῦ, κατεγέλων [1]) ἄν σου καὶ ἔλεγον ὅτι μαίνῃ λέγοντος ὅτι ὁ λαὸς αἰχμάλωτος ἀπῆλθεν εἰς Βαβυλῶνα. εἰ οἱ καταρ(ρ)άκται τοῦ οὐρανοῦ ἠνεῴχθησαν καὶ οἱ ἄγγελοι τοῦ θεοῦ ἦλθον λαβεῖν αὐτοὺς μετὰ δυνάμεως καὶ ἐξουσίας, οὔπω εἶχον ἀπελθεῖν εἰς Βαβυλῶνα. πόση γὰρ ὥρα ἐστὶν ἀφ᾽ οὗ με ἀπέστειλεν ὁ πατήρ μου Ἱερεμίας εἰς τὸ χωρίον τοῦ Ἀγρίππα δι᾽ ὀλίγα σῦκα ἵνα δῶμεν τοῖς νοσοῦσιν τοῦ λαοῦ, καὶ ἀπελθὼν εἰς δένδρον ἀπὸ τοῦ καύσωνος μικρὸν ἀφύπνωσα καὶ νομίσας ὅτι ἐβράδυνα ἀποκαλύψας τὰ σῦκα εὗρον αὐτὰ στάζοντα γάλα καθὼς συνελέγησαν, καὶ σὺ λέγεις ὅτι αἰχμαλωτίσθη ὁ λαὸς εἰς Βαβυλῶνα. ἵνα δὲ γνῷς καὶ αὐτὸς μὴ διαψευδόμενόν με λάβε τὰ σῦκα καὶ ἴδε. Ἰδὼν δὲ ταῦτα ὁ γηραιὸς εἶπεν· ὦ τέκνον, δικαίου ἀνθρώπου υἱὸς εἶ καὶ οὐκ ἠθέλησεν ὁ θεὸς δεῖξαί σοι τὴν ἐρήμωσιν τῆς πόλεως ταύτης καὶ ἤνεγκεν ἐπί σε τὴν ἔκστασιν ταύτην· ἰδοὺ ἑβδομήκοντα χρόνους ἔχει ὁ λαὸς εἰς Βαβυλῶνα μετὰ Ἱερεμίου ἀφ᾽ ἧς ἡμέρας αἰχμαλωτίσθη, καὶ ἵνα μάθῃς, τέκνον,

[1]) Cod. κατελέγων.

ὅτι ἀληθῆ εἰσιν ἅπερ σοι λέγω, ἀνάβλεψον εἰς τὸν ἀγρὸν καὶ ἴδε ὅτι οὔπω ἐφάνη αὔξησις τῶν γεν(ν)ημάτων. ἴδε καὶ τὰ σῦκα ὅτι καιρὸς αὐτῶν οὐκ ἔστι καὶ γνῶθι καὶ αὐτὸς καὶ πείσθητί μοι ἀληθεύοντι. Τότε ὁ Ἀβιμέλεχ ὥσπερ ἐκ μέθης ἀνανήψας καὶ καταμαθὼν τὴν γῆν ἀκριβῶς καὶ τὰ ἐν αὐτῇ δένδρα εἶπεν· εὐλογητὸς ὁ θεὸς τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ἡ ἀνάπαυσις τῶν ψυχῶν τῶν δικαίων. καὶ λέγει τῷ γηραιῷ· ποῖος μὴν οὗτος; καὶ ὁ γηραιός· δωδέκατος. καὶ δοὺς τῷ γηραιῷ σῦκα ἀνεχώρησεν εὐλογήσας αὐτόν. αὐτὸς δὲ Ἀβιμέλεχ ἀναστὰς προσηύξατο ἀποκαλυφθῆναι αὐτῷ τί δεῖ ποιῆσαι. Καὶ ἰδοὺ ἄγγελος Κυρίου ἐλθὼν καὶ κρατήσας τῆς δεξιᾶς χειρὸς διέσωσεν ἐν τῷ μνημείῳ ἐν ᾧ ἦν ὁ Βαροὺχ καθημένος· καὶ ἰδόντες ἀλλήλους ἔκλαυσαν σφόδρα, εἶθ' οὕτω προσηύξαντο πρὸς τὸν θεὸν καὶ ἠγαλλίασαν δοξάζοντες καὶ εὐλογοῦντες αὐτόν. Καὶ ἰδὼν τὰ σῦκα (ὁ Βαροὺχ) παρὰ καιρὸν πρὸ χρόνων ἑβδομήκοντα κοπέντα ἔτι γάλακτος ἀποστάζοντα ἐκπλαγεὶς (εἶπεν)· προσευξώμεθα (τῷ θεῷ) ἵνα γνωρίσῃ ἡμῖν Κύριος πῶς ἄρα δῶμεν εἴδησιν τῷ Ἱερεμίᾳ περὶ τῆς γενομένης σοι σκέπης καὶ τῆς νῦν παραδόξου ἐγρηγόρεως. ὃ καὶ ποιήσαντες ἤκουσαν ἀγγέλου ἀποσταλέντος αὐτοῖς· γράψατε ἐπιστολὴν τῷ Ἱερεμίᾳ τί δεῖ αὐτὸν ποιῆσαι εἰς τὸν λαὸν καθὼς λέγει (=λέγω?) ὑμῖν. καὶ εἰπὼν αὐτοῖς πάντα καθὼς ὤφειλον γράψαι προσέθετο καὶ τοῦτο· ἰδοὺ ὀλίγαι ἡμέραι καὶ ὁ θεὸς ἐξάγει ὑμᾶς ἐκ Βαβυλῶνος εἰς Ἱερουσαλήμ, αὔριον δὲ πρωῒ ἐρχομένου ἀετοῦ πρὸς ὑμᾶς δήσατε τὴν ἐπιστολὴν καὶ ὀλίγα σῦκα ἐν τῷ τραχήλῳ αὐτοῦ ἵνα ἀποκομίσῃ ταῦτα πρὸς Ἱερεμίαν ἐν Βαβυλῶνι. καὶ ταῦτα εἰπὼν ἀνεχώρησεν ἀπ' αὐτῶν. Εὐθέως δὲ λαβὼν ὁ Βαροὺχ χάρτην καὶ καθίσας ἔγραψεν ἃ ἤκουσεν παρὰ τοῦ ἀγγέλου· καὶ ἐλθὼν πρωῒ ὁ ἀετὸς ἔκραξε. καὶ ἐξελθόντες εὐλόγησαν τὸν θεὸν καὶ προσευξάμενοι ἔδησαν τὴν ἐπιστολὴν καὶ δέκα σῦκα ἐν τῷ τραχήλῳ αὐτοῦ. καὶ ἐπευξάμενοι αὐτὸν ἀπέστειλαν παραγγείλαντες πάλιν ὑποστρέψαι πρὸς αὐτούς. Ὁ δὲ ἀπελθὼν ἐν Βαβυλῶνι ἐκαθέστη (=σθη) ἔξω τῆς πόλεως ἐν στύλῳ. κατ' οἰκονομίαν δὲ θεοῦ ἐξήρχετο τῆς πόλεως Ἱερεμίας μετὰ παντὸς τοῦ λαοῦ νεκρὸν ἐ(κ)κομίζοντες καὶ θρηνοῦντες καὶ μέλλοντες θάψαι αὐτὸν ἐν ᾧ τόπῳ ἔλαβεν Ἱερεμίας παρὰ τοῦ Ναβουχοδονόσωρ ἐνδόσιμον θάπτειν τοὺς ἀποθνήσκοντας ἰουδαίους. Καὶ κράξας ὁ ἀετὸς ἀνθρωπίνῃ φωνῇ εἶπε·

σοὶ λέγω, Ἱερεμία, δέξον [1]) τὴν ἐπιστολὴν ἣν ἤνεγκά σοι ἀπὸ τοῦ Βαροὺχ καὶ Ἀβιμέλεχ καὶ ἀκουσάτωσαν αὐτὴν πᾶς ὁ λαὸς Ἱερουσαλήμ. ἀκούσας δὲ ὁ Ἱερεμίας ἐδόξασε τὸν θεόν, καὶ καθίσας ὁ ἀετὸς εἰς τὸν νεκρὸν εὐθὺς ἀνέστη (scil. ὁ νεκρός). Τοῦτο πάντες θεασάμενοι ἔγνωσαν ὅτι ἀπὸ θεοῦ ἐστάλη ἡ ἐπιστολή· δοξασάντων δὲ τὸν θεὸν πάντων ἐπὶ τῷ γεγονότι λύσας ὁ Ἱερεμίας τὴν ἐπιστολὴν ἀνέγνω ἐνώπιον πάντων. καὶ ἀκούσαντες τὴν ταχεῖαν αὐτῶν ἐπανάκλησιν ἐχάρησαν χαρὰν μεγάλην σφόδρα. Γράψας δὲ καὶ Ἱερεμίας πάσας τὰς θλίψεις καὶ συμφορὰς τὰς ἐπελθούσας αὐτοῖς ἐν χάρτῃ δήσας ἐν τῷ τραχήλῳ τοῦ ἀετοῦ καὶ εὐλογήσας ἀπέστειλεν αὐτόν, ὁ δὲ πάλιν ἀπεκόμισε τὴν τοιαύτην ἐπιστολὴν τῷ Βαροὺχ σὺν τῷ Ἀβιμέλεχ· καὶ ἀναγνόντες ἔκλαυσαν καὶ εὐχαρίστως ἐδοξολόγησαν τὸν θεὸν ὅτι οὐκ ἐπειράσθησαν τῶν τοιούτων θλίψεων. δοὺς δὲ Ἱερεμίας τὰ σῦκα τοῖς νοσοῦσι τοῦ λαοῦ ἰάσατο ἅπαντας ὅσοι μετέλαβον ἐξ αὐτῶν. Καὶ καταλαβούσης τῆς ὁρισθείσης ἡμέρας εἶπεν ὁ θεὸς τῷ Ἱερεμίᾳ· λάβε τὸν λαὸν ἅπαντα νυκτὸς καὶ ἔξελθε τῆς Βαβυλῶνος καὶ δεῦτε ἐπὶ τὸν Ἰορδάνην κακεῖ διαχωρίσῃς τοὺς ἄρχοντας τῶν Βαβυλωνίων τῶν λαβόντων γυναῖκας τοῦ σοῦ ἔθνους καὶ γυναῖκας τῶν Βαβυλωνίων τὰς συμμιγεῖσας [2]) τῷ σῷ λαῷ...[3]). φύσεως ἡμῶν. γίνεται γὰρ μετὰ τοὺς καιροὺς τούτους ἄλλα ἔτη τριακόσια ἑβδομήκοντα ἑπτά. καὶ ἐν τῷ εὐαγγελίζεσθαι τὸν Χριστὸν αὐτοῖς αἰνιγματωδῶς καθὼς εἶδεν καὶ ἤκουσεν ἀναληφθείσης τῆς ψυχῆς αὐτοῦ ἀνέκραξεν ὁ λαὸς ἅπας· ταῦτά εἰσιν τα ῥήματα ἃ πάλαι Ἡσαΐας διελέγετο πρὸς τοὺς πατέρας ἡμῶν· ὅ(τι) εἶδον τὸν θεὸν καὶ τὸν υἱὸν αὐτοῦ. καὶ ἀπέκτειναν αὐτὸν ξυλίνῳ πρίονι πρίσαντες· δεῦτε οὖν τοῦτον λιθάσωμεν. Τούτων ἀκούσας Βαροὺχ καὶ Ἀβιμέλεχ ἐλυπήθησαν σφόδρα διὰ τὸν θάνατον Ἱερεμίου, πλέον δὲ ὡς μὴ φθάσαντες ἀκοῦσαι τῶν μυστηρίων ὧν εἶδεν καὶ ἤκουσεν ὁ προφήτης ἀναληφθείς. ὁ δὲ γνοὺς τοὺς διαλογισμοὺς αὐτῶν λέγει· σιωπᾶτε, οὐ μή με ἀποκτείνωσιν ἕως ἂν πάντα ἃ εἶδον καὶ ἤκουσα διηγήσωμαι ὑμῖν. καὶ εἶπεν αὐτοῖς· ἐνέγκατέ μοι λίθον μειζότερον. καὶ ἤνεγκαν αὐτῷ· καὶ λέγει ὁ προφήτης· Κύριε, ποίησον τὸν λίθον τοῦτον κατὰ τὴν

---

[1]) Cod. δέξαν. [2]) Cod. συμμεγεῖσας. [3]) Folium periit.

ἐμὴν ὁμοιότηταν ἵνα λιθάσωσιν αὐτὸν οἱ λαοὶ ἕως ἀναγγείλω τοῖς ἀδελφοῖς μου ἃ εἶδον καὶ ἤκουσα. Τότε διὰ προστάγματος θεοῦ ἀναλαβὼν ὁ λίθος τὴν ὁμοιότητα τοῦ προφήτου ἐλιθάζετο ἀντ' αὐτοῦ. Καὶ μὲ τὸ ἀναγγεῖλαι αὐτοῖς πάντα ὅσα εἶδε καὶ ἤκουσεν ἐκτελέσαι βουλόμενος τὰ εἰς αὐτὸν οἰκονομηθέντα ἦλθεν ἐν μέσῳ τοῦ λαοῦ. καὶ προστάξει θεοῦ ἀναλαβὼν ὁ λίθος ἀνθρωπίνην φωνὴν ἀνεβόησε λέγων· ὦ μωροὶ υἱοὶ Ἰσραήλ, διὰ τί με λιθάζετε νομίζοντες ὅτι ἐγώ εἰμι Ἱερεμίας ἐκείνου μέσον ὑμῶν ἑστῶτος; Τότε ὡς ἐκ μέθης ἀνανήψαντες εἶδον τὸν ἅγιον καὶ ἄραντες λίθους ἀπέκτειναν αὐτόν· καὶ ἐλιθάσθη παρὰ τῶν συναιχμαλωτῶν αὐτοῦ Ἱερεμίας ἐν Ἱερουσαλὴμ παρ' ὧν ὤφειλεν εὐεργετηθῆναι, καὶ οὐκ ἀντεῖπεν οὐδὲ ὠργίσθη, ἀλλ' οὕτως ἐδέχετο τὰς καταφορὰς τῶν λίθων ὡς δι' αὐτῶν εἰς οὐρανοὺς ἀνερχόμενος. Ἐλθόντες δὲ Βαροὺχ καὶ Ἀβιμέλεχ ἔθαψαν αὐτὸν καὶ λαβόντες τὸν λίθον ἔθεντο ἐν τῷ μνήματι αὐτοῦ γράψαντες ἐν αὐτῷ· οὗτός ἐστιν ὁ λίθος ὁ βοηθὸς Ἱερεμίου. Τὰ δὲ ἱερὰ σκεύη ἐναπέθετο Ἱερεμίας κατὰ τὴν τοῦ θεοῦ πρόσταξιν ἐν πέτρᾳ σφραγίσας αὐτὴν τῷ δακτύλῳ αὐτοῦ τὸ ὄνομα τοῦ θεοῦ· ὡς [1]) γλυφὴ σιδήρου ὁ τύπος ἐγένετο νεφέλης σκιαζούσης τὴν πέτραν διὰ τὸ δυσδιάγνωστον εἶναι. ἔστι δὲ ἡ πέτρα ἐν τῇ ἐρήμῳ ὅπου τὸ πρότερον ἡ κιβωτὸς κατεσκεύαστο μετὰ τῶν ἄλλων. Καὶ τοῦτο εἴρηκεν Ἱερεμίας· εἰς οὐρανοὺς Κύριος ἀπὸ Σιὼν ἀνελήλυθεν, ἀλλὰ πάλιν ἐλεύσεται ἐπισκεψόμενος τὴν Σιών, τῆς δὲ παρουσίας τοῦ Χριστοῦ ἔσται τὸ σημεῖον ὅταν ἔθνη πάντα προσκυνήσουσιν ξύλον δοξάζοντες καὶ εὐλογοῦντες τὸν θεόν, ᾧ πρέπει πᾶσα δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

---

[1]) Cod. ὅ.

16. Вопросы Іакова брата Господня Іоанну Богослову.

Τοῦ Ἰακώβου τοῦ ἀδελφοῦ τοῦ Κυρίου ἐρώτησις καὶ ἀπόκρισις πρὸς τὸν ἅγιον Ἰωάννην τὸν Θεολόγον [1]). Δέσποτα εὐλόγησον.

Εἰπὲ ἡμῖν, Ἰωάννη Θεολόγε, περὶ τῶν ἐσχάτων ἡμερῶν τῶν ἀνθρώπων· πῶς ἀπέρχεται ἡ ψυχὴ ἐκ τοῦ σώματος καὶ ποῦ μέλλει κατοικεῖν ἕως τῆς δευτέρας παρουσίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ; Ὁ δὲ Ἰωάννης λέγει πρὸς αὐτόν· ἄκουσον, Ἰάκωβε. ἐὰν ἔλθῃ κέλευσι(ς) τοῦ ἀοράτου θεοῦ ἡμῶν τοῦ χωρίσαι ψυχὴν ἐκ τοῦ σώματος, ἔρχεται ὁ ἄγγελος ὁ ἐξ ἀρχῆς ἦν μετὰ τὸν ἄνθρωπον καὶ ὁ πρῶτος ἀρχάγγελος Μιχαὴλ μετὰ ξίφων πυρίνων, καὶ μετ᾽αὐτῶν τῶν δύο ἄλλοι τέσσαρεις, καὶ ἀναλαμβάνουσιν τὴν ψυχὴν ἐκ τοῦ σώματος καὶ ἀκολουθοῦν τοῦ σώματος ἕως τοῦ μνήματος μετὰ τῆς ψυχῆς καὶ παραστήκουν ἐν τῷ μνήματι ἕως οὗ σφραγισθῇ τὸ μνημεῖον ἀπὸ τοῦ ἱερέως. Καὶ τότε ἡ ἁμαρτωλὴ ψυχὴ θρηνεῖ σφόδρα καὶ λέγει· οἶμοι, οἶμοι! ὅτι ἀφῆκα φῶς δύναντα καὶ ἀπέρχομαι εἰς σκότος τὸ τόποτε (sic) [2]) ἐκεῖ μὴ γεννώμενον. οἶμοι! ἀφῆκα τοὺς φίλους μου καὶ ἀπέρχομαι εἰς χώραν ἣν [3]) οὐχ ἑώρακά ποτε. οἶμοι, οἶμοι! ὅτι ἀφῆκα [4]) τὸ σῶμά μου ὅλον χνοῦς ἐστιν. ἀλλὰ χαρὰν πρόσκαιρον μετ᾽αὐτὸν εἶχα [5]) καὶ (ὑ)πάγω ἐκεῖ ὅπου χαρὰ καὶ δόξα τῶν ἁμαρτωλῶν οὐκ ἔστιν. Καὶ μετὰ ταῦτα παραλαμβάνουσιν αὐτὴν οἱ ἄγγελοι καὶ ἀναβαίνουσιν ἕως τοῦ ἀέρως [6]) καὶ ἀπαντῶν αὐτῶν αἱ τάξεις τῶν δαιμόνων ὡσεὶ νέφος καὶ ὡσεὶ κόρακες μελανίζοντες καὶ συνπλέκων τὴν ψυχὴν τὴν ἁμαρτωλὴν καὶ λέγουσιν οὕτως· ἐν τῇ βαπτίσει αὐτῶν ὑπὸ τοῦ ἱερέως ἀπαρνήσατε ἡμᾶς, καὶ πάλιν τὴν σφραγῖδαν αὐτοῦ ἀρνησάμενος καὶ ἐποίησεν τὰ ἡμῶν θελήματα ἕως τοῦ σώματος αὐτοῦ. Καὶ τότε κραυγὴ γίνεται τοῦ ἀρχαγγέλου Μιχαὴλ καὶ συνάγονται μύριαι μυριάδες ἀγγέλων μετὰ ξίφων φλογερῶν καὶ τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ καὶ ἀπολαύνονται αἱ

---

[1]) Ordinem tituli inverti, nam codex τοῦ ἁγίου Ἰωάννου τοῦ Θ. ἐρ. καὶ ἀπ. πρὸς τὸν Ἰ. τὸν ἀδ. τ. Κ. praebet. [2]) Quaedam excidisse videntur. [3]) Cod. ἅ. [4]) Aliquid excidit. [5]) Cod. ἦχα. [6]) Cod. ἄερως.

τάξεις τῶν δαιμόνων ἕως χάος τοῦ ᾅδου. καὶ τότε ὑπάγουσιν τὴν ἁμαρτωλὴν εἰς τὸν πύρινον ποταμὸν καὶ δέχεται τὴν ψυχὴν ὁ πύρινος ποταμὸς καὶ φλογίζεται ἡ ψυχὴ τὰς δυναστείας τῶν κολάσεων. καὶ ὅτε περάσει ἡ ψυχὴ τὸν ποταμὸν μελονομένη λέγει τὸ Ὑπὸ ἁμαρτωλῶν πλανηθέντα καὶ ταύτοις τοῖς βασάνους [1]) ὑποβληθέντα, ἀλλὰ Κύριε, Κύριε! μὴ εἴδω ταύτην τὴν κόλασίν ποτε. Καὶ παραμένει ἐκεῖ ἡμέρας τρεῖς καὶ θεωρεῖ τὸν βρυγμὸν τοῦ ποταμοῦ καὶ τὴν δύναμιν τῶν βασάνων καὶ τότε ἀπέρχεται ἡ ψυχὴ ὑπὸ τῶν ἀγγέλων καὶ προσκυνεῖ τὸν θρόνον τὸν τετράμορφον καὶ ἀπάγουν αὐτὸν οἱ ἄγγελοι εἰς τὸν σκώληκα τὸν ἀκοίμητον καὶ καταλείπουν τὴν ψυχὴν ὡς μὴ ἔχων (sc. ὁ σκώληξ) ἐξουσίαν καταβιβρώσκειν αὐτὴν ἕως τῆς δευτέρας παρουσίας τοῦ Κυρίου. Καὶ λέγει ἡ ἁμαρτωλὴ ψυχὴ μετὰ δακρύων· οὐαί μοι τῷ ἁμαρτωλῷ καὶ ἀμετανόητον [1]) ὅτι τῶν αὐτοῦ βασάνων ὑπεβλήθην! οὐαί μοι τῷ ἁμαρτωλῷ καὶ ἄφρωνι [2]) ὅτι ἤκουον τοῦ Εὐαγγελίου καὶ κατεγέλων τοὺς ἱερεῖς τοὺς ἡμῖν διαμαρτυροῦντας, ἤκουον τῶν προφητῶν καὶ ὡς μὴ ἀκούων αὐτοὺς ἐπολιτευόμην! οὐαί μοι τῷ ἁμαρτωλῷ! ἀλλὰ Κύριε, Κύριε, μὴ εἴδω τοῖς βασάνοις τούτοις πώποτε. καὶ παραμένει ἐκεῖ ἡμέρας θ' καὶ τότε ἀπέρχεται ὑπὸ τῶν ἀγγέλων καὶ προσκυνεῖ τὸν θρόνον τὸν πυρίμορφον καὶ ἀπάγουν αὐτὸν εἰς τὰς κολάσεις πάσας. καὶ ἀπὸ πάντων καταισχύνεται καὶ βοοῦν αἱ κολάσεις πρὸς αὐτόν· δεῦρο, ἄξιε τῶν ἑτέρων κολάσεων. οὐκ ἠθέλησας τὸ φῶς, δέχου τὸ σκότος. οὐκ ἠθέλησας παραδείσου τὴν χαράν, δέχου τῶν κολάσεων. Καὶ τότε θρηνεῖ ἡ ψυχὴ μετὰ δακρύων καὶ λέγουσα· οὐαί μοι τῷ ἁμαρτωλῷ τῷ πλανηθέντι ἐν ἁμαρτίαις καὶ μὴ μετανοήσαντι! καὶ παραμένει ἐκεῖ ἡ ψυχὴ ἡμέρας μ' καὶ ἀπάγεται ὑπὸ τῶν ἀγγέλων καὶ προσκυνεῖ τὸν θρόνον τοῦ Κυρίου· τότε ὁρᾷ τὸν Υἱὸν τοῦ θεοῦ καὶ λυπηθήσονται οἱ ἄγγελοι καὶ ἀρχάγγελοι ὅτι ὑπάγῃ ἡ ψυχὴ εἰς κόλασιν αἰώνιον μετὰ πονηρῶν ἀγγέλων. Καὶ γὰρ οὐκ εἰσὶν οἱ ἄγγελοι πονηροί, μὴ γένοιτο, ἀλλὰ διὰ τὰς πράξεις τῶν ἁμαρτωλῶν γενήσονται καὶ οἱ ἄγγελοι πονηροὶ καὶ ἀπάγουνται ἀπέναντι τῶν κολάσεων ὅπου μέλ(λ)ουν κολάζεσθαι εἰς ὅλους τοὺς αἰῶνας, καὶ θεωρεῖ τοὺς [3]) βασάνους ὅπου μέλ(λ)ουν κολάζεσθαι καὶ λέγει· Κύριε, Κύριε, ὁ

---

[1]) **Accusativus dativi loco.** [2]) **Cod. ἄφρων.** [3]) **Cod. τάς.**

ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν, μὴ ἔλθῃ ἡ δευτέρα παρουσία καὶ ὑποβληθῶ τῶν αὐτοῦ βασάνων.

Ἀλλὰ τοῦτο λέγω, Ἰάκωβε φίλε θεοῦ, ἁμαρτωλῶν ἀμετανοήτων θεὸς οὐκ εἰσακούει. Ὁ Ἰάκωβος λέγει πρὸς αὐτόν· Θεολόγε Ἰωάννη, ἀνάγγειλόν μοι καὶ περὶ τῶν δικαίω(ν) [1]). ὅταν δὲ χωρίζεται ἡ ψυχὴ ἐκ τοῦ σώματος αὐτοῦ λέγει· εὐχαριστῶ (σοι), θεέ μου, καλὲ βασιλεῦ οὐράνιε, ὅτι ἀπεχωρίσθην πηλίνου σώματος καὶ ἐφάνην ἐγὼ φωτεινὸς καὶ αὐτὸς κατάκειται ἐν γῇ διαλυθείσας ἦν ἄξια (sic)· καὶ γὰρ ἀπέρχομαι εἰς φῶς τοῦ παραδείσου ὡς οὐκ ἐπαρέβην ἐντολὴν τῶν ἱερέων οὔτε λόγους τοῦ ἁγίου Εὐαγγελίου. Καὶ τότε ἀπάγουν αὐτὸν ἐν τῷ ἀέρι καὶ θεωροῦντες αὐτὸν οἱ δαίμονες κατακρύπτονται ὡς οὐκ [2]) εἰσὶν ἄξιοι προσαπαντῆσαι τῷ δικαίῳ, ἀλλὰ μᾶλλον θεωροῦντες αὐτὸν μακρόθεν θρηνοῦντες ἄμετρα καὶ λέγουν· οὐαὶ ἡμῖν ὅτι οὐκ ἐσμὲν ἄξιοι μόνον ἵνα θεασώμεθα αὐτόν! καὶ ὑπάγουν αὐτὸν οἱ ἄγγελοι εἰς τὸν πύρινον ποταμὸν καὶ περνᾷ ὡς περιστερὰ πετάζουσα καὶ παραμένει ἐκεῖ ἡ ψυχὴ ἡμέρας τρεῖς καὶ λέγει οὕτως· εὐχαριστῶ σοι, Κύριε, ὅτι ἄσπιλος καὶ ἀκόλαστος τῶν βασάνων τούτων διεπέρασα. καὶ προσκυνεῖ τὸν θρόνον τὸν τετράμορφον, καὶ συνακολουθοῦσιν αὐτὸν οἱ ἄγγελοι καὶ ἀπάγουν αὐτὸν εἰς τὸν σκώληκα τὸν ἀκοίμητον, καὶ τότε βοοῦν αἱ κολάσεις· ἄπαγε ἀφ' ἡμῶν, ψυχὴ φωτεινή, μὴ ἐγγίσῃς ἡμῶν ὅτι οὐκ ἐσμὲν ἄξιοι. Καὶ τότε λέγει ἡ ψυχή· εὐχαριστῶ σοι, Κύριε, ὅτι αὐτῶν τῶν βασάνων ἀλλότριός εἰμι ἐγώ. καὶ παραμένει ἐκεῖ ἡμέρας θ'. καὶ τότε ἀπάγεται ὑπὸ τῶν ἀγγέλων καὶ προσκυνεῖ τὸν θρόνον τὸν τετράμορφον καὶ ἀκολουθοῦσιν αὐτὸν οἱ ἄγγελοι χαίροντες καὶ ἀγάλλοντες [3]) ὅτι αὐτῶν τῶν βασάνων οὐκ ἐστὶν [4]) ἄξιος ἵνα μόνον ὁρᾶν αὐτούς· ταῦτα περιμένουν τοὺς ἀμετανοήτους καὶ ἁμαρτωλούς. Καὶ παραμένει ἐκεῖ ἡ ψυχὴ ἡμέρας μ' καὶ τότε ἀπάγεται πάλιν καὶ προσκυνεῖ τὸν θρόνον τὸν τετράμορφον καὶ τότε ὁρᾷ τὸν Υἱὸν τοῦ θεοῦ καὶ τότε χαίρει ὁ Πατὴρ σὺν τῷ Υἱῷ καὶ τὸ ἅγιον Πνεῦμα καὶ πάντες οἱ ἄγγελοι καὶ οἱ ἀρχάγγελοι μετὰ λαμπάδων καὶ δόξης πολλῆς καὶ ἀπάγουν αὐτὸν ἐνώπιον τοῦ παραδείσου καὶ θεωρεῖ τὴν δόξαν

[1]) Plura excidisse videntur. [2]) Cod. ὡσεί. [3]) Cod. χαίρου καὶ ἀγάλλου. [4]) Cod. εἰσίν.

αὐτοῦ ἣν μέλλει λαβέσθαι καὶ λέγει· Κύριε, Κύριε, ἂς ἔλθῃ σύντομα ἡ δευτέρα παρουσία σου ἵνα λάβω τὴν δόξα(ν) μου. Καὶ ἔστιν μέσα τῶν ἁμαρτωλῶν καὶ τῶν δικαίων χάσμα μέγα καὶ ἐν τὸ χάσμα πῦρ φλέγων τοὺς ἁμαρτωλούς, πρὸς δὲ τοὺς δικαίους δρόσος καὶ δροσίζει αὐτούς. Καὶ λέγει αὐτῷ ὁ Ἰάκωβος· εἰπὲ ἡμῖν, εὐλογημένε δοῦλε τοῦ θεοῦ, Ἰωάννη Θεολόγε· καὶ πῶς μέλ(λ)ει σωθῆναι πᾶσα ψυχή, ὅτι οὐδεὶς ἀναμάρτητος; Καὶ λέγει αὐτῷ Ἰωάννης· ἄκουσον, ὦ Ἰάκωβε, σκληρὸς ὁ λόγος ὃν σὺ ἐρωτᾷς με. μαρτυρεῖ μοι ἅγιον Εὐαγγέλιον ὅτι ἔχων ἑκατὸν πρόβατα καὶ πλανηθῇ ἓν ἐξ αὐτῶν, οὐχὶ ἀφεὶς τὰ ἐνενήκοντα ἐν(ν)έα τῷ ὄρει πορευθῇ ζητῶν τὸ ἀπολωλὸς καὶ εὑρὼν [1]) αὐτὸν βαστάζῃ [2]) τοῦτον ἐπὶ τῶν ὤμων αὐτοῦ καὶ ἔρχεται ἐπὶ τοὺς φίλους καὶ ἀδελφοὺς αὐτοῦ λέγων ὅτι συγχάρητέ μοι ὅτι εὗρον τὸ ἀπολωλὸς πρόβατόν μου; Οὕτως καὶ ἐὰν πλανηθῇ τις ἐν ἁμαρτίᾳ καὶ πάλιν μεταστρέφεται καὶ ἐξέρχεται ἐν τῷ ἱερεῖ ἐξομολογούμενος τὰς ἁμαρτίας αὐτοῦ πάσας, τότε ὁ διάβολος αὐτοῦ φεύγει ἐκ τὴν θύραν τῆς ἐκκλησίας ἕως ᾅδου καὶ λέγει· οὐαί μοι ὅτι ἠπώλεσαν (=ἀπώλεσα) τὸν ἐμὸν φίλον. Καὶ τότε παραλαμβάνει αὐτὸν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τῆς δεξιᾶς χειρὸς καὶ λέγει τοῖς ἀγγέλοις αὐτοῦ· συγχάρητέ μοι ὅτι πρόβατον ἀπολωλόμενον ηὗρον. καὶ μεγάλη χαρὰ γίνεται ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ ἐπὶ ἁμαρτωλῷ μετανοοῦντι. καὶ ἐὰν μέλ(λ)ῃ αὔριον ἐξομολογήσασθαι καὶ ἀφῶν τὴν ἁμαρτίαν σήμερον κατοικεῖ τὸ ἅγιον πνεῦμα ἐν αὐτῷ. ὅτι ἐὰν ἁμαρτάνῃ ἄνθρωπος ἐκφεύξεται ἐξ αὐτὸν τὸ ἅγιον πνεῦμα καὶ παραστήκει αὐτὸν ὡς (σ)κιὰν (ν)υκτὸς καὶ ἡμέρας καὶ ἐκδέχεται τὴν ὀδύνην ἵνα κατοικῇ ἐν αὐτὸν καὶ ὁ Κύριος ἡμῶν. Οἰκτείρει ὁ προφήτης ὅτι· νεώτερος ἐγενόμην καὶ γὰρ ἐγήρασα καὶ οὐκ οἶδα δίκαιον ἐγκαταλελυμένον οὐδὲ τὸ σπέρμα αὐτοῦ ζητοῦν ἄρτους. Καὶ ἐγὼ Ἰωάννης λέγω ὅτι οἰκτειρήσει [3]) ὁ Κύριος Ἰησοῦς Χριστὸς ἐν τῇ δευτέρᾳ ἐλεύσει αὐτοῦ, οἰκτειρεῖ καὶ σώζει τὴν ψυχήν. Δείξω σοι ὑπόδειγμαν καὶ μὴ ἀφελπῇς (=ἀπελπίσῃς) ἀπὸ τῆς φιλανθρωπίας τοῦ θεοῦ. ἐάν τις καὶ μὴ ἀνωὰ (sic!) ἔχῃ ὑπόδειγμα, (ἰδὲ) τὸν Πέτρον, ὅτι τρίτον ἀρνησάμενος τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ πάλιν διὰ θερμῶν δακρύων ἐσυνεχω-

---

[1]) Cod. εὕρων. [2]) Cod. βαστάζης. [3]) Cod. οἰκτηρίτεσι.

ρήθη εὐθὺς καὶ οὐράνιος κλειδοῦχος ἐγίνετον διὰ τῆς θερμῆς μετανοίας. Ἐὰν ᾖ πόρνος, ἰδὲ τὴν Μαρίαν τὴν πόρνην ὅτι ἥμαρτεν εἰς ἄνδρας χιλίους ἑπτακοσίους τρεῖς καὶ οὐκ ἐγίνωσκεν ξένον οὔτε ἴδιον, ἀλλὰ ὀλιγοψύχη διὰ τῶν δακρύων [1]) ἐξήλειψεν πάσας τὰς ἁμαρτίας αὐτῆς. ἐὰν ᾖ φονεὺς καὶ μετανοῶν θερμῶς, ἰδὲ τὸν Μανασσὴν ὅτι τὸν υἱὸν αὐτοῦ εἰδώλων θυσίαν ἐποίησεν καὶ μετὰ σαράκοντα πρεσβυτέρους ἐφόνευσε καὶ τὸν Ἡσαΐαν ἐνέπρισε, ἀλλὰ διὰ ἐπιστροφῆς θερμῆς στεναγμῶν καὶ δακρύων μέχρι τῶν τεσσαράκοντα ἡμερῶν ὁ βυθὸς ἐγεμίσθη καὶ συνεχωρήσθη ἐκ τῶν πολλῶν ἁμαρτιῶν. ἰδὲ καὶ τὸν λῃστὴν ὅπου κλοπαὶ [2]) καὶ φόνοι καὶ αὐτὸς ἐνενήκοντα ἐννέα φόνους ἐποίησεν, ἀλλ' ἐν πίστει θερμῇ καὶ βοῇ μεγάλῃ ὅτι εἶπεν ἐν τῷ σταυρῷ· μνήσθητί μου, Κύριε, ἐν τῇ βασιλείᾳ σου, τὸν παράδεισον ἔλαβεν. Ἐὰν ᾖ μοιχός, ἰδὲ τὸν Δαυὶδ τὸν προφήτην ὅπου ἔλαβεν τὴν τοῦ Οὐρίαν γυναῖκαν, τὴν Βηρσαβεέ, καὶ ἔσχεν καὶ ἄλλαις ἐνενήκοντα ἐννέα. ἀλλ' ἐξωμο(λο)γήσατο ὀλοψύχως τὸν (Ν)άθαν τὸν προφήτην καὶ τὸ πύρινον ξίφος ἀποστράφη ἀπ' αὐτόν, καὶ καθέζεται θεοπάτωρ Καὶ πάλιν ἀποδείξω σοι τὸν Ἀνδρέαν Κρήτην ὅτι καὶ αὐτὸς ἐν τῇ μητρὶ αὐτοῦ ἐμοίχευσεν, ἀλλ' ἐν μετανοίας καθαρᾶς ὑμνῳδὸς καὶ ῥήτωρ τῶν θείων γραφῶν ἐγίνετον καὶ τὸν θρόνον τῆς ἐπισκοπῆς ἐδέξατο. Ἐὰν μάγος ἦν (=ᾖ) καὶ φονεύς, ἰδὲ τὸν Κυπριανὸν ὅτι καὶ αὐτὸς ἐκ γένους δαιμόνων ἐγέννατον καὶ χίλια τριάκοντα βρέφη ἀνήλωσεν καὶ ἄλλα ἑστατὸν ἐπὶ τὸ πλάτος ἐποίησεν, ἐξύσεν καὶ πολλοὺς ἐκ τὴν ὁδὸν τοῦ θεοῦ μετέστρεψεν. ἀλλὰ δι' ἐπιστροφῆς ὀρθῆς (καὶ) ἐξομολογήσεως [3]) θερμῆς τὰς δυνάμει(ς) τῶν δαιμόνων ἐνίκησεν καὶ σύνθρονος τοῖς ἐπισκόποις καὶ λειτουργὸς τοῦ θεοῦ ἐγένετον. Τοῦτον λέγω σοι· οὐαὶ τοὺς μὴ μετανοήσαντας ὅτι ἐν ἀνομίαις ἀποθανὼν Χριστοῦ ἀνάστασιν οὐ θεωρεῖ, ἀλλὰ κολάζεται μετὰ τῶν δαιμόνων εἰς τὸν ᾅδην, ὅτι, καθὼς φησι τὸ Εὐαγγέλιον, πᾶς γὰρ ὁ ποιῶν τὴν ἁμαρτίαν δοῦλός ἐστι τῆς ἁμαρτίας καὶ ἡ ἁμαρτία υἱὸς διαβόλου ἐστίν· παραλαμβάνει τοὺς ἀμετανοήτους ὁ διάβολος καὶ ἀπάγει αὐτοὺς τῷ διαβόλῳ τῷ πατρὶ αὐτοῦ. Ἐὰν δὲ ποιήσῃ θυσίαν ὁ ἁμαρτωλὸς πρὶν

---

[1]) **Ordinem mutavi, nam cod. διὰ τ. δακρ. ὀλιγ. praebet.** [2]) **Cod. κλόπται.**
[3]) **Cod. ἐξομολόγησις.**

μετανοήση παροξύνει τὸν Κύριον καθὼς φησιν ὁ προφήτης ὅτι· θυσία ἁμαρτωλοῦ βδέλυγμα Κυρίῳ καὶ ἡ προσευχὴ αὐτοῦ γενήσεται [1]). ἁμαρτάνῃ πεντηκοστὸς δὲ ἀμετανόητος ἐπικατάρατος, ὅτι λευκαίνουν αἱ τρίχας τῆς κεφαλῆς αὐτοῦ. ἐὰν δὲ ἁμαρτάνῃ γέρων ἄνευ τε τῆς γυναικὸς αὐτοῦ καλεῖται οὕτως ὅτι εἰς τὴν ἰδίαν θυγατέραν ἐπόρνευσεν ὅτι πατὴρ πάντων καλεῖται. ἥ τε καὶ γυνὴ ἐὰν λευκαίνουν τρίχας τῆς κεφαλῆς αὐτῆς καὶ πορνεύῃ καλεῖται οὕτως ὅτι μὲν εἰς τὸ ἴδιον τέκνον αὐτῆς ἐμοίχευσεν. Τοὺς δὲ μετανοοῦντας πάντας εἰσακούσεται Κύριος καὶ λέγει· οὐ θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τὸ ἐπιστρέψαι (αὐτὸν) καὶ ζῆσαι. λέγει γὰρ τὸ ἅγιον Εὐαγγέλιον ὅτι· ἄφες ἐκκόψαι τὴ(ν) συκὴν ἵνα σκάψαι περιποιοῦμαι ἐπ' αὐτῷ χρόνους τρεῖς καὶ ἐὰν οὐ καρποφορῇ ἔκκοψον αὐτὴν ἵνα μᾶλλον καὶ τὴν γῆν καταργῇ. Τὸ δένδρον ὁ ἁμαρτωλός ἐστιν, τὸ σκάψαι ὁ λόγος τοῦ ἱερέως, ὁ ἀμπελὼν ὁ κόσμος· ἐὰν οὐ μεταστρέφῃ καὶ φέρῃ καρπὸν καλόν, ἀπάγεται εἰς τὸ πῦρ τὸ αἰώνιον. Οὐαὶ τοὺς ἱερεῖς τοὺς ἁμαρτάνοντας καὶ οὐ μετανοοῦντας!

Λέγει αὐτῷ ὁ Ἰάκωβος· εἰπὲ ἡμῖν, Ἰωάννη, περὶ τῶν θησαυριζομένων ἐν ἐκκλησίαις καὶ ὄρεσι καὶ πτωχοῖς· τί ἐστιν ἀντάλλαγμα; Λέγει αὐτῷ Ἰωάννης ὁ ἀπόστολος· ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Κύριος. ἐὰν εἴ τι ἂν δώσῃ ἄνθρωπος, ἀπολαμβάνει ἑκατόν. ἐὰν ἔνι ἀσθενής, τὰ δὲ κουφίζονται καὶ τὰ ἐνενήκοντα ἀπολάβῃ. καὶ ἐὰν τελευτήσῃ ἄνθρωπος καὶ λέγῃ τῷ ὑπηρέτῃ αὐτοῦ· δὸς τὰ ὑπάρχοντά μου, τὸ μὲν ἕνα ἔχει ὁ ἠπίτροπος (=ἐπ-), ἡ δὲ μία μοῖρα ἔνι τοῦ ἀποθανόντος. Πληροφορήθητε, ἀδελφοὶ οἱ ἀκούοντες· μετὰ τὸ ἀποθανεῖν τὸν ἄνθρωπον μετάνοια οὐκ ἔστιν οὐδὲ συγχώρησις τῶν μετανοούντων. ἀλλὰ πάλιν λέγω ὑμῖν μὴ ἀπελπιστεῖν τοῦ θεοῦ ἡμῶν φιλανθρωπία(ν) ὅτι αὐτὸς εἶπε· τὸν ἐρχόμενον πρός με οὐ μὴ ἐκβάλω ἔξω. ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

---

[1]) Quaedam praetermissa sunt.

17. Лживыя молитвы.

Orationes falsae.

α'. Oratio in infirmos (=in servam Dei Mariam).

Δέσποτα Κύριε, ὁ ἰατρὸς τῶν νοσούντων καὶ θεὸς πάσης παρακλήσεως, ὁ μὴ βουλόμενος εἶναι τὸν ἄνθρωπον νοσερὸν ἢ κατώδυνον, ἀλλ' ἱλαρὸν καὶ ὑγιῆ ὁλοτελῆ, αὐτὸς καὶ τὴν δούλην σου Μαρίαν τὴν σωματικὴν ἀσθένειαν πεσοῦσαν καὶ ἐν ἀθυμίᾳ πάσῃ γεναμένη(ν) ἀνάστησον, οἴκτειρον, μὴ παρίδῃς, σβέσον τὸν πυρετόν, πράϋνον τὸ ἄλγος, ἀπέλασον τὴν ῥαθυμίαν. ὁ τὴν πενθερὰν τοῦ Πέτρου πυρήσσουσαν καὶ δεινῶς κατακειμένην καὶ ταύτην τῷ ῥήματί σου ἀναστήσας πρὸς τὸ διακονεῖν σοι, αὐτός, βασιλεῦ, πάρεσο καὶ νῦν ἐπὶ τὴν δούλην σου Μαρίαν καὶ καταπράϋνον τὸ ἄλγος τῆς ψυχῆς καὶ τὴν νόσον τοῦ σώματος. ὁ τὸν κορυφαιότατον τῶν ἀποστόλων δι' ἀγγέλου ἐξαγαγὼν ἐκ τῶν δεσμῶν τῆς φρουρᾶς, ὁ τὸν κήρυκα τῆς ἐκκλησίας Παῦλον τὸν ἀπόστολον ῥυσάμενος ἐκ τὴν τοῦ Νέρωνος βασιλέως τιμωρία(ν) αὐτὸς καὶ τὸν δοῦλόν σου λύτρωσαι τῆς συνεχούσης ὀδύνης· ὁ τὸν ἐπιστήθιον φίλον σου καὶ ἠγαπημένον Ἰωάννην καὶ Θεολόγον ῥυσάμενος ἐκ τῆς Πάτμου καὶ Ἀρτέμιδος, ὁ τὸν πάμφρωνα Νῶε ἐκ τοῦ φρικτοῦ καὶ πανολέθρου κατακλυσμοῦ διασώσας, αὐτὸς καὶ νῦν ἔκτεινόν σου τὴν ἀόρατον καὶ πνευματικὴν δεξιὰν καὶ ἀνάστησον τὸ πλάσμα σου ἐκ τῆς πλάνης ταύτης. ὁ τὸν ξενοδόχον καὶ δικαιότατον Ἀβραὰμ ῥυσάμενος πάσης θλίψεως καὶ ὀδύνης, ὁ τὸν μυρίαθλον Ἰὼβ ἐκ τῆς κοπρίας ἀναστήσας αὐτὸς ἀνάστησον καὶ τὴν δούλην σου Μαρίαν ἐκ τῆς περιεχούσης αὐτῆς σωματικῆς ἀσθενείας. ὁ τὸν νομοδότην καὶ δικαιότατον Μωϋσῆν ἐξ Αἰγύπτου καλέσας, ὁ τὸν ἠγαπημένον σου παῖδα Ἰσραὴλ ἐκ τῆς κακίστης καὶ πονηρᾶς δουλείας τοῦ πικροτάτου φαραὼ διασώσας αὐτὸς καὶ τὴν δούλην σου Μαρίαν βοήθησον, σβέσον τὸν πυρετόν, πράϋνον τὸ ἄλγος, πᾶσαν πονηρὰν ἀσθένειαν ἀπέλασον ἀπ' αὐτῆς καὶ ἔγειρον τὴν δούλην σου ἀπὸ κλίνης ὀδυνερᾶς (=-νη-) καὶ ἀπὸ στρωμνῆς κακώσεως. ὁ τὸν Ἰακὼβ ἐκ χειρὸς Ἠσαῦ διασώσας, ὁ τὸν Τοβὴτ ὀμματώσας

καὶ τὸ φῶς αὐτὸν χαρισάμενος, ὁ τὸν πάγκαλον Ἰωσὴφ ἐξ ἀδελφοκτόνων καὶ πονηρῶν πραθέντα κακῶς διασώσας, ὁ τὸν πάνσοφον Δαυὶδ καὶ θαυμαστὸν προφήτην ἐκ χειρὸς Σαοὺλ διασώσας· αὐτὸς καὶ τὴν δούλην σου τὴν ἐν ἀσθενείᾳ κατακειμένην καὶ τοῦ ἐλέους σου ἐπιδεομένην ἐλέησον, οἴκτειρον, ἀνάστησον, διαφύλαξον ἀπὸ παντὸς κακοῦ ἀπόστησον. ὁ τὸν δικαιότατον Δανιὴλ τὸν προφήτην ἐκ τῆς φοβερᾶς τῶν λεόντων ἁρπαγῆς διασώσας, ὁ τὸν Ἱερεμίαν ἐκ τοῦ ζωφεροῦ καὶ σκοτεινοῦ λάκκου ἀφαρπάσας, ὁ τοὺς τρεῖς παῖδας Ἀνανίαν, Ἀζαρίαν καὶ Μισαὴλ ἐκ τῆς ἑπτακαύστου καμίνου διασώσας καὶ τὸ πῦρ εἰς δρόσον μεταβαλών· αὐτὸς καὶ τὴν δούλην σου τῆς συνεχούσης ὀδύνης ἀπάλλαξον. ὁ τῶν τυφλῶν τὰ ὄμματα φωτίσας, ὁ τῶν λεπρῶν τὰς σάρκας καθαρίσας, ὁ τοὺς νεκροὺς ἀναστήσας· αὐτὸς ἀνάστησον, αὐτὸς ζωοποίησον καὶ μὴ ἀποδώσῃς ἡμῖν κατὰ τὰς ἁμαρτίας ἡμῶν. ὁ τὸν παράλυτον λόγῳ συσφίγξας, ὁ τὴν αἱμοῤῥοῦσαν ἰασάμενος, ὁ τὸν λεγεῶνα θεραπεύσας· αὐτός, Δέσποτα, πορακλήθητι παρακαλῶ, δυσωπήθητι παραινῶ, σπλαγχνίσθητι ἱκετεύω ὡς μακρόθυμος, μή με κατάγῃς εἰς ᾅδου ζῶντα, ἀλλ' αὐτός με ἀνάστησον τῇ ἀοράτῳ σου καὶ πνευματικῇ δεξιᾷ. Ἅγιοι τρεῖς παῖδες οἱ τὴν κάμινον σβέσαντες, ἅγιοι ἑπτὰ παῖδες οἱ ἐν Ἐφέσῳ οἱ ἐκ τῶν νεκρῶν ἀναστήσαντες, βοηθήσατε, ἅγιοι ἐννέα μάρτυρες οἱ ἐν Κυζίκῳ θαυματουργοῦντες, ἅγιοι δέκα μάρτυρες οἱ ἐν τῇ Κρήτῃ τελειωθέντες, ἅγιοι τεσσαράκοντα μάρτυρες οἱ ἐν Σεβαστείᾳ θαυματουργοῦντες, ἅγιοι τριάκοντα καὶ τρεῖς μάρτυρες ἀπὸ Ῥώμην, ἅγιοι τριακόσιοι δέκα καὶ ὀκτὼ θεοφόροι πατέρες οἱ ἐν Νικαίᾳ τῇ πόλει θαυματουργοῦντες, ἅγιοι οἱ μύριοι ἄνδρες οἱ ἐν Θεολόγῳ (sic) τελειωθέντες. ἅγιε Θεράπων ἀπὸ Σμύρνην, ἅγιε Παρθένιε ἀπὸ Λάμψακον, ἅγιε Ἰουλιανὲ ἀπὸ Καισαρίαν, ἅγιε Λεόντιε ἀπὸ Τρίπολιν, ἅγιε Δημήτριε ἀπὸ Θεσσαλονίκην, ἅγιε Γεώργιε ἀπὸ Καππαδοκίαν, ἅγιοι ἀνάργυροι Κωσμᾶ καὶ Δαμιανὲ καὶ Παντελεήμων, Κύρε καὶ Ἰωάννη, Σαμψὼν καὶ Διομήδους (sic), Φλόρε καὶ Λαῦρε καὶ Ἑρμόλαε. ἅγιε Ἀνδρόνικε σὺν τῇ ἁγίᾳ Ἀθανασίᾳ, ἅγιοι ὁμολογῆται ἀπὸ Ἐδέσσαν τὴν πόλιν, Γούρια, Σαμωνᾶ καὶ Ἄβιβε, οἱ τὴν κόρην ἐκ τοῦ τάφου ἁρπάσαντες καὶ πρὸς τὴν πατρίδα αὐτῆς ἀπαγαγόντες. ἅγιε Ἀκίνδυνε πρόφθασον, ἅγιε Ἀφθόνιε ἐπισκίασον, ἅγιε Ἐλπιδιφόρε ἀνάστησον, ἅγιε Ἀνεμπόδιστε μὴ παρίδῃς, ἅγιοι

ἀνάργυροι προφθάσατε, ἅγιε Παντελεήμων ἀρχιατρὲ ἐπισκίασον, ἅγιοι Κύρε καὶ Ἰωάννη προφθάσατε, ἅγιε Ἀγαπητὲ ἀπὸ Συναώ, ἅγιε Ἰωάννη Θεολόγε, ἅγιε Πέτρε ἀπὸ Ρώμην, ἅγιε Παῦλε ἀπὸ Δαμασκόν, ἅγιε Εὐθύμιε ἀπὸ Μάδητον, ἅγιε Νικόλαε ἐκ τὰ Μύρα, ἅγιε Βασίλειε ἀπὸ Καισαρίαν, ἅγιε Ἐπιφάνιε ἀπὸ Κύπρον [1]), ἅγιε Ἰωάννη Χρυσόστομε, ἅγιε Θύρσε, Λεύκιε καὶ Φιλήμων, ἅγιε Ἀλύπιε καὶ Προκόπιε, ἁγία δέσποινα Θεοτόκε ἀπὸ Ἀθήνας, ἁγία Ἀναστασία φαρμακολύτρια, ἁγία Βαρβάρα ἀπὸ Πάτρας, ἁγία Μαρίνα ἡ τὸν δαίμονα πατήσασα, ἁγία πρωτομάρτυς Θεοφανοῦ ἀπὸ Κωνσταντινούπολιν, ἁγία Αἰκατερίνα ἀπὸ Ἀλεξανδρείαν, ἅγιε Ἰωάννη προφῆτα καὶ Πρόδρομε καὶ Βαπτιστὰ τοῦ Χριστοῦ, ἅγιοι προφῆται, ἀπόστολοι, μάρτυρες, ὅσιοι καὶ δίκαιοι, πᾶσαι αἱ οὐρανίαι δυνάμεις τῶν ἁγίων ἀγγέλων καὶ ἀρχαγγέλων, ἀρχαί, ἐξουσίαι καὶ τὰ πολυόμματα χερουβὶμ καὶ τὰ ἑξαπτέρυγα σεραφίμ, ἡ ἀκατάληπτος δύναμις τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, προσπέσατε, δυσωπήσατε τὸν μόνον ὑπεράγαθον θεὸν ὅπως δωρήσητε τὴν δούλην τοῦ θεοῦ Μαρίαν ὑγείαν καὶ σωτηρίαν καὶ ἄφεσιν τῶν συνεχομένων κακῶν καὶ ἀπελάσατε ταύτην τὴν χαλεπὴν ἀσθένειαν ἀπὸ τὴν δούλην τοῦ θεοῦ Μαρίαν· πυρετόν, ἐσωπύρετον, ῥίγους κραταιοῦ, ῥίγους βραχέος [2]), ῥίγους λυμαντικοῦ, νόσος βλαβερά, νόσος χαλεπή, νόσος δεινὴ προσγινομένη, ἐπιπεμπτικὴ καὶ πεποιημένη. ἐξορκίζω ὑμᾶς τὰς οβ' ἀσθενείας, ἃς ἔχει ὁ ἄνθρωπος, ἀναχωρεῖν ἀπὸ τὴν δούλην τοῦ θεοῦ Μαρίαν, μὴ ἀπὸ οὐρανοῦ κατῆλθεν ἡ ἀσθένεια ἢ ἀπὸ ἀστέρων ἢ ἀπὸ ἡλίου ἢ σελήνης, μὴ ἀπὸ ζώφου νεφέλης, μὴ ἀπὸ κρυεροῦ ἀέρος, μὴ ἀπὸ βροντῆς ἢ ἀπὸ ἀστραπῆς κατῆλθε, μὴ ἀπὸ σεισμοῦ ἢ κτύπου καὶ συμπτωμάτων, μὴ ἀπὸ ὀρέων κοιλάδων ἢ φάραγξ ἢ πλαγίων, μὴ ἀπὸ βουνοῦ ἢ κάμπου ἢ πεδίων, μὴ ἀπὸ λίθου ἢ ὕδατος ἢ πηγῆς ἢ ὁδοῦ ἢ ποταμοῦ ἢ χώρας ἢ ἀγροῦ ἢ περιβολίου, μὴ ἐν κήπῳ ἢ ἐν παραδείσῳ, μὴ ἐν διόδοι(ς) ἢ ἐν τριόδοι(ς), μὴ ἐν εἰσόδοις ἢ ἐν ἐξόδοις, μὴ ἐν αὐλῇ λουτροῦ ἢ φούρνου ἢ τρωχάλου, μὴ ἐν θύρᾳ ἢ ἐν θυρίδι ἢ ἀνωγέων ἢ κατωγέων ἢ αὐλῆς ἢ ἀλωνίου, καὶ ἦλθες πειρᾶσαι τὴν δούλην τοῦ θεοῦ. μή τις ἐπαοιδὸς φθόνῳ εἰργάσατο ἢ περιεποιήσατο ἢ ἀπὸ φαρμάκου ἢ φθόνου ἢ ζήλου, μὴ ἀπὸ βαρέων

---

[1]) Cod. repetit ἅγιε Ἐπιφάνιε quod omisi. [2]) Cod. βραχύ.

αἰσχρῶν ὀφθαλμῶν, μὴ ἀπὸ βασκοσύνης καὶ πάσης ἄλλης συμφορᾶς ἐπερχομένης, μὴ πρηστηριακὸν ἢ βουβιατικὸν ἢ ἐπιπεμπτικὸν ἢ κεφαλικὸν ἢ χειρῶν καρδίας καὶ ποδῶν ἢ δαιμονικὸν φασματικὸν ἢ καλὶς τῶν ὀρέων, μὴ ὀνοσκελιακὸν ἢ νεραΐδων, μὴ τῶν ἐν ζώφῳ ἀέρων πετωμένων καὶ ἤλθατε ἀδικῆσαι τὴν δούλην τοῦ θεοῦ. μὴ κεφαλόπονον ἢ ὀφθαλμόπονον ἢ ὀδοντόπονον ἢ στηθόπονον ἢ φρενόπονον ἢ χειρόπονον. μὴ δυσουρίας ἢ τρισουρίας ἢ ἐνσόχασιν ἢ ἐξόχασιν ἢ ὑστέρα(ν) ἢ στρόφου ἢ ἁρμόπονον ἢ τζίρματος ὁμαλικὸν ἢ ἄϋπνον ἢ πολύϋπνον. ἐξορκίζω ὑμᾶς εἴ τι ἂν ἐστιν ἀδικῶν τὴν δούλην τοῦ θεοῦ· ἀναχωρήσατε καὶ ἀπέλθατε εἰς τὰ ἄγρια ὄρη ὅπου ἂν εἶσαι κατακείμενον καὶ ἀδικῶν τὴν δούλην τοῦ θεοῦ. ἀναχωρήσατε καὶ ἀπέλθατε εἰς τὰ ἄγρια ὄρη μὴ ἐν τρίχεσι κεφαλῆς, μὴ ἐν μυελοῦ κάρας, μὴ ἐν κρανίου ἢ ἡμικράνου, μὴ ἐν μετώποις ἢ κροτάφοις ἢ βλεφάροις ἢ φρεσίν, μὴ ἐν μυκτήραις ἢ ὠτίοις, μὴ ἐν στόμασιν ἢ μύλεσιν ἢ χείλεσιν ἢ ὀδοντίοις, μὴ ἐν τραχήλοις ἢ ὠμοπλάταις χειρῶν, μὴ ἐν στήθοις ἢ φλεγμονίοις ἢ καρδίᾳ καὶ πᾶσα ὑγρίς, μὴ ἐν ῥάχεσι καπούλοις ἢ ὀμφαλοῖς καὶ ὑπογάστροις, μὴ ἐν γόνασι ποδῶν ἢ ἀστραγάλοις [1]) ἢ δακτύλοις καὶ ὀνύχοις ὅπου ἐὰν κατακείμενον καὶ ἀδικῶν καὶ ἐμφωλεῦον αὐτῇ, ἀναχώρησον καὶ ἄπελθε ἐπὶ τὰς τῶν ποιησάντων κεφαλὰς καὶ ἐπιπέμψαντα καὶ τῶν συνειδότων, μήτε ξένος ἐποίησεν ἢ ἴδιος ἢ παραδότης ἢ δοῦλος ἢ ἐλεύθερος, μὴ φαρμακοπάσιδος, μὴ γυλοῦ ἢ στρίγγος ἢ στρίγγα ἢ φθονερὸς ἄνθρωπος. ἐξορκίζω ὑμᾶς, πάντα τὰ ἀκάθαρτα παθήματα, κατὰ τοῦ μεγάλου ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ κατὰ τῆς ἀχράντου αὐτοῦ κορυφῆς καὶ κατὰ τῆς κραταιᾶς αὐτοῦ δεξιᾶς, ἀναχώρησον ἀπὸ τὴν δούλην τοῦ θεοῦ. ὁρκίζω σε κατὰ τοῦ κρεμάσαντος τὴν γῆν ἐπὶ τῶν ὑδάτων, ὁρκίζω σε κατὰ τοῦ θεμελιώσαντος τοὺς οὐρανοὺς ἐν ἀβάτοις εἰλίξιν, ὁρκίζω σε εἰς τὸν θρόνον τοῦ θεοῦ τὸν ἀσάλευτον, ὁρκίζω σε κατὰ τῶν μακαρίων δυνάμεων καὶ ἀύλων ταγμάτων, ὁρκίζω σε κατὰ τῶν τεσσάρων ἀρχαγγέλων Μιχαήλ, Γαβριὴλ καὶ Οὐριὴλ καὶ Ραφαήλ, ὁρκίζω σε κατὰ τῶν εἴκοσι τεσσάρων πρεσβυτέρων τῶν λειτουργούντων τὸν θρόνον τοῦ θεοῦ, ὁρκίζω σε κατὰ τῶν δώ-

---

[1]) Cod. ἀστραγγάλοις.

δεκα ἀποστόλων· ἔξελθε καὶ ἀναχώρησον ἀπὸ τὴν δούλην τοῦ θεοῦ Μαρίαν καὶ δὸς αὐτήν, Δέσποτα Κύριε, ὑγείαν, ζωήν, εἰρήνην, μακροημέρευσιν ὅπως δοξασθῇ καὶ παρ' αὐτῆς τὸ πανάγιον ὄνομά σου τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

β'. Εὐχὴ λεγομένη εἰς ἀσθενεῖς ἐὰν οὐ κοιμοῦνται.

Θεὸς ὁ μέγας, ὁ αἰνετὸς καὶ ἀκατάληπτος καὶ ἀνεκδιήγητος, ὁ πλάσας τὸν ἄνθρωπον τῇ ἰδίᾳ σου χειρὶ χοῦν λαβὼν ἀπὸ τῆς γῆς καὶ εἰκόνι τῇ σῇ τιμήσας αὐτόν, Κύριε Ἰησοῦ Χριστέ, τὸ ἐπιπόθητον ὄνομα τοῦ παναγίου καὶ ζωοποιοῦ σου πνεύματος, ἐπιφάνηθι, Κύριε, ἐπὶ τὸν δοῦλόν σου ὁδεῖνα καὶ ἐπίσκεψαι αὐτὸν ψυχῇ καὶ σώματι δυσωπούμενος ὑπὸ τῆς πανενδόξου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀεὶ παρθένου Μαρίας, τῶν ἁγίων καὶ ἐπουρανίων δυνάμεων, τοῦ ἁγίου καὶ ἐνδόξου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων καὶ πάντων τῶν ἁγίων, ἐπίσκεψαι τὸν δοῦλόν σου ὁδεῖνα καὶ δὸς αὐτῷ ὕπνον ἀνέσεως, ὕπνον χρηστόν, ὕπνον ἀγαλλιάσεως, ὕπνον ἡδύτητος καὶ ῥώσεως καὶ σωτηρίας. καὶ ὡς ἐπεσκέψω ποτὲ Ἀβιμέλεχ τὸν θεράποντά σου ἐν τῷ ἀγρῷ τοῦ Ἀγρίππα καὶ ἔδωκας αὐτὸν ὑπ-

Εὐχὴ τῶν ἁγίων ἑπτὰ παίδων εἰς ἀσθενῆ καὶ μὴ ὑπνοῦντα.

(I. Goar: Εὐχολόγιον sive rituale Graecorum, pp. 703—704. Lutet. Paris. 1647).

Ὁ θεὸς ὁ μέγας καὶ αἰνετός, ἀκατάληπτος καὶ ἀνεκδιήγητος, ὁ πλάσας τὸν ἄνθρωπον τῇ χειρί σου χοῦν λαβὼν ἀπὸ τῆς γῆς καὶ τῇ εἰκόνι τῇ σῇ τιμήσας αὐτόν. Ἰησοῦ Χριστέ, τὸ ἐπιπόθητον ὄνομα σὺν τῷ ἀνάρχῳ σου πατρὶ καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ σου πνεύματι, ἐπιφανήθητι ἐπὶ τὸν δοῦλόν σου τόνδε καὶ ἐπίσκεψαι αὐτὸν ψυχῇ καὶ σώματι δυσωπούμενος ὑπὸ τῆς πανενδόξου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀεὶ παρθένου Μαρίας, τῶν ἁγίων ἐπουρανίων δυνάμεων ἀσωμάτων καὶ τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τῶν ἐν ἁγίοις πατέρων ἡμῶν καὶ οἰκουμενικῶν διδασκάλων Βασιλείου τοῦ μεγάλου,

νον παραμυθίας τοῦ μὴ ἰδεῖν τὴν πτῶσιν Ἱερουσαλὴμ καὶ τοῦτον κοιμήσας [1]) ὕπνον θρεπτικὸν ἔτη ἑβδομήκοντα καὶ πάλιν οὗτον ἀναστήσας ἐν μιᾷ καιροῦ ῥοπῇ εἰς δόξαν τῆς σῆς ἀγαθότητος, ὁ τοὺς ἁγίους σου καὶ πανενδόξους μάρτυρας καὶ ὁμολογητὰς τῆς σῆς ἐπιφανείας ἑπτὰ παῖδας Μαξιμιλιανόν, Ἐξακουστοδιανόν, Ἰάμβλιχον, Ἀντώνιον, Μαρτῖνον, Διονύσιον καὶ Ἰωάννην ἐν ταῖς ἡμέραις Δεκίου τοῦ βασιλέως καὶ ἀποστάτου τούτους κοιμήσας ἐν τῷ ὄρει νωχ(ε)λῶς εἰς τὸ σπήλαιον ἔτη τριακόσια ἑβδομήκοντα καὶ δύο ὥς τι βρέφος θάπτεται ἐν ν(η)δύϊ τῆς μητρὸς αὐτοῦ μηδ' ὅλως ὑπο(μεί)ναντος [2]) φθοράν, εἰς ἔπαινον καὶ δόξαν τῆς παλιγγενεσίας καὶ ἀναστάσεως πάντων· αὐτὸς οὖν, φιλάνθρωπε βασιλεῦ, πάρεσο καὶ νῦν διὰ τῆς ἐπιφοιτήσεως τοῦ ἁγίου σου πνεύματος καὶ δὸς τῷ δούλῳ ὁδεῖνα ὑγείαν, ῥῶσιν καὶ εὐρωστία(ν) διὰ τῆς σῆς ἀγαθότητος, ὅτι παρὰ σοῦ ἐστιν πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον· σὺ γὰρ εἶ ὁ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ παρέχοντι Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου καὶ Κυρίλλου, Νικολάου τοῦ ἐν Μύροις, Σπυρίδωνος τοῦ θαυματουργοῦ καὶ πάντων τῶν ἁγίων ἱεραρχῶν. τοῦ ἁγίου ἀποστόλου πρωτομάρτυρος καὶ ἀρχιδιακόνου Στεφάνου, τῶν ἁγίων ἐνδόξων καὶ μεγαλομαρτύρων Γεωργίου τοῦ τροπαιοφόρου, Δημητρίου τοῦ μυροβλύτου, Θεοδώρου τοῦ στρατειλάτου καὶ πάντων τῶν ἁγίων μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν Ἀντωνίου, Εὐθυμίου, Σάββα τοῦ ἡγιασμένου, Θεοδοσίου κοινοβιάρχου, Ὀνουφρίου, Ἀρσενίου, Ἀθανασίου τοῦ ἐν τῷ Ἄθῳ, καὶ πάντων τῶν ὁσίων, τῶν ἁγίων καὶ ἰαματικῶν ἀναργύρων Κωσμᾶ καὶ Δαμιανοῦ, Κύρου καὶ Ἰωάννου, Παντελεήμονος καὶ Ἑρμολάου, Σαμψὼν καὶ Διομήδους, Θαλαλέου καὶ Τρύφωνος καὶ τῶν λοιπῶν τοῦ ἁγίου τοῦδε καὶ πάντων σου τῶν ἁγίων. καὶ δὸς αὐτῷ ὕπνον ἀνέσεως, ὕπνον σωματικὸν ὑγείας καὶ σωτηρίας καὶ ζωῆς καὶ ῥῶσιν ψυχῆς καὶ σώματος. καὶ ὡς ἐπεσκέψω ποτὲ Ἀβιμέλεχ τὸν θεράποντά σου ἐν τῷ ναῷ τοῦ Ἀγρίππα καὶ ἔδωκας αὐτῷ ὕπνον παραμυθίας τοῦ μὴ ἰδεῖν τὴν πτῶσιν Ἱερουσαλήμ, καὶ τοῦτον κοιμήσας ὕπνον θρεπτικόν, καὶ πάλιν τοῦ-

---

[1]) Cod. add. ἰδεῖν quod omisi. [2]) Quas uncis inclusi litterae evanuerunt.

τι τῷ αἰτοῦντι τὴν ἴασιν, τῷ παιδεύοντι καὶ πάλιν ἰωμένῳ τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

γ΄. Εἰς ὕπνον. Κύριος ὁ θεὸς ἡμῶν, ὁ κοιμήσας τοὺς ἁγίους ζ′ παῖδας ἐν τῷ ὄρει τῶν Ἐφεσίων ἔτη τοβ΄ [1]) ὧν τὰ ὀνόματά εἰσιν ταῦτα· Ἐξακουστοδιανός, Μαξιμιανός, Ἰάμβλιχος, Διονύσιος, Ἀντώνιος, Ἐξάκουστος καὶ Ἰωάννης, κοίμησον καὶ τὸν δοῦλόν σου ὁδεῖνα ὕπνον αἰνέσεως, ὕπνον ὑγείας καὶ σωτηρίας εἰς τὸ ὄνομαν τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. Τοῦ Χριστοῦ γεν(ν)ηθέντος πᾶσα πνοὴ ἡσύχασεν, οὕτως καὶ σὺ φρῖξον, ὕπνε, εἰς τὸ ὄνομαν τῆς ἁγίας Τριάδος, εἰς τὸ ὄνομα τῶν ἁγίων ζ′ παίδων, ἀμήν.

δ′. Εἰς ὕπνον ὅταν δὲν ἠμπορεῖν ὁ ἄῤ(ῤ)ωστος νὰ κοιμηθῇ λέγε τὴν εὐχὴν ταύτην.

Δέσποτα Κύριε Ἰησοῦ Χριστέ, ὁ θεὸς ἡμῶν, ὁ κοιμήσας Βαροὺχ καὶ Ἀβιμελὲχ χρόνους ἑβδομήκοντα καὶ φυλάξας αὐτοὺς σώους καὶ ὑγιεῖς, οὕτως, Κύριε, κοίμησον καὶ τὸν δοῦλόν σου τὸν ἀναστήσας ἐν μιᾷ καιροῦ ῥοπῇ εἰς δόξαν τῆς σῆς ἀγαθότητος. ἀλλὰ καὶ τοὺς ἁγίους σου ἐνδόξους ἑπτὰ παῖδας ὁμολογητὰς καὶ μάρτυρας τῆς σῆς ἐπιφανείας ἀναδείξας ἐν ταῖς ἡμέραις Δεκίου τοῦ βασιλέως καὶ ἀποστάτου, καὶ τούτους κοιμήσας ἐν τῷ σπηλαίῳ ἔτη τριακόσια ἑβδομήκοντα δύο ὡσεὶ βρέφη θάλποντα ἐν τῇ νηδύϊ τῆς αὐτῶν μητρὸς καὶ μηδ᾽ ὅλως ὑπομείναντα φθοράν, εἰς ἔπαινον καὶ δόξαν τῆς φιλανθρωπίας σου καὶ εἰς ἔνδειξιν καὶ βεβαίωσιν ἡμῶν τῆς παλιγγενεσίας καὶ ἀναστάσεως πάντων· αὐτὸς οὖν, φιλάνθρωπε βασιλεῦ, πάρεσο καὶ νῦν διὰ τῆς ἐπιφοιτήσεως τοῦ ἁγίου σου πνεύματος καὶ ἐπίσκεψαι τὸν δοῦλόν σου τόνδε καὶ δώρησαι αὐτῷ ὑγείαν, ῥῶσιν καὶ εὐρωστίαν διὰ τῆς σῆς ἀγαθότητος, ὅτι παρά σοῦ ἐστι πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον· σὺ γὰρ εἶ ὁ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν καὶ σοὶ τὴν δόξαν καὶ εὐχαριστίαν καὶ προσκύνησιν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

---

[1]) Cod. ͵γοθ′.

ὁδεῖνα ὕπνον ζωῆς, ὕπνον ἐλαφρόν, ὕπνον ἀναπαύσεως ἵνα ὑμνῆταί σου τὸ πανάγιον ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.·. Ἡ ἐλπὶς αὐτοῦ ὁ θεός, καταφυγὴ ὁ Χριστός, σκέπη καὶ βοηθὴ αὐτοῦ τὸ πνεῦμα τὸ πανάγιον. Τριὰς ἁγία, δόξα. στῶμεν καλῶς, στῶμεν μετὰ φόβου [1]) θεοῦ ἡμῶν, ἀμήν.

ε΄. Εὐχὴ λεγομένη εἰς κλέπτην.

Δέσποτα Κύριε Ἰησοῦ Χριστέ, ὁ θεὸς ἡμῶν, ὁ καταπέμψας τὸν ἅγιόν σου ἄγγελον ἐπὶ τὸν λάκκον τοῦ ἁγίου σου προφήτου Δανιὴλ καὶ φράξας τὰ στόματα τῶν λεόντων, αὐτός, ὦ πανάγαθε Κύριε, κατάπεμψον τοῦτον καὶ ἐφ' ἡμᾶς ὥστε ἐλθεῖν καταφιμῶσαι τὸ στόμα τοῦ κλέψαντος τὸ πρᾶγμα τοῦ δεῖνος καὶ γενέσθαι αὐτὸν ἄλαλον καὶ κωφὸν καὶ βωβὸν [2]) ἕως ἂν ὁμολογήσῃ αὐτὸ εἰς δόξαν πατρός, υἱοῦ καὶ ἁγίου πνεύματος. στῶμεν καλῶς, στῶμεν μετὰ φόβου.·. Πρὸ τῆς εὐχῆς λαμβάνει ὁ ἱερεὺς ὅνπερ ἐφύλαξεν ἄρτον τῆς μεγάλης πέμπτης καὶ μετὰ τὸ εἰπεῖν τὴν εὐχὴν δίδωται τῶν ὑπόπτων ἡ ἀναφορά· καὶ εἰ μέν ἐστιν ὁ ἄνθρωπος καθαρός, τρώγει τὸν ἄρτον ἀνεμποδίστως, εἰ δ' οὖν (=δ' οὔ), ἵσταται εἰς τὸν λαιμὸν αὐτοῦ πνίγων αὐτόν.

ς΄. Εὐχὴ τοῦ ἁγίου Παύλου εἰς τὸν δάκνοντα ὄφιν.

Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος ἐγὼ Παῦλος διώκτης καὶ λιθοβολιστὴς γέγονα τῶν τιμίων σκευῶν καὶ ἐξῆλθον ἐν τῷ θάρσει μου εἰς Σικελίαν καὶ συνάξας φρυγάνων πλῆθος ἐξαίφνης ἐκεῖθεν ἔχιδνα ἐξελθοῦσα ἐκ τῆς γῆς ἐκρεμάσθη εἰς τὸν δεξιόν μου ἀντιδάκτυλον. ἐγὼ δὲ πνεῦμα ἅγιον ἔχων ἀπετίναξα αὐτὴν ἐν τῇ φλογὶ τῇ ἀναφθείσῃ καὶ ἔκαιεν μετὰ τῶν φρυγάνων, ἐγὼ δὲ μηδὲν παθὼν δεινὸν ἐκ τοῦ δείγματος εἰς ὕπνον ἐτράπην. Καὶ ἐλθὼν ὁ ἀρχάγγελος Μιχαὴλ ἐξεφιώνησέ μοι λέγων· Παῦλε, Παῦλε, ἔγειρε καὶ δέξαι τὴν βίβλον ταύτην καὶ εὑρήσεις ἐν αὐτῇ ἱστορίαν γεγραμμένην οὐχ ὑπὲρ [3])

---

[1]) Cod. notat $\overline{\sigma\tau\mu}$ $\overline{\kappa\lambda}$ $\overline{\sigma\tau\mu}$ $\overline{\mu\tau}$ $\overline{\varphi\beta}$. [2]) Hodiernis (ὁ, ἡ, τὸ) βουβός (mutus).
[3]) Cod. γεγρ· οὐπέρ.

ἑνὸς παθόντος, ἀλλ' ὑπὲρ πολλῶν. Καὶ περὶ ὄρθρου ἀναστὰς ἐδεξάμην τὴν βίβλον ταύτην ἧς ἐνυπῆρχεν γεγραμμένον οὕτως· ἐξορκίζω [1]) ὑμᾶς, τὰς ἑξήκοντα πέντε ἥμισυ γενεὰς τῶν θηρίων τῶν ἑρπόντων ἐπὶ τῆς γῆς, εἰς τὸν θεὸν τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν, καὶ εἰς τὸν θρόνον τὸν ἀληθινὸν καὶ εἰς τὸν πύρινον ποταμὸν τὸν ἐξερχόμενον ἐκ τοῦ (ὑ)ποποδίου τῶν ποδῶν τοῦ Κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ εἰς τὸ πλῆθος τῶν ἁγίων ἀγγέλων αὐτοῦ· ὄφιν τὸν βλάπτοντα καὶ τὸν βασιλίσκον δράκοντα τὸν γενναῖον, ὄφιν τετραχάλινον [2]), ὄφιν τὸν δε(ν)δροαναβάτην, ὄφιν τὸν δωδεκαχάλινον, ὄφιν τὸν λαγοδρόμονα, ὄφιν τὸν νεφελοειδῆν, ὄφιν τὸν τυφλὸν καὶ ἀόμματον, ὄφιν τὸν κορακοειδῆ [3]) καὶ ἔχιδναν τὴν σκολίαν τὴν ἔχουσαν τὰ φάρμακα εἰς τὴν δεξιὰν αὐτῆς σιαγῶνα· ὃν ἂν δάκνῃ ἄνθρωπον ἀδύνατόν ἐστιν τοῦ ὑγιᾶναι. ἔτι δὲ καὶ ὄφιν τὸν σκορπίον τὸ ἀποφύσισμα τοῦ διαβόλου, ἐπεὶ δὲ καὶ τὰς εἴκοσι τέσσαρας γενεὰς τοῦ ἀσπαλάγγου. Ἕως οὗ φθάσῃ τοῦ πιστοῦ καὶ κεχαρισμοῦ Παύλου τοῦ ἀποστόλου τὸ ἀφόρκισμα καὶ ἡ ἐπιτίμησις δειχθῇ, εὐθέως ἰαθήσεται εἰς δόξαν θεοῦ, ἀμήν.

Αὐτὰ ἐξόρκισον ὕδωρ καθαρόν, πότισον καὶ ἄλειψον τὸν ἀδικηθέντα, εἰ δέ ἐστι μήκοθεν ὁ ἀδικηθείς, τὸν λαλήσαντα πότισον καὶ ἰαθήσεται ὁ ἀδικηθείς.

ζ'. Περὶ ῥεύματος καὶ πόνου κεφαλῆς λέγε τὴν εὐχὴν ταύτην.

Κύριε Ἰησοῦ Χριστέ, ὁ θεός, ἐλέησον ἡμᾶς. Τρεῖς ἄγγελοι διηπόρουν τοῦ Σινᾶ τὸ ὄρος εὑρόντος τὸ ῥεῦμα ἠρώτησαν αὐτό· ποῦ ἀπέρχῃ, ῥεῦμα; ὁ δὲ ἀποκριθεὶς εἶπεν· ἐγὼ ἀπέρχομαι εἰς τοὺς υἱοὺς τῶν ἀνθρώπων ὥστε βραχίονας καὶ πόδας καὶ σάρκας σὺν τῇ κεφαλῇ καὶ τοῖς σώμασι τὰ μὲν ξηραίνω, τὰ δὲ κρυόσω, τὰ δὲ ῥεύματα πιεῖν ποιήσω. Εἶπα(ν) δὲ οἱ ἄγγελοι τοῦ θεοῦ· ἐξορκίζομε(ν) σε, ῥεῦμα, εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος καὶ διὰ τῶν ἐπουρανίων δυνάμεων καὶ

---

[1]) Cod. ἐξορκίσω. [2]) Cod. τετραχύλινον. [3]) Cod. κονακυδῆ.

διὰ τῶν δ' εὐαγγελιστῶν καὶ τῶν δώδεκα ἀποστόλων τοῦ Χριστοῦ καὶ διὰ τῶν ἁγίων πάντων τοῦ θεοῦ ἀπὸ τοῦ νῦν μὴν (=μὴ) ἔχειν ἐξουσίαν κακοποιῆσαι ἢ βλάψαι τὸν δοῦλον τοῦ θεοῦ ὁδεῖνα. ἢ τὴν δούλην λέγε τοῦ θεοῦ, μήτε βραχίονας αὐτοῦ ξηρᾶναι μήτε ὀδόντας μήτε σάρκας χρυόσει(ν) μήτε μέλων ῥεύμασιν (sic) ποιῆσαι μήτε κεφαλὴν πονέσει(ν). Στῶμεν καλῶς, στῶμεν μετὰ φόβου [1]) θεοῦ ἡμῶν, ἀμήν. Λέγε τὸ τρισάγιον, παναγία Τριάς, τὸ Πάτερ ἡμῶν, δόξα καὶ νῦν, τὸ τροπάριον τῶν ἁγίων ἀναργύρων [2]) ἐκ τρίτου, ἡ ἐλπίς μου ὁ θεός, καταφυγή μου ὁ Χριστὸς καὶ τὰ ἑξῆς.

---

18. Заклинанія и заговоры.

Exorcismi et incantationes.

α'. Ἐξορκισμὸς Σολομῶντος ὃν ἔδωκεν αὐτῷ ὁ θεὸς ὑποτάξαι τὰ ἀκάθαρτα πνεύματα μύρια ἐννακισχίλια ἐννακόσια ἐνενήκοντα ἐννέα.

Ἡμεῖς οἱ δαιμόνια οἵτινα ὤμοσαν ὅτι ἂν ἀκούσωμεν τὸ ὄνομα τοῦ Κυρίου καὶ τὸ ὄνομα τοῦ Σολομῶντος φευξώμεθα καὶ οὐ μὴ ἀδικήσωμεν.

Ὁρκίζω ὑμᾶς, πάντα τὰ ἀκάθαρτα πνεύματα, ἢ βασκανία ἢ φαρμακεία ἢ φοβερισμὸς ἢ φρίκη ἢ πυρετὸς ἢ ἐπίβουλον ἢ συνάντημα πονηρὸν ἢ νοσερὸν ἢ κωφὸν ἢ τυφλὸν ἢ ἄλαλον ἢ σεληνιακὸν ἢ μηθεὶς (sic!) θάνατον ἢ ἀλλοιούμενον ἢ μορφούμενον ἢ ἄρσεν ἢ θῆλυ ἢ νοσημάτων. ὁρκίζω ὑμᾶς, τὰ ἀκάθαρτα πνεύματα, κατὰ τοῦ ἁγίου καὶ παναγίου πνεύματος ὀνόματος, ᾧ πάρειστήκησαν μυριάδες ἁγίων ἀγγέλων καὶ ἀρχαγγέλων κραζόντων καὶ λεγόντων ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαώθ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης αὐτοῦ. ὁρκίζω ὑμᾶς, τὰ ἀκάθαρτα πνεύματα, κατὰ τὸν ἅγιον Μιχαὴλ τὸν λειτουργὸν τοῦ θεοῦ φυλιαλὴν τῶν θυμιαμάτων ψάλλοντες (sic) τὸ ἀκατάπαυστον ἀλληλούϊα καὶ λέγοντες

---

[1]) Cod. notat $\overline{\sigma\tau}$ $\overline{\kappa\lambda}$ $\overline{\sigma\tau}$ $\overline{\mu}$ $\overline{\varphi}$. [2]) Id est Κωσμᾶ καὶ Δαμιανοῦ.

ώς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. ὁρκίζω ὑμᾶς, τὰ ἀκάθαρτα πνεύματα, κατὰ Γαβριὴλ τὸν ἀρχάγγελον ὃς ὑπήντησεν τῇ βασκανίᾳ καὶ ὥρκισεν αὐτήν· μὴ ἀδικήσῃς τὸν οἶκον τοῦτον ἐν ᾧ ἐστιν ἡ προσευχὴ καὶ ἐπιγραφὴ αὕτη. ὁρκίζω ὑμᾶς, δαιμόνια πονηρά· ῥῖγος, πυρετός, βασκοσύνη, κωφὸν καὶ ζῆλον καὶ ἀκάθαρτον καὶ πᾶν δαιμόνιον καὶ γοητεία φεῦγε ἀπὸ τοῦ οἴκου τοῦ δούλου τοῦ θεοῦ ὁδεῖνα. ὁρκίζω δαίμονα τὸν συναντοῦντα ἐν ταῖς [1]) ὁδοῖς καὶ παραχρηματίζοντα τὸν ἄνθρωπον τὸν διαστρέφοντα τὸ πρόσωπον τοῦ ἀνθρώπου εἰς τὰ ὀπίσω. ὁρκίζω ὑμᾶς, πάντα τὰ πονηρὰ δαιμόνια, ἀναχωρήσατε ἀπὸ οἰκίας, ἀπὸ θυρῶν, ἀπὸ βοῶν τετραπόδων καὶ ἀπὸ πάσης ἐνυπνίας τῆς ὑπὸ τὸν οἶκον τοῦτον. ὁρκίζω ὑμᾶς κατὰ τοῦ σταυρωθέντος ἐπὶ Ποντίου Πιλάτου καὶ παθόντα καὶ ταφέντα καὶ ἀναστάντα τριήμερον κρῖναι ζῶντας καὶ νεκρούς. ὁρκίζω ὑμᾶς, πάντα τὰ πονηρὰ δαιμόνια· μὴ ἀδικήσητε τὸν οἶκον τοῦτον μὴ ἐν ἡμέρᾳ ἢ ὥρᾳ. Μιχαήλ, Γαβριήλ, Οὐριήλ, Ραφαήλ, Ἀδοναήλ, μεθ' ὑμῖν ὁ θεός. Κύριε Ἰησοῦ Χριστέ, διὰ πρεσβειῶν τῆς ἀσπόρου τεκούσης σε Θεοτόκου, τοῦ ἁγίου Ἰωάννου, τῶν ἁγίων ἀποστόλων Πέτρου καὶ Παύλου, Λουκᾶν, Ματθαίου, Ἀνδρέου καὶ Θωμᾶς καὶ Βαρθολομαίου καὶ Σίμωνος καὶ Ἰακώβου καὶ Φιλίππου καὶ Βαρβάρου (sic) καὶ Γεωργίου καὶ τοῦ ἁγίου Θεοδώρου καὶ τοῦ ἁγίου Δημητρίου καὶ τοῦ ἁγίου Γρηγορίου, τοῦ ἁγίου Βασιλείου, τοῦ ἁγίου Νικολάου, τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου, τοῦ ἁγίου Λέοντος καὶ πάντων τῶν ἁγίων σου ἅμα φύλαττε τὸν οἶκον τοῦτον καὶ τὰς ψυχὰς καὶ τὰ σώματα τῶν ἐχόντων τὴν προσευχὴν ταύτην εἰς δόξαν τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος νῦν.·.

β'. Ἐπιλαλία εἰς κάμπα(ν).

Ἡ λαλόη ἡ κακολίμαστος τρία κακὰ ἐγέννησεν· τὴν ἀκρίδα καὶ τὴν κάμπαν καὶ τὴν σκώληκα. ὁ ἥλιος ἀνατέλλοντα καὶ τὴν δροσίαν λύοντα ἔπεσεν ἡ κάμπα καὶ ἐψόφησεν· ὁρκίζω σε, κάμπα, κατὰ τὸν θεὸν τὸν ζῶντα [2]), ὁρκίζω σε, κάμπα, κατὰ τοὺς ἀγγέλους, ὁρκίζω σε, κάμπα, κατὰ τοὺς ιβ' ἀποστόλους. ὁρκίζω σε,

---

[1]) Cod. ἐν τοῖς. [2]) Cod. τῶν ζώντων.

κάμπα, κατὰ τοὺς σαράκοντα μάρτυρας, ὁρκίζω σε (κάμπα) κατὰ τοὺς τρεῖς στρατειλάτας, ὁρκίζω σε, κάμπα, κατὰ τὸν οὐρανὸν καὶ τὴν γῆν, ὁρκίζω σε, κάμπα, κατὰ τὸν ἥλιον καὶ τὴν σελήνην. ὁρκίζω σε, κάμπα, κατὰ τοὺς τεσσάρους ἀρχαγγέλους Μιχαήλ, Γαβριήλ, Οὐριήλ, Ραφαήλ. σήκω [1]) τὸν λαόν σου καὶ ὕπαγε ἄνω εἰς τὰ ὑψηλὰ ὄρη ἐκεῖ νὰ εἴδῃς τὴν καθημερινήν σου τροφήν... (fine caret).

γ'. Ἐξορκισμὸς εἰς λάβωμαν σιδήρου ἢ λίθου ἢ ξύλου.

Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὴν πλευρὰν αὐτοῦ ἐκεντήθη λόγχην καὶ οὐκ ἐφλέγμανεν, οὐκ ἔσεψεν, οὐκ ἐπυρομάχησε· καὶ ἐσύ, κομ(μ)ίδι τοῦ δούλου τοῦ θεοῦ ὁδεῖνα, μὴ ὁρκεύσῃς, μὴ φλεγμαίνῃς, μήτε σέψῃς, μὴ πυρομαχήσῃς, ἀλλὰ ἰάθητι. στῶμεν καλῶς, στῶμεν μετὰ (φόβου θεοῦ).

δ'. Ἐξορκισμὸς διὰ τὰ νεφρά. Ἥλιε, ἀνάτειλε [2]) καὶ ἡλίωσον τὸ σκίον ἀπὸ τὸν δοῦλον τοῦ θεοῦ ὁδεῖνα καὶ ἀπὸ τὰ νεφρά του, ὅτι τὸν πόνον οὐ δύναται βαστάζει(ν) οὔτε ἡμέραν οὔτε νύκτα. Ἕτερον· Φεῦγε σκίον, φεῦγε ἡμίσκιον [3]), ὁ βασιλεὺς τὸν ἄδον (sic) σε δεσμεύει.

ε'. Εἰς πόνον μαστοῦ. Γράφε αὐτὰ καὶ κρέμασον εἰς τὸν μαστὸν λέγων οὕτως· τοῦ Κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τὸ σῶμα ἐν τάφῳ ἔμεινεν ἄκοπον καὶ ἄσηπτον καὶ ἄβρωτον· οὕτως νὰ μείνῃ καὶ ὁ σῖτος τοῦ δούλου τοῦ θεοῦ ὁδεῖνα εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος νῦν.·.

ϛ'. Ἐξορκισμὸς τοῦ ὄφεως, νὰ τὸ διώξῃ ἀπὸ τὸν τόπον ἔνθα ἔναι ἡ κατοικία του. Λέγε·

Ἄκουε, φεῖδιν (=ὀφείδιον), τί μας ἐμήνυσεν ἡ κυρά μας ἡ ἀφιγιώτι(σ)σα (sic)· ἔπαρε τὸν λαόν σου καὶ τὸ γενολόγιόν σου καὶ ἔλα νὰ ὑπᾶμε (=ὑπάγωμεν) εἰς τὴν πηγήν. μήτε ἔλθῃς μήτε

---

[1]) Cod. σίκα. [2]) Cod. ἀνέτειλε. [3]) Cod. repetit τὸ ἡμίσκιον.

φανῆς μήτε εἰς κλίνην σου ἀπομείνῃς ἀπὸ ἡμεῖς (sic) ἐψετὰ ἄμπαχα αὐτοῦ φαγεῖ(ν). στῶμεν καλῶς, στῶμεν μετὰ φόβου θεοῦ, ἀμήν· Τὸ πρωὶ ἐξόρκισον καὶ ὄφις οὐ σταθήσεται εἰς τὸν τόπον αὐτοῦ θεοῦ χάριτος.

ζ΄. Εἰς τὸ στῆσαι ὄφιν καὶ μὴ δυνηθῆναι δακεῖν.

Πόῤῥω, πόῤῥω ζανιόν, πόῤῥω ποτιανιόν, πεκαμαζάκι, τὸ πλῆρες Σαβαώθ. ὥρα παρερετέμι, ἀκὴ παρακατάρατε, ζάζαρε ζαπερτούρα ποτιμαινοῦ κλαῖσμα θείου πανάριστε.

η΄. Εἰς μόρουν ζώων ἢ ἀνθρώπου. Εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος ἅγιοι ἀνάργυροι καὶ θαυματουργοί, ἐπισκέψασθε ἡμῶν τὰς ἀσθενείας· δωρεὰν ἐλάβετε, δωρεὰν δότε. ὁ Κυίλιος (sic) εἶχεν μόρουν καὶ ἔδωσέ το τοῦ χριστιανοῦ καὶ ὁ χριστιανὸς τὸ δίδει ἐν τῇ θαλάσσῃ καὶ ἡ θάλασσα τοῦ ποταμοῦ καὶ ὁ ποταμὸς τὸ δίδει τῶν ἀκρωτηρίων καὶ ηὕρηκα τοῦ ὄρους ὅλον. ὡς λύεται ὁ δρόσος ἀπὸ τὰ ἀκρωτήρια, οὕτως νὰ λυθῇ τὸ μόρουν τοῦ δούλου τοῦ θεοῦ ὁδεῖνα. στῶμεν καλῶς, στῶμεν μετὰ φόβου θεοῦ.

θ΄. Εἰς σιαζόμενον καὶ δαιμονιζόμενον. Λέγε εἰς τὸ δεξιὸν οὖς τοῦ ζώου· χρίσε, ἀβρίσδε, δεούρ, δεδεούρ, σούρ. φεῦγε λυσιασμὸν τοῦ Κυρίου λέγοντος. στῶμεν.·.

ι΄. Ἐξορκισμὸς τῆς λύσ(σ)ας. Ὡς ὑπήγαιναν τὴν περίχωρον διάνοιαν καὶ ὑπήντησαν σκυλὶν λυσιάρικον καὶ ἐρώτησαν αὐτό· τί(ς) σε ἐπῆρεν, σκυλίν; ἡ μήτηρ μου ἡ Ἐζεκελλία. τίς σου ἔδωκεν τὴν λύσ(σ)αν; ὁ Ἀχάμ· τίς σου ἔκοψαν τὴν λύσ(σ)αν; ἄνθρωποι [1]). τίς κύριος ὀνόματα (sic); βεριανός, βρίσκεν, βρίσκαβδες, βδεούρ, σουρσούρ. ἐγὼ γητεύω καὶ ὁ θεὸς θεραπεύει.

ια΄. Εἰς λύσ(σ)αν. Γράφε ἀναήλ, εἰσβιήλ, ἀμπελουρά, μαμαίναντι, ἔκτιλες, ἔκτιλε, βίρκα, δειαιδέ, ἀδεδαιούτως, ἀφουσατόδιος, ηὕρισεν, ἀπηύρηκεν τὴν λύσ(σ)αν ταύτην, βρονιγκάταδε, βρονικάκαδε, δεδηέ, ηὕρισεν, ηὕρισαδέ.

---

[1]) Cod. ἀνθρώποις.

ιβ'. Περὶ τοῦ ἀδελφικοῦ ὅταν πιάσῃ τὸν ἄνθρωπον.

Ὠφείλεις ποιεῖν εἰς τὴν αὐτὴν διάταξιν λειτουργίαις ε' εἰς λεῖψιν σελήνης τῇ ε' καὶ τῷ σαββάτῳ καὶ νὰ τὸ λέγῃ εἰς πᾶσαν λειτουργίαν ἀπάνω εἰς τοῦ πάσχοντος καὶ νὰ τὸν ῥίκτῃ εἰς τὰ ἅγια καὶ εἰς τὴν ὅλου ἐξυστερινὴν [1]) λειτουργίαν νὰ τὸ γράφῃ εἰς χάρτα(ν) βεβραϊνὸν [2]) καὶ νὰ τὸ δένῃ εἰς τὸν αὐχένα τοῦ πάσχοντος ταῦτα·

Σοδονόρ. σαφίλ. μοδόχ. χοχοήλ. βολοτρόρ. ἀβιάλ. δοναέ. σκοποόρ. γολγόλ. ἀπειάθ. νοσοβοόρ. μοθοόρ. ἐκλιόβ. ἀμηνάθ. θονοβόλ. θαναβίλ. τὸν τραμορβοὺμ καὶ δουκαμλιόβ. φαμούλ. φαμούλ δὲ ἡνόμει. Κάσπαρ, Μελχιώρ [3]), Βαλτασάρ. ἅγ(ι)ο(ς) θεός, (ἅγιος) ἰσχυρός, ἅγιος ἀθάνατος, ὡσαννά, Σουσαν(ν)ὰ ἀγαθή, Λατζίακος, Μενέθ, Δαμιανός, Λίνα, Σκέλπους ἐ(θ) Τζιπριάνους. δόμινε τζεσοὺμ Κρίστε [4]), φιλίκους, δεκριαλτησὴμ τούμ· λίπερα δὲ ἰστομορβὸρ περμέρτι. μπέα ταβέρτους ἐγλυριοῦζα ἐθ πέρσου φράγο ἀποστολροὺν [5]) Πετρὸ ἐθ Παύλῳ ἐθ ἀντουδόνατι [6]), ἀλλὰ ἐδώμ, ἄμεν. Ἀπραάμ, Ἀπραὰμ καὶ ἀπραγμούς [7]), φάκει, σάκει, μινιάκει καὶ τὸ Πάτερ ἡμῶν γ' φοράς. ἐδυδύ, ἐζαρώτ, ἐζαρέτ. Χριστέ, ἐλέησον. Κύριε, ἐλέησον τὸν δοῦλόν σου ὁδεῖνα ἀπὸ τὸ δαιμονιακὸν σκίον ὅπου ἔχει. καὶ εἰπὲ αὐτῷ εἰς τὸ δεξιὸν αὐτοῦ ὠτίον·

ιγ'. Ἐξορκισμὸς εἰς τὴν αὐτὴν ἀσθένειαν.

Εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος ὡς ὑπήγαινεν ὁ Βελζεβοὺλ καὶ ὁ Σαχαὴλ καὶ Ζαζαὴλ καὶ ἡ μάνα (=μήτηρ) του ἡ μονοποδάρενα τὰ ὀμ(μ)άτιά της εἰς τὸν ὀπιστόλιχον αὐτῆς, τὰ ὀνύχια αὐτῆς εἰς τὰς πτέρνας καὶ ἐβάσταζον τὰ ιβ' παιδικὰ [8]) τὸν κλαίοντα [9]), τὸν στέλ(λ)οντα, τὸν λαβρίζοντα, τὸν ἐξισπῶντα, τὸν ὀλιγοθυμῶντα, τὸν ὀγκαρίζοντα, τὸν ἀδαυστὶν (sic) κράζοντα, τὸν ὀπτύοντα, τὸν κρού(ο)ντα εἰς τὴν κεφαλὴν τοῦ δούλου τοῦ θεοῦ ὁδεῖνα καὶ οἱ βοασμοὶ εἰς τὸν

---

[1]) Hodie ὁλοϋστερινός 3 = ὕστατος, τελευταῖος ultimus, extremus. [2]) Cod. χάρτα δεβριανῶν. [3]) Cod. Μελχιώρι. [4]) Videntur esse italo-latina „et Ciprianus. domine Iesum Christe“. [5]) An „apostolorum?“ [6]) Cod. ἐθ Παῦτα ἔθαν τοῦ δόνατη. [7]) An „Abraamus“? [8]) Cod. ἱπάδικα. [9]) Cod. κλέωτα.

οὐρανὸν ἀναβαίνουσιν καὶ ὑπήντησεν αὐτοὺς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ Μιχαὴλ ὁ ἀρχάγγελος καὶ εἶπεν· ποῦ ὑπάγετε μὲ τὴν μάνα(ν) σας τὴν μονοποδάρενα(ν) καὶ τὸν Βελζεβουήλ; καὶ ἀποκριθεὶς εἶπεν· τί μας ἐρωτᾷς; ὡς ἦλθεν ὁ Βελζεβουὴλ καὶ ὁ Σαχαὴλ καὶ ἡ μάνα τους ἡ μονοποδάρενα τὰ ιβ′ παιδικὰ βαστάζοντα καὶ βοασμοί των εἰς τὸν οὐρανὸν ἀναβαίνουσιν. Καὶ εἶπεν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός· ἀγώμετε καὶ πιάσετε πρὶν φά(γ)ῃ, πρὶν πίῃ, πρὶν ἐξυπνωθῇ, πρὶν ποδάρι βρέξῃ καὶ ἐξαρκήσετέ τον εἰς τὰ χερουβὶμ καὶ εἰς τὰ σεραφὶμ εἰς πολυόμματα, εἰς τὸν βραχίονα τὸν ὑψηλόν, εἰς τὸν θρόνον αὐτοῦ τὸν ἀσάλευτον. καὶ εἶπαν τῇ Δαλιδᾷ· ἔπαρε τὰ παιδία σου καὶ ἄγωμε(ν) εἰς τὰ ἄγρια ὄρη, ὅτι ὁ δοῦλος τοῦ θεοῦ ὁδεῖνα οὐ δύναται τὸν πόνον [1]) βαστάζει(ν). Ἅγιε Πατάπιε ὁ καὶ ἐπάταξας τοὺς δαίμονας πάταξον καὶ τὸ ἀδελφικὸν τοῦ δούλου τοῦ θεοῦ ὁδεῖνα. ἅγιοι ἀνάργυροι, βοηθήσατε τὸν δοῦλον τοῦ θεοῦ ὁδεῖνα. ἅγιε τοῦ θεοῦ Ἡλία, βοήθησον τὸν δοῦλον τοῦ θεοῦ ὁδεῖνα. Ἠγοῦν καὶ πιάνῃ βήσαλον ἑλ(λ)ηνικὸν καὶ γράφῃ πεντάλφαν εἰς τὰς δύο μερὰς καὶ σκύπτῃ καὶ χώνῃ τὸ βήσαλον ἐκεῖ ἔνθα [2]) εὕρῃ τον ἡ ἀνάγκη. εὐγνάτεια (sic!) εἰς τὴν καρδίαν καὶ ἂς πήγῃ ἐκεῖ μαχαῖρι μαυρομάνικον καὶ ἀναγνωθῇ ἐκεῖ [3]) κζ′ φοράς.

ιδ′. Exorcismus in infirmitatem oculorum.

.... Θεοτόκου, καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς εἶπεν· ὁρκίζω σας ὅτι νὰ μὲν (=μὴν=μή?) ὑπάγετε εἰς τὸ ὄρος, ἀλλὰ ἀπέλθατε εἰς τὸν δοῦλον θεοῦ ὁδεῖνα νὰ κόψετε τὸν πόνον τοῦ ὀμ(μ)ατίου· τὸ ῥῦμαν (=ῥεῦ-), τὸ λεύκωμαν, τὸ φλέμ(μ)αν, τὴν τζίμπλαν, τὴν καταβασίαν, τὸ τράχωμαν [4]), τὴν ταμβούραν [5]) τὴν γαρύοντα, τὴν νεφέλην καὶ πάντα πόνον τοῦ ὀμ(μ)ατίου, ὅτι ὁ δοῦλος τοῦ θεοῦ ὁδεῖνα τὸν πόνον οὐ δύναται ὑπομένειν. στῶμεν καλῶς, στῶμεν μετὰ φόβου θεοῦ, ἀμήν.

ιε′. Ἕτερον. Εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ὡς ἐδιάβαινεν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς μετὰ τῶν ιβ′ μαθητῶν αὐτοῦ καὶ ἄκουσεν βαρεμὸν [6]) καὶ εἶπεν

[1]) Cod. τόπον. [2]) Cod. repetit ἐκεῖ quod omisi. [3]) Cod. ἐνκεῖ. [4]) Cod. τὸ τρύχωμαν. [5]) Cod. θαμβοῦραν. [6]) Lectio dubia (βαλεμόν vel βαλομόν?).

τοῖς μαθηταῖς αὐτοῦ· ὑπάγετε, ἴδετε, μάθετε μὴ χήραν ἀδικοῦν, μὴ ὀρφανὸν παραπονοῦν ἢ μὴ τὸ μισθάριν κρατοῦν. ὑπῆγαν καὶ ἔμαθαν [1]) οὐδὲ χήραν ἀδικοῦν οὐδὲ ὀρφανὸν παραπονοῦν οὐδὲ τὸ μισθάριν κρατοῦν. καὶ ἀπέστρεψαν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ εἶπαν· Κύριέ μου (sic), οὐδὲ χήραν ἀδικοῦν οὐδὲ ὀρφανὸν παραπονοῦν οὐδὲ τὸ μισθάριν κρατοῦν, ἀλλὰ ὁ δοῦλος τοῦ θεοῦ ὁδεῖνα ἐκατέβη τὸ ῥεῦμα, τὸ λεύκωμαν, τὸ τράχωμαν, τὸ πάχωμαν. καὶ ἔδωκαν εἰς τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ οὐ δύναται τὸν πόνον ὑπομένειν. καὶ εἶπεν [2]) ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τοῖς μαθηταῖς αὐτοῦ· ὑπάγετε, σταυρώσετε καὶ εἴπατε· ἐξαιρέτως τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀεὶ παρθένου Μαρίας ἐξερευξάτω [3]) τὸ ῥεῦμα, τὸ τράχωμα, τὸ αἷμα, τὸ λεύκωμα, τὸ πάχωμαν ἀπὸ τοὺς ὀφθαλμοὺς τοῦ δούλου τοῦ θεοῦ ὁδεῖνα ὅτι τὸν πόνον οὐ δύναται βαστάζειν οὔτε ἡμέραν οὔτε ὥραν οὐδὲ ἐκτὸς τοῦ Χριστοῦ λέγοντος. στῶμεν καλῶς, στῶμεν μετὰ φόβου θεοῦ. ὑγιὴς [4]) ἅπαν τὸ βάρος καὶ ὁ δοῦλος τοῦ θεοῦ ὁδεῖνα τὴν ῥῶσιν.:

ις'. Ἕτερον. Ὁ ἅγιος Ναζάριος καὶ ἡ ἁγία Θέκλη ἐπὶ θαλάσσης ἐκάθισαν. εἶπεν ὁ ἅγιος Ναζάριος· ὑπάγωμεν. εἶπεν ἡ ἁγία Θέκλη· οὐχί, ἀλλὰ ἂς ἐπαίρω(μεν) πᾶσαν ἀσθένειαν τῆς κεφαλῆς τοῦ δούλου τοῦ θεοῦ ὁδεῖνα καὶ ἀπὸ τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ καθαρίσωμεν τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ τὴν ἀσθένειαν τῆς κεφαλῆς αὐτοῦ· εἰ ξανθὸν [5]) ἂς λύεται, εἰ μαῦρον ἢ ἄσπρον νὰ τὸ ἐξολοθρεύσῃ ὁ θεός. ὁρκίζω σε, ἀῤῥωστία καὶ πόνε, ἐν (ὀνόματι) πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, ἵνα μὴ ἔχῃς ἐξουσίαν εἰς τὸν δοῦλον τοῦ θεοῦ ὁδεῖνα. ἅγιος, ἅγιος ἅγιος, σάντα [6]), σάντα, Κύριε ἐλέησον τὸν δοῦλόν σου ὁδεῖνα. ὁ ἅγιος Κωσμᾶς καὶ Δαμιανὸς ὡς ἔβοσκον τὸ μάν(ν)α τοῦ θεοῦ καὶ βοσκόμενος ἔπεσεν κλάδος (sic):.

ιζ'. Ἐξορκισμὸς τοῦ ὀφθαλμοῦ. Γράφε το εἰς χάρτην καὶ ἂς τὸ βαστᾷ ὁ πονῶν τὸν ὀφθαλμόν. Σάντου, σάντου, νικᾷς ἡμῶν,

---

[1]) Cod. ἐμάθαν. [2]) Cod. add. αὐτῶν quod omisi. [3]) Cod. ἐξερεύξατο. [4]) Cod. ἡ γῆς. Verbum omissum videtur. [5]) Cod. εἰ ἐξανθόν. [6]) Est ital. santo.

ἀβιμακοῦλε, ἠνοῦλε, περγάτου, δειδουμεκείου, καλοῦσα ὄντως. ἀβηρεκούσιε, ἠτινοῦλε, ἀμήν. στῶμεν καλῶς, στῶμεν μετὰ φόβου θεοῦ, ἀμήν.

ιη'. Εἰς ῥῖγον. Γράψον εἰς μῆλον ἢ εἰς κυδώνιον ἢ εἰς πρόςωπον ψωμίου καὶ δίδου ἐσθίειν ὅταν μέλ(λ)ῃ ταράσ(σ)εσθαι· Χριστὸς ἐγεννήθη, Χριστὸς ἐβαπτίσθη, Χριστὸς ἐσταυρώθη, Χριστὸς ἐτάφη, Χριστὸς ἀνέστη τριήμερος διώκων τοὺς δαίμονας. διὸ φεῦγε καὶ σύ, ῥιγοπύρετε τριταῖε δαίμονε, καὶ ἀφημέρινον ἀπὸ τοῦ δούλου τοῦ θεοῦ ὁδεῖνα εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, ἀμήν.

ιθ'. Ἄλλο. Γράφε εἰς πρόσωπον ψωμίου· ἡ ἀγάπη ὁ Πατήρ, καὶ ὅταν μέλλῃ ταράσσεσθαι ποιήσας γ' μετανοίας· εἰς τὸν Χριστόν, εἰς τὴν ὑπεραγίαν Θεοτόκον, εἰς τὸν ἅγιον Ἰωάννην τὸν Πρόδρομον ἐσθίεται. Καὶ εἰ οὐχ ὑγιαίνει, γράφε· ἡ ζωὴ ὁ Υἱός, καὶ ἐσθίεται. πάλιν ὁμοίως εἰς τὸ τρίτον· ἡ παράκλησις τὸ πανάγιον Πνεῦμα [1]), ἀμήν.

κ'. Πρὸς τὸ γεννῆσαι γυνή(ν). Γράφε εἰς ὄστρακον παλαιόν· μνήσθητι, Κύριε, τῶν υἱῶν Ἐδὼμ τῶν λεγόντων· ἐκκενοῦτε, ἐκκενοῦτε.: (Ἄλλο.) Γράφε εἰς χάρτην βέβραναν καὶ βάλε το εἰς τὸν κόλπον τῆς γυναικός· ἀλβανά, λαβανά, γυνὴ γε(ν)νᾷ.

κα'. Εἰς γυνὴν ἥ γουν οὐ δύναται τέξαι λέγε εἰς τὸ δεξιὸν αὐτῆς ὠτίον·

Φόρυβος (=θο-) ἐγένετο εἰς τὸν οὐρανὸν καὶ ἔτρεχον οἱ ἄγγελοι καὶ οἱ ἀρχάγγελοι. καὶ ὁ Χριστὸς ἠρώτησεν· τί ἔνι ὁ φόρυβος εἰς τὸν οὐρανόν; Κύριέ μου, γυνὴ πονεῖ καὶ κοιλιοπονεῖ καὶ οὐ δύναται γεννῆσαι. Λέγει αὐτοῖς ὁ Κύριος· ὑπάγετε εἴπατε εἰς τὸ δεξιὸν αὐτῆς ὠτίον· τέξε, γυνή, ὡς ἡ Μαριὰμ τὸν Χριστόν, ὡς ἡ Ἐλισάβετ τὸν Πρόδρομον, ἔξελθε τέκνον, καλεῖ σε ὁ Χριστὸς καὶ ἡ γῆ σε περιμένει, στῶμεν καλῶς. λέγε αὐτῇ ἐκ τρίτου. Εἰ δὲ τὸ κοιτάριον οὐ πεσεῖται, λέγε οὕτως· Ὁ Χριστὸς καὶ ὁ Πέ-

---

[1]) Cod. τοῦ παναγίου πνεύματος.

τρος ὑπάγαινον ἐν τῇ ὁδῷ καὶ ἐστράφη ὁ Κύριος καὶ τῷ Πέτρῳ ἔφη· Πέτρε, τί κλαίουν ἐν τῇ κώμῃ; Κύριέ μου, γυνὴ κοιλιοπονᾷ (=νεῖ) καὶ οὐ δύναται γεννῆσαι. ἔλα, Πέτρε, κάλεσαι αὐτὴν ὧδε καὶ εἰπέ· γυνή, καλεῖ σε ὁ Χριστός. σάρρα, σάρρα, σάρρα καὶ σύ, κοιτάριον, πέσε ὅτι καλεῖ σε ὁ Χριστὸς καὶ ἡ γῆ σε περιμένει.

κβ'. Εἰς μῖσος ὅταν μισῇ ἡ γυνὴ τὸν ἴδιον ἄνδρα.

Γράφε εἰς χαρτὶν τὸ ὄνομα αὐτῶν καὶ οὕτως· Κύριος ὁ θεός. σ. ι. καί· ὁρκίζω σε, Μονομονήλ, κατὰ τῆς δυνάμεως Ἀδωναΐ, ἀναχώρησον ἀπὸ τῆς ὑποεξουσίας σου, καταπατεῖ σε ἡ σφραγὶς τοῦ Ἐλισμῶντος [1]) καὶ διὰ τῆς δυνάμεως τοῦ θεοῦ ἐπιστρεψάτωσαν εἰς ὁμόνοιαν ὁ δεῖνα καὶ ἡ δεῖνα. καὶ ἂς βαστᾷ τὸ χαρτὶν ὁ ἀνήρ, ἡ δὲ γυνὴ τὰ σημεῖα ταῦτα ἔσωθεν αὐτῆς ὡς φυλακτήριον πρὸς τὸ στερνόν· ρ̈. χ̈. ρ̈. τ̈. ς̈. λ̈· Ὁμοίως μαγνίτης λίθος εἰς δύο τμηθεὶς καὶ βασταζόμενος ὑπὸ τῶν μερῶν πάσης ἔριδος καὶ φιλονεικίας αὐτῶν ἀπαλ(λ)άττει καὶ ὁμόνοιαν ἐμποιεῖ.

κγ'. Εἰς γυνὴν ῥέουσα(ν) αἷμα. Νὰ ὑπάγῃ εἰς τὸν ἅγιον Νικόλαον καὶ κάμῃ τὴν προσευχήν της, νὰ ποιῇ φορὰς τρεῖς· σκύλος ἐμπῆκεν καὶ ἄνθρωπος ἐβγῆκεν. καὶ νὰ ἐπάρῃ βήσαλον νὰ τὸ βάλῃ εἰς ἕτερον ναὸν καὶ ἂς εἰπῇ· ὡς οὐδ' ἐγὼ ἐλπίζω νὰ ἔλθω ἐδῶ νά σε ἐπάρω, νὰ μηδὲ ἐμένα πιάσῃ πλέον.

κδ'. Εἰς κλέπτην. Λαβὼν ἄρτον μικρὸν καὶ τυρόν, ἐν τῷ ἄρτῳ μὲν ἐπίγραψον σαραιουά, ἐν δὲ τῷ τυρῷ σαραφαήλ, καὶ δὸς φαγεῖν τοὺς ὑπόπτας νῆστις· καὶ εὐθέως ὁ αἴτιος ὑποπνιγήσεται καὶ ἐξ αὐτοῦ γνωστήσεται (=σθή-).

κε'. Εἰς τὸ γνῶναι τὸν κλέπτην. Γράψον εἰς ἄρτον Σάρσων, εἰς δὲ τυρὸν Σαμψών, καὶ δὸς οἷς ὑποπτεύεις καὶ εἰ κλέψας, οὐ δύναται φαγεῖν.


κς'. Ἄλλο. Γράψον εἰς ἄρτον· οὔταχ, σάρα, οὐά, εἰς δὲ τυρόν· σάφα, φαταήλ, καὶ δὸς οἷς ἐφορᾷς.

---


[1]) Forsan corruptum ex Σολομῶντος?

κζ'. Πρὸς τὸ εὑρεθῆναι τὸν κλέπτην. Λαβὼν τὸ λευκὸν τοῦ ὠοῦ μῖξον μετὰ μολύβδου καὶ γράψον εἰς τεῖχον ὀφθαλμὸν καὶ στῆσον τοὺς ὑπόπτους ὥστε βλέπειν πρὸς αὐτόν· καὶ ὁ κλέψας δακρύσει, εἰ δὲ ἀρνεῖται, πῆξον ἧλον ἐν τῷ γραφέντι ὀφθαλμῷ καὶ ὁμολογήσει. κύκλῳ δὲ τοῦ ὀφθαλμοῦ γράψον τό· Ὁ δὲ παράνομος Ἰούδας οὐκ ἠβουλήθη συνιέναι.

κη'. Εἰς κλέπτην.

Γράψον εἰς χάρτην οὕτω, 
Ἀβραάμ σε καταδιώκει, ὁ Ἰσαάκ σε καταφθάνει, Ἰακὼβ σε ανατρέχει. γενηθήτω ἡ ὁδὸς αὐτοῦ σκότος καὶ ὀλίσθημα. καὶ αναποδογράφε τοῦτο καὶ βάλε ὄπισθεν τῆς θύρας.

κθ'. Εἰς παιδὶν κακόσκοπον.

Ἔπαρον τὸ παιδὶν εἰς τὴν ἐκκλησίαν καὶ ἂς νηστεύῃ [1]) τὸ παιδίν, καὶ ἀποσφόγγισον ὅλα τὰ θεῖα ὅσα εὑρεθοῦν εἰς τὴν ἐκκλησίαν καὶ τὰ βρέφη καὶ τοὺς ἀρχιερεῖς καὶ ὅσας ἑορτὰς τύχουν δίχως σταύρωσιν [2]) καὶ ἀνάληψιν καὶ μάρτυρας, καὶ νὰ προσφογγίσῃ αὐτὰ μετὰ οἴνου ἀκράτου μὲ μβαμπάκι καὶ νὰ θέσῃ αὐτὸ τὸ ἀποσφόγγισμαν εἰς ἀ..... [3]) ὁποῦ θέλει κρατεῖν καὶ εἰς στί....οται [3]) δὴν (sic) εἰς τὰ διάστυλα τῆς ἐκκλησίας μέσα καὶ ἂς εἰπῇ τὰς δ' προφητείας εἰς τὴν κεφαλὴν τοῦ παιδίου· δύο τῶν βαΐων καὶ δύο τῆς ν' (=πεντηκοστῆς) καὶ μετὰ ταῦτα ἂς ψάλλῃ τρισάγιον καὶ ἂς εἰπῇ τὸν ἀπόστολον τῆς λαμπρᾶς κυριακῆς ἀπάνω εἰς τὴν κεφαλὴν τοῦ παιδίου καὶ ἂς ψάλλῃ τὸ ἀλληλούϊα, ἂς εἰπῇ καὶ τὸ Εὐαγγέλιον τῆς λαμπρᾶς καὶ τὸν ν' (ψαλμὸν) ἐκ τρίτου καὶ νὰ σβύσῃ τοὺς χαρακτῆρας τοῦ δίσκου ὅπου τοὺς θέλει ἔχειν(ν) γραμ(μ)ένους πλὴν νὰ ποιήσῃ τὸν ἀπομυρισμὸν ἤγουν νὰ γράψῃ τοὺς χαρακτῆρας μὲ μελάνι καὶ ἂς τοὺς βάλῃ εἰς τὸν ποτὸν τοῦ ἱερέως  καὶ ἂς ἅπτουν κηρία κδ' διὰ τῶν κδ' πρεσβυτέρων τὰ ὀνόματα καὶ ἂς ποτίσῃ τὸ παιδὶν ἐκ τὰ διάστυλα τῆς ἐκκλησίας καὶ πρόεξε μὴ στάξῃ

[1]) Cod. εἰς νηστεύει. [2]) Cod. διχῶς σταυρῶσι. [3]) Litterae evanuerunt.

χάμου, καὶ ἂς λέγῃ τὴν εὐχὴν ταύτην· Κύριε ὁ θεὸς ἡμῶν, ὁ νικήσας καὶ φωτίσας τῶν κδ' πρεσβυτέρων τὰ ὀνόματα καὶ τὰς καρδίας Μελχισεδέκ, Δημητρίου, Σπεκουλάτοραν, Φλούρου, Μερμητίου, Μετάρου, Χουσῆ, Βηλτίον, Μνήστη, Ἰησοῦς, Ὑληθούρ, Θελδχίου, Ἀδατιβαώθ, ἐσεῖς φωτίσατε, ἐσεῖς διορθώσατε τὸν νοῦν τοῦ δούλου τοῦ θεοῦ ὁδεῖνα διὰ μάθησιν γραμμάτων. ὁ Χρυσόστομος φωστὴρ τῆς οἰκουμένης καὶ Βασίλειος ὁ σοφὸς οὐρανοφάντωρ καὶ Γρηγόριος ὁ Θεολόγος, ἐσεῖς ἐφωτίσατε τὸν νοῦν καὶ τὴν καρδίαν διὰ μάθησιν γραμμάτων. Καὶ μετὰ ταῦτα ἂς ποιήσῃ δέησιν μεγάλην καὶ ἂς εἰπῇ τὸ Κύριε ἐλέησον μυστικῶς φορὰς κδ' καὶ μεγαλοφόνως ιβ'. καὶ μετὰ ταῦτα ἂς ἀνοίξῃ τὸν ἀπόστολον καὶ ἂς τὸν διαβάσῃ ὁποῖός του τύχῃ.

λ'. Εἰς παιδίον ὅπου νὰ μάθῃ γράμματα.

Γράψον τῶν κδ' πρεσβυτέρων κατενώπιον τοῦ θεοῦ παρεστηκότων εἰς ὑάλινον ἀγγεῖον τὰ ὀνόματα ἔσωθεν καὶ ἔξωθεν καὶ βάλε ὕδωρ καὶ οἶνον καὶ τίθει ἀποκάτω τῆς ἁγίας τραπέζης καὶ ἂς λειτουργηθῇ καὶ λάβε καὶ πότισον τὸν παῖδαν πρεσβείαις τῆς Θεοτόκου καὶ πάντων τῶν ἁγίων. Εἰσὶ δὲ τὰ ὀνόματα τῶν τιμίων πρεσβυτέρων ταῦτα· Σιλουάνος, Ἰωδημέλαος, Κορυφοβλεπών, Διδάκτικος, Δομαξίλεος, Σύνιππος, Συναδολίτης, Μιχάδων, Κυβοχώματος, Σημακένεος, Σηδεκένεος, Κεσαπόλιτος, Ἥδυμος, Ἐχήμων, Μέτριος, Σοφώτατος, Ψαλ(λ)υματικὸς καὶ Κοσμιανός.

λα'. Εἰς τὸ λῦσαι μάτι (=ὀμμάτιον sc. κακόν). Ἀνάγνωθι εἰς τὴν κεφαλὴν τοὺς ψαλμοὺς τούτους ἡμέρας τρεῖς τὸ πρωῒ νὰ στῇ ὁ θεός, τὸ Δίκασον, Κύριε, τοὺς ἀδικοῦντάς με, καὶ Ὁ κατοικῶν ἐν βοηθείᾳ, καὶ τὸ Εὐαγγέλιον τὸ κατὰ Ἰωάννην τὸ Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ τὴν προσευχὴν τοῦ ἁγίου νεομάρτυρος Κυπριανοῦ. Εἶτα ἔχε μίαν γαστέραν ἀφόρετον καὶ βάλε θεῖον καὶ βερονίκειον καὶ ἀλόην ξανθὴν καὶ παιονίαν καὶ νύ(μ)φης δέρμα καὶ ἀπολυτικὸν καὶ κέρατον ἐλαφινὸν καὶ λίθον μαγνίτην, καὶ κάπνισον ἡμέρας ζ' τὸ πρωῒ καὶ λέγε οὕτως· ὁ δαίμων ἔδεσεν καὶ ὁ Χριστὸς τὸ ἐλευθέρωσεν.:

α'. Φυλακτήριον. Ο Χριστὸς ἐτάφη, ὁ Χριστὸς ἐσταυρώθη, ὁ Χριστὸς τον ᾅδην ἐπάτησεν, ὁ Χριστὸς τὸν διάβολον κατήργησεν, ἐτάφη καὶ ἀνέστη. Ἄγγελος Ραφαὴλ τὸν ἐπάντησεν καὶ πεσὼν ἔμπροσθεν αὐτοῦ εἶπεν· Κύριε, δός μου χάριν, δός μου ἐξουσίαν. Καὶ εἶπεν ὁ Κύριος· ὕπαγε, ἄγγελε Ραφαήλ, νὰ ἔχῃς ἐξουσίαν τὴν ἡμέραν εἰς τὸν κόσμον, νὰ εἶσαι εἰς κρίσιν εἰς ποταμόν, νὰ εἶσαι εἰς ἀνάγκην ἀνθρώπου. Καὶ εἴ τις κάμῃ σταυρὸν καὶ γράφῃ τὸ ὄνομά σου καὶ βαστάζῃ αὐτὸν καὶ θυμιάσῃ νά σε [1]) εἰς τὴν ἀνάγκην του τοῦ βοηθεῖν τοῦ δούλου τοῦ θεοῦ ὁδεῖνα.

ἄγγελ.	ιc | χc	Ραφαὴλ
ὁ ἐπὶ τὸν	η | ?	ποταμὸν
ἔχων		τὴν ἐξυ^{σ} βοη^{θ}

β'. Γράψον ταῦτα εἰς χάρτην ἀγέννητον μετὰ κιν(ν)αβάρεως ἢ κρόκου ἀλείωνε μετὰ ῥοδαστάματος ἢ δαλὸν ἅπτοντα ἀποσβέσας ὕδατι καὶ ποίησον ἐξ ἐκείνου μελάνι καὶ γράφε καὶ οὐ μή σε καινοτομήσῃ οὐδὲν κακῶν καὶ πονηρῶν ἀνθρώπων πειρασμὸς βάσταζε ὡς φυλακτήριον ἢ ἐν τῇ ζώνῃ σου.

Ὑστερῶν εἴ τε ἀσηρῶν ὅλον οὗ (sic) ἅγιον καὶ ῥυσεφί, φιαμανεέλ, Ἀδωναὲ Σαβαώθ, τίκτων, φοβῶν καὶ ὅπαν λειάνων. ἔλα λενιψικοῦ, νεφώδη ἄγγελε, τοὺς ἐμὲ πολεμοῦντας ἐπανάστῆναι εἰς μέρος· ἐκείνους ποίησον πρόβατα, ἐμὲ δὲ ποιμένα [2]), ἐκείνους ἀρνία κατ' ἐμοῦ, ἐμὲ δὲ λοῦκον κατ'αὐτῶν, ἐκείνους κουρούνας, ἐμὲ δὲ ἀετόν, ἐκείνους ὀνάγρους, ἐμὲ λέοντα [3]) ὠρυόμενον κατ' αὐτῶν ἵνα εἰσὶν ἔμπροσθέν μου ἄλαλοι καὶ κωφοὶ καὶ τυφλοὶ καὶ μὴ δυνήσωνται λαλεῖν ἢ ποιεῖν κατ' ἐμοῦ κακόν. Εἰ(ς) σὲ πιστεύω καὶ ὁμολογῶ, Κύριε Ἰησοῦ Χριστέ, σῶσόν με ἐκ τῶν καταδιωκόντων με καὶ τῶν λαλούντων πονηρὰ κατ' ἐμοῦ. σύντριψον τὴν ἰσχὺν αὐτῶν καὶ τὰ ὀνόματα αὐτῶν ἀφάνισον ὡς τοὺς Σοδομίτας. Προστάτα μου, ἀρχάγγελε, Σαβαὼθ εἰς τὴν κεφαλήν μου, Ἐμ(μ)ανουὴλ εἰς τὴν δεξιάν μου, Μιχαὴλ καὶ Γαβριὴλ σκέπη μου, Οὐριὴλ ἐξ ἀριστερῶν μου, Ραφαὴλ ἐκ πλαγίων μου· δήσατε καὶ χαλινώσατε τοὺς ἐμὲ καταλαλοῦντας καὶ πολεμοῦντας καὶ μισοῦντας καὶ ἀδικοῦντας ἵνα εἰσὶν ἔμπροσθέν μου ἄλαλοι καὶ κωφοὶ καὶ τυφλοὶ

[1]) Verbum videtur omissum. [2]) Cod. ποιμήν. [3]) Cod. λέων.

καὶ παρειμένοι τῷ λόγῳ καὶ τῇ ἐνεργείᾳ. καὶ ἵνα ἔρχωνται πρὸς βοήθειάν μου καὶ φεύξωνται πᾶν κακὸν εἰ ἀπὸ νίκην ἔρχωμαι ἢ εἰς νίκην ὑπάγω. τοὺς ἐξ οὐρανοῦ [1]) ἐνδέδυμαι τὸν τίμιον σταυρὸν περιπλεκόμενος. Ἅγιε Κυπριανέ, ἅγιε Γεώργιε, ἅγιε Δημήτριε, ἅγιε Θεόδωρε, ὡς ἐχαλινώσατε τοὺς τῶν ἑλλήνων θεοὺς καὶ τοὺς εἰδωλικοὺς ναοὺς ἠφανίσατε, οὕτως δήσατε, χαλινώσατε καὶ ἀφανίσατε τὰ στόματα τῶν καταλαλούντων με καὶ τοὺς λαλοῦντας πονηρὰ κατ᾽ἐμοῦ. ἀφανίσατε ὁδεῖνα καὶ ὁδεῖνα. Εἰ(ς) σὲ ἤλπισα, Κύριε, σῶσόν με ἐκ πάντων τῶν διωκόντων με καὶ ἐλέησόν με διὰ τὸ ὄνομά σου τὸ ἅγιον.

γ'. Ἄλλως.

$\overline{\text{ιc}}$	$\overline{\text{χc}}$	φ	χ	τ	κ
ν	κ	φ	π	π	γ

Ἡ ἐλπίς μου ὁ θεός, καταφυγή μου Χριστός, σκέπη μου τὸ πνεῦμα τὸ ἅγιον. Ἐγὼ ὁ ἁμαρτωλὸς ὁδεῖνα ἀνέστην καὶ ἐξηγέρθην πρωΐ, ἐζωσάμην καὶ ἐνιψάμην τὰς χεῖρας καὶ τὴν ἐμοῦ ὄψιν καὶ ἐκίνησα εἰς ὥραν ἀγαθὴν καὶ εὐλογημένην, τὸν τίμιον σταυρὸν ἐνεδυσάμην, τῆς Θεοτόκου τὸ ὠμοφόριον ἐσκεπασάμην, ἔμπροσθέν μου φῶς θεϊκόν, ὄπισθέν μου δύναμις ὑψίστου, ἐκ δεξιῶν μου ὁ πατήρ, ἐξ εὐωνύμων μου ὁ υἱός, ἔνθεν καὶ ἔνθεν ἡ ἐμὴ ἀντίληψις καὶ σκέπη τὸ πνεῦμα τὸ ἅγιον. τὸ ὑποκάτω τοῦ οὐρανοῦ καὶ τῆς γῆς τὸ στερέωμα περιερχόμην καὶ περιέτρεχα ἵνα τὸν διάβολον καταπατήσω καὶ πάντας τοὺς ἐχθρούς μου καταπατήσω (sic) καὶ τὰ δόλια αὐτῶν στόματα δήσω καὶ φράξω. Σύ, Κύριε Ἰησοῦ Χριστέ, ὁ θεός μου, ὥσπερ ἔδησας τὸν διάβολον ἐν τῇ ἀβύσ(σ)ῳ καὶ τῶν ἑλλήνων τὰ στόματα καὶ δόγματα, οὕτως δῆσον πᾶσαν ἀρχὴν καὶ ἐξουσίαν τὴν κατ' ἐμοῦ φθεγγομένην καὶ λέγουσαν τὴν καταλαλιάν, τὸ ψεῦδος καὶ τὸ συναπάντημα καὶ τὸ παραλάλημαν καὶ μαγίαν καὶ συκοφαντίαν, γέλωτα, κλοπήν, λοιδορίαν, τὴν κακὴν βλέψιν καὶ τὰ ἕτερα καὶ τὰ πονηρὰ καὶ δόλια αὐτῶν στόματα. τίμιε σταυρέ, ὑπεραγία δέσποινα Θεοτόκε, γενοῦ μοι τοῦ δούλου σου ὁδεῖνα σκέπη καὶ βοήθεια. οἱ τέσσαρες τοῦ Χριστοῦ μου ἀρχάγγελοι, Μιχαήλ, Γαβριήλ, Οὐριὴλ καὶ Ραφαήλ, ἔστητε κύκλῳ μου, καὶ ὁ μεγαλομάρτυς Γεώργιος

[1]) **Quaedam excidisse videntur.**

ἔμπροσθέν μου καὶ ὁ μυροβλύτης Δημήτριος καὶ ἡ ἁγία Ἀναστασία ἡ φαρμακολύτρια καὶ ἡ ἁγία Αἰκατερίνα καὶ ἡ ἁγία Κυριακή, βοηθεῖτέ [1]) μοι. ἡ ἁγία Μαρίνα ἡ τὸν δαίμονα πατάξασα καὶ δεσμεύσασα οὕτως πάταξον [2]) τοὺς ἐχθρούς μου καὶ τοὺς μισοῦντάς με καὶ ἀδικοῦντας· ἔνθα συναντήσω αὐτούς, γενήσωνται ἄφωνοι ὡς νεκροί, αἱ πονηραὶ καὶ δόλιαι αὐτῶν γλῶσσαι καὶ τὰ πονηρὰ αὐτῶν στόματα παυσάτωσαν καὶ μὴ λαλήτωσαν κατ' ἐμοῦ τοῦ δούλου τοῦ θεοῦ κακά. $\bar{\zeta}$ $\bar{\zeta}$ $\bar{\zeta}$ $\bar{ȣ}$ $\bar{ȣ}$ $\bar{o}$ $\bar{\nu}$ $\bar{\chi}$.

Ποίησον καὶ κασιτήριον πλάκαν καὶ χάραξον ἐν αὐτῇ μὲ τοῦ σιδήρου πάντων σου τῶν ἐχθρῶν τὰ ὀνόματα, εἶτα ἐντείλιξον καὶ σφράγισον μετὰ πέντε ἄλφων ἄνωθεν καὶ βάσταζον ἐν τῇ ζώνῃ σου καὶ οὐ μὴ ἀντιστῇ τίς ποτε ἔμπροσθέν σου.

---

[1]) Cod. φοηθῆτε. [2]) Cod. πάντας.